Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

EE 5.

2936 e. 68.

ʽΑΙ ΤΟΥ

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΤΡΑΓΩΔΙΑΙ ἙΠΤΑ.

# SOPHOCLIS

## TRAGOEDIÆ SEPTEM:

Nova VERSIONE Donatæ

SCHOLIISQUE VETERIBUS Illustratæ;

ACCEDUNT

NOTÆ perpetuæ, et Variæ LECTIONES,

Opera THOMÆ JOHNSON, *A.M.*

COLLEGII REGAL. CANTABRIG. aliquamdiu è SOCIIS.

Accessere etiam nunc primùm

NOTÆ Selectæ et EMENDATIONES ex Codd. Variorum Doctorum Virorum, nuper editis.

VERSIO denique cum Eruditorum Interpretationibus collata est, et, unà cum SCHOLIIS plurimis in locis, castigata.

---

EDITIO prioribus longè accuratior, et auctior.

---

VOL. I.

---

*ETONÆ* Excudit JOS. POTE;

Apud quem veneunt:

Veneunt etiam LONDINI, apud C. BATHURST, J. et F. RIVINGTON, S. CROWDER, B. LAW, W. GINGER, G. ROBINSON, R. BALDWIN, H. GARDNER, et E. JOHNSTON. MDCCLXXV.

BODLEIAN
17·8·1907

# L. S.

BENEVOLE LECTOR, quid in *Sophoclis* hac nova Editione prolatum sit, paucis accipe.

I. In TEXTU GRÆCO exhibendo, Editionem *Johnsonianam* secuti sumus. Illa autem Editio, cum omnibus *Sophoclis* exemplaribus editis, tum recentioribus, tum vetustioribus, quotquot erant melioris notæ, diligenter collata est. His nostris operibus, plurimi Errores Typographici, qui in Textum gradatim sub prœlo irrepserant, nunc sublati sunt.

II. Vix dici potest quam infinita SCHOLIORUM farrago in postrema editione, quæ prodiit *Lond.* 1758, in duobus Voluminibus 8vo, apparuit. Omnia ita vitiata et transposita erant, ut rudis indigestaque potius vocum moles, quam *Sophoclis* expositio viderentur. Hæc jam sub incudem revocata, et maximo cum labore recensita, nunc primùm ad suam paginam proprio magis justoque ordine disponuntur. In reliquis expurgandis longiùs quidem elaboravissemus, si temporis angustiæ aliæque curæ non impedivissent.

III. VERSIO *Johnsoniana* itidem cum Doctorum Interpretationibus, imò etiam sæpiùs cum *Sophocle* ipso, diligenter fuit collata; ut, plurimis in locis priore emendatior, ad nostri Poetæ mentem rectiùs exponendam conduceret. Versio hæc calci operis,

monitu

monitu Eruditorum, qui in honore ſemper habentur, ſubjicitur.

IV. Variæ Lectiones ex *Aldo* et *Turnebo*, Notæ etiam ſelectæ in *Sophoclem*, partim ex Editione *Lond.* ſuprà dictâ, cæteriſque Monumentis, quæ ad Fabulas adornandas prodierunt, adjiciuntur; maximè verò ex Codd. *Joan. Burton*, Etonenſis, necnon *Benj. Heath*, Exonienſis (tanquam de fontibus purioribus) hauſtæ. Ex his eruditis Viris, Ille, magno cum honore, duos Oedipos et Antigonen, *Oxon.* An. 1758, edidit, Hic etiam ſub eodem prælo 1762, ſuas *Notas* et *Emendationes* ad *Sophoclem* cæteroſque Græcos Tragicos illuſtrandos feliciter evulgavit.

In *Accentibus* porro et *Interpunctionibus* rectè affigendis (ad Græcos Scriptores intelligendos apprimè neceſſariis) curam haud levem impendimus; quod erudito candidoque lectori primo intuitu patebit.

Denique, quamvis confitendum eſt, Errores aliquot Typographicos in tam magnam materiæ varietatem irrepſiſſe; ſperandum tamen eſt, (ſi qua fides ſummæ diligentiæ laboribuſque pœnè infinitis adhibenda ſit) nos jam tibi tradituros eſſe editionem hujus *Tragici inter Græcos facilè Principis*, (ut Index præ ſe fert) *Prioribus longe accuratiorem et auctiorem*.

Vale, Lector Benevole, et his noſtris conatibus fave.

*J. T.*

## ΤΟ ΓΕΝΟΣ

# ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ,

## ΚΑΙ ΒΙΟΣ.

Σοφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλου, ὃς οὔτε (ὡς Ἀριστόξενός φησι) τέκτων, ἢ χαλκεὺς ἦν· οὔτε (ὡς Ἴστρος) μαχαιροποιὸς τὴν ἐργασίαν· τυχὸν δὲ ἐκέκτητο δούλους χαλκέας ἢ τέκτονας. Οὐ γὰρ εἰκὸς τὸν ἐκ τοιούτων γενόμενον, στρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θουκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως. Ἀλλ' οὐδ' ἂν ὑπὸ τῶν κωμῳδῶν ἄδηκτος ἀφείθη, τῶν οὐδὲ Θεμιστοκλέους ἀποσχομένων. Ἀπιστητέον δὲ καὶ τῷ Ἴστρῳ, φάσκοντι αὐτὸν οὐκ Ἀθηναῖον, ἀλλὰ Φλιάσιον εἶναι. Πλὴν γὰρ Ἴστρου παρ' οὐδενὶ ἑτέρῳ τοῦτ' ἔστιν εὑρεῖν. Ἐγένετο οὖν ὁ Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμου Κολωνῆθεν, καὶ τῷ βίῳ καὶ τῇ ποιήσει περιφανής. Καλῶς τε ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ, καὶ ἐν πρεσβείαις ἐξητάζετο. Γεννηθῆναι δὲ αὐτόν φασιν ἑβδομηκοστῇ πρώτῃ Ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος, ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππου. Ἦν δὲ Αἰσχύλου μὲν νεώτερος ἔτη δεκαεπτά, Εὐριπίδου δὲ παλαιότερος εἰκοσιτέσσαρα. Διεπονήθη δὲ ἐν παισὶ καὶ περὶ παλαίστραν, καὶ μουσικήν, ἐξ ὧν ἀμφοτέρων ἐστεφανώθη, ὥς φησιν Ἴστρος. Ἐδιδάχθη δὲ τὴν μουσικὴν παρὰ Λαμπίου· καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Ἀθηναίων περὶ τρόπαιον ὄντων,

monitu Eruditorum, qui in honore ſemper habentur, ſubjicitur.

IV. Variæ LECTIONES ex *Aldo* et *Turnebo*, NOTÆ etiam ſelectæ in *Sophoclem*, partim ex Editione *Lond.* ſuprà dictâ, cæterisque Monumentis, quæ ad Fabulas adornandas prodierunt, adjiciuntur; maximè verò ex Codd. *Joan. Burton*, Etonenſis, necnon *Benj. Heath*, Exonienſis (tanquam de fontibus purioribus) hauſtæ. Ex his eruditis Viris, Ille, magno cum honore, duos Oedipos et Antigonen, *Oxon.* An. 1758, edidit, Hic etiam ſub eodem prælo 1762, ſuas *Notas* et *Emendationes* ad *Sophoclem* cæterosque Græcos Tragicos illuſtrandos feliciter evulgavit.

In *Accentibus* porro et *Interpunctionibus* rectè affigendis (ad Græcos Scriptores intelligendos apprimè neceſſariis) curam haud levem impendimus; quod erudito candidoque lectori primo intuitu patebit.

Denique, quamvis confitendum eſt, Errores aliquot Typographicos in tam magnam materiæ varietatem irrepſiſſe; ſperandum tamen eſt, (ſi qua fides ſummæ diligentiæ laboribusque pœnè infinitis adhibenda ſit) nos jam tibi tradituros eſſe editionem hujus *Tragici inter Græcos facilè Principis*, (ut Index præ ſe fert) *Prioribus longe accuratiorem et auctiorem*.

Vale, Lector Benevole, et his noſtris conatibus fave.

*J. T.*

# ΤΟ ΓΕΝΟΣ

# ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ,

## ΚΑΙ ΒΙΟΣ.

ΣΟφοκλῆς τὸ μὲν γένος ἦν Ἀθηναῖος, υἱὸς δὲ Σοφίλȣ, ὃς ȣ̓́τε (ὡς Ἀριςόξενός φησι) τέκτων, ἢ χαλκεὺς ἦν· ȣ̓́τε (ὡς Ἴςρος) μαχαιροποιὸς τὴν ἐργασίαν· τυχὸν δὲ ἐκέκτητο δȣ́λȣς χαλκέας ἢ τέκτονας. Οὐ γὰρ εἰκὸς τὸν ἐκ τοιȣ́των γενόμενον, ςρατηγίας ἀξιωθῆναι σὺν Περικλεῖ καὶ Θȣκυδίδῃ, τοῖς πρώτοις τῆς πόλεως. Ἀλλ᾽ ȣ̓δ᾽ ἂν ὑπὸ τῶν κωμῳδῶν ἄδηκτος ἀφείθη, τῶν ȣ̓δὲ Θεμιςοκλέȣς ἀποσχομένων. Ἀπιςητέον δὲ καὶ τῷ Ἴςρῳ, φάσκοντι αὐτὸν ȣ̓κ Ἀθηναῖον, ἀλλὰ Φλιάσιον εἶναι. Πλὴν γὰρ Ἴςρȣ παρ᾽ ȣ̓δενὶ ἑτέρῳ τȣ̃τ᾽ ἔςιν εὑρεῖν. Ἐγένετο ȣ̓̃ν ὁ Σοφοκλῆς τὸ γένος Ἀθηναῖος, δήμȣ Κολωνῆθεν, καὶ τῷ βίῳ καὶ τῇ ποιήσει περιφανής. Καλῶς τε ἐπαιδεύθη καὶ ἐτράφη ἐν εὐπορίᾳ, καὶ ἐν πολιτείᾳ, καὶ ἐν πρεσβείαις ἐξητάζετο. Γεννηθῆναι δὲ αὐτόν φασιν ἑβδομηκοςῇ πρώτῃ Ὀλυμπιάδι κατὰ τὸ δεύτερον ἔτος, ἐπὶ ἄρχοντος Ἀθήνησι Φιλίππȣ. Ἦν δὲ Αἰσχύλȣ μὲν νεώτερος ἔτη δεκαεπτὰ, Εὐριπίδȣ δὲ παλαιότερος εἰκοσιτέσσαρα. Διεπονήθη δὲ ἐν παισὶ καὶ περὶ παλαίςραν, καὶ μȣσικὴν, ἐξ ὧν ἀμφοτέρων ἐςεφανώθη, ὥς φησιν Ἴςρος. Ἐδιδάχθη δὲ τὴν μȣσικὴν παρὰ Λαμπίȣ· καὶ μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Ἀθηναίων περὶ τρόπαιον ὄντων,

μετὰ λύρας γυμνὸς ἀληλιμμένος τοῖς παιανίζȣσι τῶν ἐπινικίων ἐξῆρχε. Καὶ παρ᾽ Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε, ϗ πολλὰ ἐκαινȣ́ργησεν ἐν τοῖς ἀγῶσι· πρῶτον μὲν καταλύσας τὴν ὑπόκρισιν τοῦ ποιητȣ̃ διὰ τὴν ἰδίαν ἰσχνοφωνίαν (πάλαι γὰρ ϗ ὁ ποιητὴς ὑπεκρίνετο) αὐτὸς δὲ ϗ τȣ̀ς χορευτὰς ποιήσας ἀντὶ δώδεκα πεντεκαίδεκα, ϗ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρε. Φασὶ δὲ ὅτι ϗ κιθάραν ἀναλαβὼν, ἐν μόνῳ τῷ Θαμύριδί ποτε ἐκιθάρισεν· ὅθεν ϗ ἐν τῇ ποικίλῃ ϛοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι φασί. Σάτυρος δέ φησιν, ὅτι ϗ τὴν καμπύλην βακτηρίαν αὐτὸς ἐπενόησε. Φησὶ δὲ Ἴϛρος καὶ τὰς λευκὰς κρηπῖδας αὐτὸν ἐξευρηκέναι, αἷς ὑπεδύοντο οἵ τε ὑποκριταὶ καὶ οἱ χορευταί· καὶ πρὸς τὰς φύσεις αὐτῶν γράψαι τὰ δράματα· ταῖς δὲ μȣ́σαις θίασον ἐκ τῶν πεπαιδευμένων εὑρεῖν· καὶ, ἁπλῶς εἰπεῖν, τοῦ ἤθȣς αὐτȣ̃ τοσαύτη γέγονε χάρις, ὥστε πάνυ πρὸς ἁπάντων αὐτὸν ϛέργεσθαι. Νίκας δὲ ἔλαβεν εἴκοσιν, ὥς φησι Καρύϛιος· πολλάκις δὲ καὶ δευτερεῖα ἔλαβε, τριτεῖα δὲ ȣ̓δεπώποτε. Καὶ Ἀθηναῖοι δὲ αὐτὸν ἐτῶν ὄντα ἑξήκοντα πέντε, ϛρατηγὸν εἵλοντο, πρὸ τῶν Πελοποννησιακῶν ἔτεσιν ἑπτὰ, ἐν τῷ πρὸς Ἀναίαν πολέμῳ. Οὕτω δὲ φιλαθηναιότατος ἦν, ὥστε πολλῶν βασιλέων μεταπεμπομένων αὐτὸν, οὐκ ἠθέλησε τὴν πατρίδα καταλιπεῖν. Ἔσχε δὲ καὶ τὴν τοῦ Ἄλωνος ἱερωσύνην, ὃς ἥρως ἦν μετὰ Ἀσκληπιȣ̃ παρὰ Χείρωνι. Ἱδρύθη δὲ ὑπὸ Ἰοφῶντος τοῦ υἱȣ̃ μετὰ τὴν τελευτήν. Γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς, ὡς οὐκ ἄλ-

λος,

λος, καθὰ Ἱερώνυμός φησιν ἐν τῷ περὶ τῆς χρυσῆς στεφάνης. Ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης, κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ, λέγων τὴν ἐσαν οἰκίαν ἐν δεξιᾷ εἰσιόντι ἐρευνῆσαι, ἔνθα ἐκρύπτετο. Ἐμήνυσε δὲ αὐτὴν τῷ δήμῳ, καὶ τάλαντον ἐδέξατο· τῦτο γὰρ ἦν προκηρυχθέν. Λαϐὼν ἔν τὸ τάλαντον, ἱερὸν ἱδρύσατο μηνυτῦ Ἡρακλέυς. Φαίνεται δὲ καὶ παρὰ πολλοῖς ἡ πρὸς τὸν υἱὸν Ἰοφῶντα γενομένη αὐτῷ ποτε δίκη. Ἔχων γὰρ ἐκ μὲν Νικοστράτης Ἰοφῶντα, ἐκ δὲ Θεώριδος Σικυωνίας Ἀρίστωνα, τὸν ἐκ τύτυ γενόμενον παῖδα Σοφοκλέα τὔνομα πλέον ἔστεργε. Καί ποτε ἐν δράματι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονῦντα, καὶ πρὸς τὺς φράτορας ἐγκαλῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονῦντι. Οἱ δὲ τῷ Ἰοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν, εἰ μὲν εἰμὶ Σοφοκλῆς, ὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς. Τότε τὸν Οἰδίποδα ἀναγνῶναι. Τελευτῆσαι δὲ αὐτὸν Ἴστρος καὶ Νεάνθης φασὶ τῦτον τὸν τρόπον· Καλλιπίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀπῦντος ἥκοντα παρὰ τὺς χοὰς πέμψαι αὐτῷ σταφυλήν. Τὸν δὲ Σοφοκλέα λαϐόντα, καὶ βαλόντα ῥᾶγα ἔτι ὀμφακίζυσαν εἰς τὸ στόμα, ὑπὸ τῦ ἄγαν γήρως ἀποπνιγέντα τελευτῆσαι. Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναγινώσκοντα, καὶ ἐμπεσόντα περὶ τὰ τέλη κώλῳ μακρῷ, καὶ μέσην, ἢ καὶ ὑποστιγμὴν πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείνοντα τὴν φωνὴν, σὺν τῇ φωνῇ καὶ τὴν ψυχὴν ἀφεῖναι. Οἱ δὲ, ὅτι μετὰ τὴν τοῦ δράματος ἀνάγνωσιν, ὅτε νικῶν ἐκηρύχθη, χαρᾷ νικηθεὶς ἐξέλιπε. Τῶν δὲ πατρῴων αὐτῦ τάφων ἐπὶ Δεκέλειαν κειμένων πρὸ σταδίων τοῦ

 τείχυς

τείχους ἕνδεκα, καὶ τοῦτον τὸν τόπον ἐπιτετειχικότων Λακεδαιμονίων κατὰ τῶν Ἀθηναίων, ἐπείπερ οὐχ οἷόν τε ἦν αὐτὸν ἐκεῖ θάπτειν, Διόνυσος κατ' ὄναρ ἐπιστὰς Λυσάνδρῳ, ἐκέλευσεν ἐπιτρέψαι τεθῆναι τὸν ἄνδρα εἰς τὸν τάφον. Ὡς δὲ ὠλιγώρησεν ὁ Λύσανδρος, δεύτερον αὐτῷ ἐπέστη ὁ Διόνυσος τὸ αὐτὸ κελεύων· ὁ δὲ Λύσανδρος πυνθανόμενος παρὰ τῶν φυγάδων τίς εἴη ὁ τελευτήσας, καὶ μαθὼν ὅτι Σοφοκλῆς, κήρυγμα πέμψας, ἐδίδου θάπτειν τὸν ἄνδρα. Φασὶ δὲ ὅτι καὶ τῷ μνήματι αὐτοῦ σειρῆνα ἐπέστησαν· οἱ δὲ χελιδόνα χαλκῆν. Ἐπιγεγράφθαι δὲ τῷ τάφῳ αὐτοῦ τάδε·

ΚΡΥΠΤΩ ΤΩΔΕ ΤΑΦΩ ΣΟΦΟΚΛΗΝ, ΠΡΩΤΕΙΑ ΛΑΒΟΝΤΑ
ΤΗ ΤΡΑΓΙΚΗ ΤΕΧΝΗ ΣΧΗΜΑ ΤΟ ΣΕΜΝΟΤΑΤΟΝ.

Ἴστρος δέ φησιν Ἀθηναίους διὰ τὴν τοῦ ἀνδρὸς ἀρετὴν καὶ ψήφισμα πεποιηκέναι, κατ' ἔτος ἕκαστον αὐτῷ θύειν. Ἔγραψε δὲ (ὥς φησιν Ἀριστοφάνης) δράματα ἑκατοντριάκοντα· τούτων δὲ νοθεύεται δεκαεπτά. Συνηγωνίσατο δὲ Αἰσχύλῳ, καὶ Εὐριπίδῃ, καὶ Χοιρίλῳ, καὶ Ἀριστίᾳ, καὶ ἄλλοις, καὶ Ἰοφῶντι υἱῷ. Τὸ πᾶν οὖν Ὁμηρικῶς ὠνόμαζε, τούς τε μύθους φέρει κατ' ἴχνος τοῦ ποιητοῦ. Καὶ τὴν Ὀδυσσείαν δὲ ἐν πολλοῖς δράμασιν ἀπογράφεται. Παρετυμολογεῖ δὲ καθ' Ὅμηρον καὶ τὸ ὄνομα τοῦ Ὀδυσσέως·

"Ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
"Πολλοὶ γὰρ ὠδύσσαντο δυσσεβεῖς ἐμοί."

ἠθοποιεῖ τε καὶ ποικίλλει, καὶ τοῖς ἐπινοήμασι τεχνικῶς χρῆται, Ὁμηρικὴν ἐκματτόμενος χάριν. Ὅθεν εἰπεῖν λέγεται

γεῖαι Ἰώνικόν τινα, μόνον Σοφοκλέα τυγχάνειν Ὁμήρου μαθητήν· καὶ ἄλλοι μὲν γὰρ πολλοὶ μεμίμηνταί τινας τῶν πρὸ αὐτῶν, ἢ τῶν καθ' αὐτούς· μόνος δὲ Σοφοκλῆς ἀφ' ἑκάστου τὸ λαμπρὸν ἀπανθίζει· καθ' ὃ καὶ μέλιττα ἐλέγετο. Ἔμιξε δὲ τοῖς αὐτοῦ ποιήμασιν εὐκαιρίαν, γλυκύτητα, τόλμαν, ποικιλίαν. Οἶδε δὲ καιρὸν εὖ μετρῆσαι, καὶ πράγματα, ὥστε ἐκ βραχέος κώλου ἤρκεσεν ὅλον ἠθοποιῆσαι τὸ πρόσωπον. Ἔστι δὲ τοῦτο μέγιστον ἐν ποιητικῇ δηλοῦν ἦθος, ἢ πάθος· φησὶ γοῦν Ἀριστοφάνης, ὅτι κηρὸς ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ· ἄλλοι δὲ Σοφοκλέους τῷ μέλιτι τὸ στόμα κεχρισμένον. Φησὶ δὲ Ἀριστόξενος, ὡς πρῶτος τῶν Ἀθήνηθεν ποιητῶν τὴν Φρυγίαν μελοποιΐαν εἰς τὰ ἴδια ᾄσματα παρέλαβε, καὶ τῷ διθυραμβικῷ τρόπῳ κατέμιξε.

ΤΟΥ ΑΥΤΟΥ

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΒΙΟΣ

## ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

Σοφοκλῆς, Σοφίλου, Κολωνῆθεν, Ἀθηναῖος τραγικός. Τεχθεὶς κατὰ τὴν ογ´ Ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ´. Οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ· καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε, νέων πρότερον δυωκαίδεκα εἰσιόντων. Προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ· καὶ αὐτὸς

ἦρξε τȣ͂ δράμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ ϛρατολογίαν. Ἔγραψεν ἐλεγεῖά τε καὶ παιᾶνας, καὶ λόγον καταλογάδην, περὶ τοῦ χορȣ͂ πρὸς Θέσπιν καὶ Χοίριλον ἀγωνιζόμενος. Παῖδας δὲ, ȣ͂ς ἔσχεν, ȣ͂τοι, Ἰοφῶν, Λεωσθένης, Ἀρίϛων, Στέφανος, Μενεκλείδης. Τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ϛʹ. Ἐδίδαξε δὲ δράματα ρκγʹ. ὡς δέ τινες, καὶ πολλῷ πλείω. Νίκας δὲ ἔλαβε κδʹ.

## ὙΠΟΘΕΣΙΣ

# ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

ΤΟ δρᾶμα τῆς Τρωϊκῆς ἐςὶ πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι, καὶ Αἰχμαλώτιδες, καὶ Ἑλένης ἅρπαγὴ, καὶ Μέμνων. Πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τὶ ἀριςεύειν περὶ τὴν τοῦ σώματος κομιδήν. Καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. Ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται, καὶ διέφθαρται τὴν γνώμην· ὥστε ἐφαπτόμενος τῶν ποιμνίων, καὶ τέμνων, δοκεῖν τοὺς Ἕλληνας διαχειρίζεσθαι· καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν. Ἐν οἷς ἐςὶ καὶ κριὸς τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαςίγωσεν· ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ· ἢ πρὸς ἀντιδιαςολὴν τοῦ Λοκροῦ Αἴαντος. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται. Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ἄρα ποτὲ πράττει ὁ Αἴας. Καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τοὐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. Καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τὸ μαςιγοῦν τὸν Ὀδυσσέα. Παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. Ἔξεισι δὲ καὶ Τέκμησσα τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τὸν ποιμνίων ὅτι Αἴας ἐςὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. Μαθόντες οὖν παρ' ἀλλήλων τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτ' ἔδρασε· Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται, καὶ μάλιςα ὁ χορός. Ἐντεῦθεν ὁ Αἴας προελθὼν, καὶ ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ τούτου Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς. Ὁ δ' ὑποκριθεὶς πεπαῦσθαι, ἔξεισι δῆθεν καθαρσίων ἕνεκεν, καὶ ἑαυτὸν διαχειρίζεται. Εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον καὶ πρὸς Ἀγαμέμνονα οὐκ

ἐῶντας

ἐῶνΊας θάπΊειν τὸ σῶμα. Τὸ δὲ πέρας, θάψας αὐτὸν ὁ Τεῦκρος, ἀπολοφύρεΊαι. Παρίςησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ λύπης ἄκρας οἱ ἄνθρωποι εἰς μανίαν περιτρέπονΊαι. Ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποΊυχών.

Ἡ μὲν σκηνὴ τοῦ δράμαΊος ἐν τῷ ναυςάθμῳ κεῖται πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. Δαιμονίως δὲ εἰςφέρει προλογίζυσαν τὴν Ἀθηνᾶν· ἀπίθανον γὰρ τὸν ΑἴανΊα προϊόντα, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραΓμένων, ὥσπερ ἐξελέΓχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίςαΊο τὰ τοιαῦτα, ἐν ἀποῤῥήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. Θεῦ ἦν ἦν τὸ ταῦτα διασαφῆσαι. Περὶ δὲ τοῦ θανάτυ τοῦ Αἴαντος διαφόρως ἱςορήκασιν· οἱ μὲν γάρ φασιν, ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμοῤῥοῶν· οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτῦ βαλεῖν· (σιδήρῳ γὰρ οὐκ ἦν τρωτὸς) καὶ ὕτω τελευτᾷ· οἱ δὲ, ὅτι αὐτόχειρ αὐτῦ γέγονεν, ὧν ἐςὶ καὶ Σοφοκλῆς. Περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱςορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα (ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέυς λεοντῆ) ἄτρωτον ἦν· τὸ δὲ μὴ καλυφθὲν (ὅπερ ἦν ἡ πλευρὰ) τρωτὸν ἦν. Τὸ κεφάλαιον δὲ τοῦ δράματος, Αἴαντος μανία καὶ τελευτή.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

# ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.

ΟΔΥΣΣΕΥΣ.

ΑΙΑΣ.

ΧΟΡΟΣ ΕΚ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.

ΤΕΚΜΕΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ἩΜΙΧΟΡΟΣ.

ΤΕΥΚΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΑΓΑΜΕΜΝΩΝ.

Προλογίζει δὲ ἡ ΑΘΗΝΑ.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

### ΑΘΗΝΑ, ΟΔΥΣΣΕΥΣ, ΑΙΑΣ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΑΘΗ. Ἀεὶ μὲν, ὦ παῖ Λαρτίου, δέδορκά σε
Πεῖράν τιν᾽ ἐχθρῶν ἁρπάσαι θηρώμενον·
Καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ

1. Ἀεὶ μὲν, ὦ παῖ] Πάρεστιν Ὀδυσσεὺς ἐπὶ τὴν σκηνὴν ἀγωνιῶν καὶ πολυπραγμονῶν μή τι ἀπὸ ἐχθροῦ πάθῃ. Πάντα δὲ τὰ τῆς ὑποθέσεως συνεκτικῶς ἐδήλωσεν ἐν τῷ προοιμίῳ, πρὸς τίνα ὁ λόγος, καὶ ποῦ ἡ σκηνὴ, καὶ τί πράττει ὁ Ὀδυσσεύς. Ἐν δὲ τῷ πεῖράν τιν᾽ ἐχθρῶν, λείπει ἡ κατά. Ἤδη ἴχνος τι κατέθετο τῆς ὑποθέσεως, ὡς παρ᾽ ἐχθρὸν ἥκει. Δεῖ δὲ τὰ τῆς ὑποθέσεως συνεκτικὰ εἶναι ἐν ἀρχῇ. Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, πείρᾳ καὶ δόλῳ μετιόντα τοὺς ἐχθρούς. πεῖρα δὲ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ, Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ᾽ ἐπίσταμαι, Τοῦ παιδὸς ὄντος τοῦδ᾽, ἐγὼ διόλλυμαι. Τὸ δ᾽ ἀεὶ εἶπεν, ἀναφέρουσα εἰς ἐκεῖνο, ὅτι καὶ μετὰ Διομήδους κατάσκοπος γενόμενος ἐπὶ τοὺς Τρῶας, οὐκ ἔλαθεν αὐτήν. Ὡς αὐτὸς μαρτυρῶν φησι, Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος, ἥτέ μοι αἰεὶ Ἐν πάντεσσι πόνοισι παρίστασαι, οὐδέ σε λήθω. Δυσχεραίνει δὲ ἡ Ἀθηνᾶ τῷ Αἴαντι, ὅτι ἀπώσατο τὴν συμμαχίαν αὐτῆς. Ἄλλως· Ἀεὶ ὁρῶ σε, ὦ Ὀδυσσεῦ, τὴν παρὰ τῶν ἐχθρῶν σοι γινομένην βλάβην ζητοῦντα προϋφαρπάσαι. Οἷον, ἐπιβουλεύει σοι τίς; σπουδάζεις τὴν ἐπιβουλὴν τὴν κατὰ σοῦ γινομένην αὐτῷ τῷ ἐπιβουλεύσαντι βλαβερὰν γενέσθαι· ἐκ μεταφορᾶς τῶν κυνηγῶν, οἳ τὰ μικρὰ θηρία φονεύουσι, προφυλαττόμενοι τὴν ἐξ αὐτῶν ἐσομένην βλάβην. Πεῖρα δὲ Ἀττικῶς δόλος καὶ τέχνη. Ὅθεν καὶ πειραταὶ, οἱ κατὰ θάλασσαν κακοῦργοι.

Ib. Ἀεὶ μὲν] τὸ προοίμιον προσφωνητίκον, καὶ ἐνταῦθα πρότασις.

Ib. Δέδορκα] οἰκείως ἔχουσιν οἱ παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνεσθαι· οὐ μὲν πάντες παρακείμενοι οὕτω λαμβάνονται. Ἀλλ᾽ εἰσὶ μὲν οἱ ἐπὶ σημασίας ἐνεστῶτος ἀεὶ λαμβάνονται, ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα, καὶ ἕτεροι. Εἰσὶ δὲ οἱ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ᾽ ἀεὶ ἐπὶ παρεληλυθότος, ὡς ὁ πέπονθα, πεποίηκα, καὶ ἕτεροι. Εἰσὶ δὲ οἱ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται, ὡς ὁ πεποίημαι, οἷον πεποίημαι τινὰ φίλον, ἢ ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην.

2. Πεῖράν τινα] τουτέστι προσβολὴν καὶ ἐπιχείρησιν.

Ib. Πεῖραν] πειρῶμαι σοῦ καλοῦ, ἀντὶ τοῦ, διὰ πείρας σε καταλαμβάνω καλόν· καὶ πειρῶμαι τῆς γνώμης σου, εἰ μὴ μεταβέβληται, ἀντὶ τοῦ, θέλω διὰ πείρας καταλαβεῖν αὐτήν· καὶ πειρῶμαι βλάπτειν σε, ἀντὶ τοῦ, ἐπιχειρῶ, ἀφ᾽ ὧν πεῖρα ἣν δίδωσί τις τινὶ, ἢ λαμβάνει· καὶ ἡ προσβολὴ, καὶ ἐπιχείρησις, καθ᾽ ὃ λέγεται ἐνταῦθα.

Ib. Πεῖράν τιν᾽] ἢ πειραθῆναι τῶν ἐχθρῶν, καὶ ὧν κατὰ σοῦ μηχανῶνται, προλαβεῖν ζητοῦντα, τῷ, πρὶν ἢ παθεῖν, μαθεῖν, καὶ φυλάξασθαι. Ἢ οὕτως, ἁρπάσαι, καὶ συντόμως λαβεῖν πεῖραν τῶν ἐχθρῶν, τί κατὰ σοῦ μηχανῶν.

Ib. Θηρώμενον] ἀντὶ τοῦ ἀνιχνεύοντα. Ἐπήνεγκε καὶ τὰ ἄλλα μεταφορικῶς· καὶ τὸ μετρούμενον, ἀριθμοῦντα, ζητοῦντα, ἀκολουθοῦντα τὰ ἴχνη τὰ ἐκείνου.

3. Ἐπὶ σκηναῖς] ἀντὶ τοῦ παρὰ ταῖς σκη-



ναῖς.

Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
Πάλαι κυνηγετȣ͂ντα, καὶ μετρȣ́μενον
Ἴχνη τὰ κείνȣ * νεοχάραχθ᾽, ὅπως ἴδῃς
Εἴτ᾽ ἔνδον, εἴτ᾽ ȣ̓κ ἔνδον· εὖ δέ σ᾽ ἐκφέρει
Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις·
Ἔνδον γὰρ ἀνὴρ ἄρτι τυγχάνει, κάρα
Στάζων ἱδρῶτι, καὶ χέρας ξιφοκτόνȣς.
Καί σ᾽ ȣ̓δὲν εἴσω τῆςδε παπταίνειν πύλης
Ἔτ᾽ ἔργον ἐςὶν ἐννέπειν δ᾽ ὅτȣ χάριν
Σπȣδὴν ἔθου τήνδ᾽, ὡς παρ᾽ εἰδυίας μάθῃς.

* ALDUS, τἀκείνȣ.

ναῖς. Ἐπὶ σκηναῖς· σκηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν Ὅμηρος κλισίην λέγει· καὶ ἡ τῶν δραματȣργῶν σκευή· ἤγȣν τὰ προσωπεῖα· οἱ ἐμβάται· αἱ τοιαῖδε ςολαὶ, καὶ τἄλλα· καὶ ἀπὸ τȣ́των σκηνὴ πᾶσα ὑπόκρισις καὶ ὑπȣλότης.

4. Ἔνθα τάξιν ἐσχάτην ἔχει] διὰ μέσȣ, τὸ ἔνθα τάξιν ἐςχάτην ἔχει.

Ib. Τάξιν ἐσχάτ᾽] ὅτι ἐν μὲν τῷ ἑνὶ μέρει Ἀχιλλεὺς ἦν τȣ͂ ςρατȣ͂· ἐν δὲ τῷ ἄλλῳ, Αἴας ȣ̓τοσὶ, ἵνα ὡς κρείττȣς τῶν ἄλλων τὴν ἰσχὺν φύλακες ὦσιν· ἐν δὲ τῷ μεταξὺ Ἀγαμέμνων καὶ Μενέλαος καὶ οἱ λοιποὶ ςρατηγοί.

6. Ἴχνη] ἴχνος γίνεται, ἀπὸ τȣ͂ ἴω τὸ πορεύομαι σὺν τȣ͂ χνȣ͂ς· ἤγȣν τὸ ἐν κινήσει καὶ χνοῒ γινόμενον καὶ τυπȣ́μενον.

Ib. Νεοχάραχθ᾽] εὐφυῶς, ὁπόταν γὰρ νεωςὶ αἱ ἀποχαράξεις τῶν ζώων γένωνται, μᾶλλον ἐπακολȣθȣ͂σιν οἱ κυνηγέται πρὶν ὑπὸ ἀνέμȣ ἀφανισθῇ ἡ ὀδμή. Νεοχάραχτα. Νεωςὶ κεχαραγμένα. Προςοχὴν δὲ ἐργάζεται τῷ ἀκροατῇ περὶ τῶν δηλωθησομένων.

7. Εἴτ᾽ ἔνδον, εἴτ᾽ ȣ̓κ ἔνδον] ȣ̓κ ἀναγκαῖον τὸ πολυπραγμονεῖν ἔτι εἰ ἔνδον ὁ Αἴας, ἔνδον γάρ. Ἀλλὰ λέγε διὰ τί τὴν σπȣδὴν ταύτην ἔθȣ, ἵνα παρ᾽ ἐμȣ͂ μάθῃς τὰ ἀγνοȣ́μενά σοι.

Ib. Εὖ δέ σ᾽ ἐκφέρει] ἔξω τῆς σκηνῆς τȣ͂ Αἴαντος ἐπάγεταί σε ἡ βάδισις τȣ͂ Αἴαντος δίκην κυνὸς εὐοσφρήτȣ, ἀπὸ τȣ͂ ἴχνȣς ζητȣ͂ντα εἰ ἔνδον γέγονεν ὁ Αἴας. Προέλκονται γὰρ τȣ̀ς κυνηγέτας αἱ κύνες ἐπὶ τὰ ἐπαγόμενα. Παρ᾽ ὃ καὶ ἐπακτῆρας θέλȣσιν ἔνιοι αὐτȣ̀ς καλεῖσθαι, ὡς ἐπαγομένȣς ὑπὸ τῶν κυνῶν. Ὅμηρος, "Πρὸ δ᾽ ἄρ᾽ αὐτῶν Ἴχνη ἐρευνῶντες κύ-" νες ἤϊσαν".

9. Ἔνδον γὰρ ἀνὴρ] Δεικνύει ἐνταῦθα ὅτι ȣ̓κ ἦν ἐκεῖ ὁ Αἴας, ἀλλὰ ἀρτὶ ἦλθε.

10. Στάζων ἱδρῶτι] τȣ͂το καθ᾽ ὅλον καὶ μέρος. Τὸ μὲν ςάζων, ὅλον· τὸ δὲ κάρα καὶ τὸ χεῖρας, μέρος. Καὶ ȣ̓χ ὥς τινες φασὶ, ςάζων καὶ ςαζόμενος, καὶ ἔξωθεν τὸ ἔχων λαμβάνȣσι, λέγοντες ȣ̔́τω, ςαζόμενος τὸ κάρα, καὶ ἔχων τὰς χεῖρας ξιφοκτόνȣς.

Ib. Χέρας ξιφοκτόνȣς] ὅσον κατὰ τὴν ἀναλογίαν τοῦ ἀνθρωπόκτονος, καὶ ἀνθρωποκτόνος. Ἀνθρωπόκτονος γὰρ τὸ προπαροξύτονον, ὁ ὑπὸ ἀνθρώπȣ φονευθείς· Ἀνθρωποκτόνος δὲ ὁ ἄνθρωπον φονεύσας· Ξιφόκτονος ὤφειλ᾽ εἶναι, ὁ ὑπὸ ξίφȣς φονευθείς· Ξιφοκτόνος δὲ ὁ ξίφος φονεύσας· ὅπερ ἐςὶν ἄτοπον. Ἐνταῦθα δὲ ξιφοκτόνȣς λέγει χεῖρας, τὰς διὰ ξίφȣς φόνον ἐργασαμένας.

11. Παπταίνειν] ἀπὸ τοῦ ὄπτω τὸ βλέπω γίνεται παπταίνω ποιητικῶς, καὶ σημαίνει τὸ ἐπιτηρῶ, καὶ ςοχάζομαι, καὶ περισκοπῶ.

11, 12. Οὐδὲν ἔτ᾽ ἔργον ἐςίν] Ἀντὶ τοῦ ȣ̓κ ἀναγκαῖον ἐςίν.

12. Ἔργον ἐςὶν] τὸ ἔργον τρία δηλοῖ, τὴν χρείαν, τὴν δυςκολίαν, καὶ τὴν ἐνόχλησιν.

13. Ὡς παρ᾽ εἰδυίας] εἰδέω, εἰδῶ τὸ γινώσκω, ὁ μέλλων εἰδήσω, ὁ παρακείμενος εἴδηκα,

ΟΔΥ. Ὦ φθέγμ᾽ Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
Ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς, ὅμως
Φώνημ᾽ ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
Χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς;
Καὶ νῦν ἐπέγνως εὖ μ᾽ ἐπ᾽ ἀνδρὶ δυσμενεῖ
Βάσιν κυκλοῦντ᾽ Αἴαντι τῷ σακεσφόρῳ.
Κεῖνον γὰρ, οὐδέν᾽ ἄλλον, ἰχνεύω πάλαι.
Νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
Ἔχει περάνας, εἴπερ εἴργασται τάδε.
Ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ᾽ ἀλώμεθα.

κα, καὶ κατὰ συγκοπὴν εἶδα, ἡ μετοχὴ ὁ εἰδὼς, τοῦ εἰδότος· τὸ θηλυκὸν ἡ εἰδυῖα, τῆς εἰδυίας. Ἐκ δὲ τοῦ εἶδα, εἶδας. Εἶδε, προσθέσει τῆς ναι γίνεται εἰδέναι τὸ ἀπαρέμφατον.

14. Ὦ φθέγμ᾽] προοίμιον δεύτερον προσφωνητικὸν καὶ αὐτὸ, καὶ ἐνταῦθα ἡ πρότασις·

Ib. Ἀθάνας] ἡ Ἀθήνη καὶ ἡ Ἀθηναία, ποιητικῶς. Ἡ Ἀθηνᾶ δὲ κοινῶς.

Ib. Φιλτάτης ἐμοὶ] εἰκότως τοῦτ᾽ εἶπε· δεῖ γὰρ τοὺς συνετωτάτους, οἷος οὗτος, τὴν Ἀθηνᾶν περὶ πλείστου ποιεῖσθαι, φρονήσεως ἔφορον οὖσαν.

16. Καὶ ξυναρπάζω φρενὶ] ἤτοι ὀξέως συνίημι καὶ ἀντιλαμβάνομαι. Τῆς δὲ φωνῆς μόνης αἰσθάνεται ὡς ἐθάδος αὐτῷ οὔσης. Ἔστη μέντοι ἐπὶ τῆς σκηνῆς ἡ Ἀθηνᾶ· δεῖ γὰρ τοῦτο χαρίζεσθαι τῷ θεατῇ. Προθεραπεύει δὲ τὴν θεὸν ὁ Ὀδυσσεὺς, καὶ οὕτω λέγει τὰ Αἴαντος.

17. Κώδωνος] ἡ κώδων θηλυκῶς, Ἀττικῶς. Κώδων δὲ καλεῖται τὸ πλατὺ τῆς σάλπιγγος· ἀπὸ μέρους δὲ τὴν σάλπιγγα φησί. Πολλὰ δὲ εἴδη σαλπίγγων· Εἰσὶ γὰρ Λιβυστικαὶ σάλπιγγες, εἰσὶν Αἰγύπτιοι, εἰσὶ Τυρσηνικαί. Πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. Ὁ δὲ νοῦς, Καί σου τὸ φώνημα ἀκούω ἐξαιρέτως ὡς Τυρσηνικῆς σάλπιγγος ὀξυφωνοτάτης οὔσης. Σακεσφόρος δὲ ὁ Αἴας, οὐχ ἁπλῶς, ἀλλὰ κατ᾽ ἐξοχήν. Ὅμηρος, "Αἴας "δ᾽ ἐγγύθεν ἦλθε, φέρων σάκος ἠΰτε πύργον." Οἰκεῖον δὲ τοῦτο τοῦ Αἴαντος.

Ib. Κώδωνος] κώδων ἐτυμολογεῖται ἀπὸ τοῦ κινεῖν ᾠδήν.

Ib. Ὡς Τυρσηνικῆς] τούτων γὰρ αἱ σάλπιγγες κρείττους τῶν παρ᾽ ἑτέροις εὑρημένων· ἢ ὅτι πρῶτοι Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον. Βέλτιον δὲ τὸ πρῶτον. Αἱ γὰρ τῶν Τυρσηνῶν σάλπιγγες ἐξαίρετόν τι τῶν παρ᾽ ἑτέροις εὑρημένων ἀπετέλουν μέλος, ὡς μόνον ἀκούσαντά τινα γνῶναι Τυρσηνικὴν εἶναι τὴν ἠχοῦσαν σάλπιγγα. Λέγει οὖν καὶ Ὀδυσσεὺς ἐνταῦθα πρὸς τὴν Ἀθηνᾶν, ὄντως ἀκούω τὸ σὸν φώνημα εὐμαθὲς καὶ εὐκατάληπτον, καὶ ὀξέως νοῶ ὅτι σόν ἐστιν, εἰ καὶ ἀθέατος ὑπάρχεις. Ὥσπερ καταλαμβάνω τὸ φώνημα τῆς Τυρσηνικῆς σάλπιγγος. Ἀκούων ἠχοῦσαν αὐτὴν δηλονότι.

18. Καὶ νῦν] κατασκευή.

19. Τῷ σακεσφόρῳ] οὐχ ὁπλοφόρῳ ἁπλῶς, ἀλλὰ κατ᾽ ἐξοχήν· ἐξαίρετον γὰρ εἶχεν ὁ Αἴας τὸ σάκος.

21. Ἄσκοπον] ἀνέλπιστον, ἀπροσδόκητον· οὐ γάρ ἐστι συνιέναι τίνος χάριν ἐποίησε.

22. Ἔχει περάνας] Ἰστέον δὲ ὅτι τὸ ἔχω περάνας, ἐστὶ κατὰ σύνηθες Ἀττικόν· λαμβάνεται δὲ ἀντὶ τοῦ ἐπέρανε. Εἰς τὸ ῥῆμα τῆς μετοχῆς γὰρ διαλύεται ὁ λόγος.

Ib. Εἴπερ εἴργασται τάδε] τουτέστι, ἐὰν εἰσὶν εἰργασμένα ταῦτα τὰ ἔργα παρ᾽ ἐκείνου τοῦ Αἴαντος, ὡς ἐδόθη φήμη.

23. Τρανὲς] σαφὲς, ἀληθές. Καλῶς δὲ τοῦτο ἐποίησεν, ἵνα ἐπικρεμὴς ᾖ ἔτι ἡ ὑπόθεσις, καὶ τὸ ἄπιστον εἰς ἀμφίγνοιαν ἄγηται. Διὸ ἐθελοντὴς τοῦτον ὑπέστη τὸν κίνδυνον, ἵνα γνῶσι τἀληθὲς,

Κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
Ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
Λείας ἁπάσας, καὶ κατηναρισμένας
Ἐκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπιστάταις.
Τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν τρέπει *.
Καί μοι τὶς ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
Πηδῶντα πεδία σὺν νεοῤῥάντῳ ξίφει,
Φράζει τε, κἀδήλωσεν. Εὐθέως δ' ἐγὼ
Κατ' ἴχνος ἀΐσσω, καὶ τὰ μὲν σημαίνομαι,
Τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.

* ALDUS, νέμει.

τἀληθὲς, πάντων τὴν αἰτίαν τοῦ γεγονότος εἰς αὐτὸν ἀναγόντων.

Ib. Ἁλώμεθα] τῇ διανοίᾳ. Οἰομενόι τοῦτον ταῦτα ποιῆσαι ἀπὸ τοῦ θεαθῆναι ὑπό τινος κατασκόπου ξιφηφόρον ἐν τῷ πεδίῳ νυκτός. Ἔνεστι δὲ ἀπιστεῖν, διὰ τὸ μαινομένου τὸ ἔργον δοκεῖν· ἐκεῖνος γὰρ ἐν τοῖς σώφροσι.

Ib. Ἁλώμεθα] ἀλῶμαι τὸ πλανῶμαι, ἀφ' οὗ ἄλη ἡ πλάνη, καὶ ἀλύειν τὸ ἔν τινι χρείᾳ γενόμενον τινὰ ἀπορεῖν. Καὶ ἀλύουσα κόμη, ἡ ἀτακτοῦσα, καὶ πλανουμένη.

26. Λείας ἁπάσας] τὰ ποίμνια, τὰ βοσκήματα λείας φησίν. Ἔνθεν καὶ λῃστὴς κατὰ τὸ κύριον. Ὅμηρος, " Ληΐδα τ' ἐκ Πεδίου " συνελάσαμεν."

Ib. Κατηναρισμένας] ἄκυρον. Τὸ γὰρ σκυλεύειν, ἐναρίζειν. Ὅτι τὰ ἔναρα, σκῦλα, παρὰ τὸ ἀρηρέναι, καὶ ἐντὸς αὐτῶν εἶναι ἡμᾶς. Καὶ τὸ παρ' Ὁμήρῳ, τοιοῦτόν ἐστιν, " Ἦτοι " βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν." Πῶς γὰρ οἷόν τέ ἐστι σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ ἀλόγων ζώων τὸ σκυλεύειν; Καλλίμαχος ἐπὶ τῆς λεοντείας δορᾶς·— " τὸ " δὲ σκύλον ἀνδρὶ καλύπτρη Γιγνόμενον νιφετοῦ, καὶ βελέων ἔρυμα."

27. Ἐπιστάταις] τοῖς ποιμέσι. Καλῶς δὲ τοῦτο, ἵνα μὴ παραγένοιτό τις ἀπαγγέλλων τὸ σαφές. Πόθεν οὖν αὕτη ἡ ὑπόνοια; ὅτι εἶδέ τις αὐτὸν ἐν τῷ πεδίῳ πηδῶντα μετὰ τοῦ ξίφους νεωστὶ ῥαινομένου ὑπὸ τοῦ αἵματος.

28. Τὴν δ' οὖν] βάσις.

31. Φράζει] κατασκευὴ τῆς βάσεως.

32. Καὶ τὰ μὲν κατά τινα μὲν σημειοῦμαι ὡς αὐτός ἐστιν ὁ δράσας· κατά τινα δὲ, εἰς ἔκπληξιν πίπτω καὶ ἀπορίαν, οὐ δυνάμενος συνιέναι τὸν δράσαντα. Σώφρων γὰρ ὁ Αἴας· τὸ δὲ ἔργον, μαινομένου καὶ παραπλῆγος. Οἱ δὲ λέγοντες, τὰ μὲν τῶν ἰχνῶν, οὐ καλῶς λέγουσι.

Ib. Καὶ τὰ μὲν σημαίνομαι] ἤγουν σηματίζομαι, διὰ σημείων γινώσκω. Οἷον, σημεῖα ἐμαυτῷ τινα συντίθημι ἀπὸ ἴχνους. Τὰ δὲ ἀπορῶ. Τοιοῦτον γὰρ συμβαίνει ἐπὶ τοὺς ἰχνευτὰς, ἐπιταραττομένων τῶν ἰχνῶν· διὰ δὲ τὴν μανίαν δυσίχνευτος καὶ ἐπιτεταραγμένη, ἡ βάσις γέγονε τοῦ Αἴαντος. Καὶ ὅλως Ὀδυσσεὺς ἀναμένει τὸ ἀκριβὲς γνῶναι, ἵνα μὴ δοκοίη κατ' ἐχθροῦ προπετές τι πράττειν.

33. Ὅτου] οἱ Ἀττικοὶ ἀντὶ τοῦ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς τῶν ἑνικῶν τοῦ οὗ, καὶ ἀντὶ τοῦ ὑποτακτικοῦ τῆς δοτικῆς τοῦ ᾧ, τὸ ὅτου λέγουσι, καὶ τὸ ὅτῳ, συντιθέντες τὰ προτακτικὰ ἄρθρα τὸ τοῦ, καὶ τὸ τῷ μετὰ τοῦ ὁ. Τούτοις ἀκολουθήσαντες οἱ ποιηταὶ καὶ ἐπὶ τῶν πληθυντικῶν τοῦτο ποιοῦσι· λέγουσι γὰρ ὅτων ἀντὶ τοῦ ὧντινων, καὶ ὁτέοις ἀντὶ τοῦ οἵστισιν. Ἐπὶ δὲ τῶν αἰτιατικῶν οὐδέποτε τὸ τοιοῦτο γίνεται, οὔτε παρὰ τοῖς Ἀττικοῖς οὔτε παρὰ τοῖς ποιηταῖς.

Καιρὸν δ᾽ ἐφήκεις· πάντα γὰρ τάτ᾽ οὖν πάρος,
Τά τ᾽ εἰσέπειτα, σῇ κυβερνῶμαι χερί.
ΑΘΗ. Εγνων, Ὀδυσσεῦ· καὶ πάλαι φύλαξ ἔβην
Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.
ΟΔΥ. Ἦ καὶ, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
ΑΘΗ. Ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
ΟΔΥ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ᾽ ᾖξεν χέρα;
ΑΘΗ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ΟΔΥ. Τί δῆτα ποίμναις τήνδ᾽ ἐπεμπίπτει βάσιν;
ΑΘΗ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
ΟΔΥ. Ἦ καὶ τὸ βούλευμ᾽ ὡς ἐπ᾽ Ἀργείοις τόδ᾽ ἦν;
ΑΘΗ. Κἂν ἐξέπραξεν, εἰ κατημέλησ᾽ ἐγώ.

34. Καιρὸν δ᾽ ἐφήκεις] εὐφυῶς ἄρχεται τῆς ὑποθέσεως ὁ Ποιητὴς, ὥστε τρανῶσαι τὸ πᾶν διὰ τῆς Ἀθηνᾶς. Θεραπεύει δὲ Ὀδυσσεὺς τὴν Ἀθηνᾶν, ἵνα καὶ ἐν τοῖς ἑξῆς ἔχῃ αὐτὴν εὐμενῆ.

36. Ἔγνων] προκατάστασις καὶ διήγησις τῆς ὑποθέσεως.

Ib. Ἔγνων, Ὀδυσσεῦ] ταῦτα πρὸς τὰ ἐξ ἀρχῆς, ἵνα μὴ δόξῃ ἀγνοεῖν ἡ θεὰ τὸ πρᾶγμα.

38. Ἦ καὶ, φίλη] ἐν τοῖς ἀμοιβαίοις κατὰ βραχὺ δηλοῦται ἡ ὑπόθεσις. Πυνθάνεται δὲ πρῶτον εἰ ἄρα πρὸς καιρὸν πονεῖ· εἰ γὰρ αὐτός ἐστιν ὁ τὸν φόνον δράσας πρὸς καιρὸν ἂν εἴη πονῶν ὁ Ὀδυσσεύς· τὸ δὲ ἐν τῷ, ὡς ἔστιν ἀνδρὸς, ἀντὶ τοῦ ὄντως καὶ ἀληθῶς, κεῖται.

39. Τἄργα ταῦτα] τὸ σοὶ, οὐ παντάπασιν ἀργὸν, ἀλλὰ καί τινα χρείαν παρέχει, εἴ τις ἀκριβῶς σκοποίη. Ἐπειδὴ γὰρ ὁ Ὀδυσσεὺς, ὅς ἐστιν ὁ πράξας μαθεῖν ἐβούλετο, διὰ τοῦτο Ἀθηνᾶ πρὸς τὴν ἐρώτησιν τοῦτο φησὶν, ὡς ταῦτα τὰ ἔργα τοῦ Αἴαντος ἐστί σοι τῷ περὶ τούτων μαθεῖν ζητοῦντι. Εὑρήσεις δὲ τοῦτο πολλάκις προϊών.

40. Καὶ πρὸς τί] οἷον πρὸς ποῖον σκοπὸν ἀφορῶν ᾖξεν ἀντὶ τοῦ ἦιξε, καὶ ἐκίνησεν οὕτω χέρα δυσλόγιστον.

Ib. Δυσλόγιστον] ἤγουν δυσκατανόητον, δυσσυλλόγιστον. Ἔστι δὲ ἀντὶ τοῦ ἐπιῤῥήματος, ἀντὶ τοῦ δυσλογίστως, ὥσπερ ταχὺς ἦλθε ἀντὶ τοῦ ταχέως.

Ib. Καὶ πρὸς τί δυσλόγιστον] ἐπύθετο πρῶτον εἰ αὐτὸς ὁ δράσας, εἶτα καὶ τὴν αἰτίαν πυνθάνεται. Τὸ δὲ δυσλόγιστον, ὅμοιον τῷ πρᾶγος ἄσκοπον. Ἀγνοεῖ γὰρ ἔτι τὴν μανίαν.

42. Ἐπεμπίπτει] οἱ λέγοντες τὸ ἐπεμπίπτειν ἀντὶ τοῦ ἐπιβάλλειν, ἵνα συντάξωσι τὴν αἰτιατικὴν, τἀληθὲς ἀγνοοῦσιν· ἀλλ᾽ ὥσπερ φαμὲν, πολεμῶ σοι πόλεμον, καὶ ἦλθον ἐνταῦθα καλλίστην πορείαν· τὸ γὰρ ἐλθεῖν ἐνταῦθα καλλίστην πορείαν λέγω· οὕτω καὶ νῦν, ἐπεμπίπτει ταῖς ποίμναις τήνδε τὴν βάσιν, τοῦτ᾽ ἔστι, τίνος ἕνεκα ἐπὶ ταύταις ὁρμᾷ ὁρμὴν τήνδε, τὸ διαφθεῖραι λέγω αὐτάς. Ἄλλως· ταῖς ποίμναις ἐπεμπίπτει, ἀντὶ τοῦ ἐπὶ ταῖς ποίμναις, τοῦτ᾽ ἔστι κατὰ τῶν ποιμνίων. Βάσιν δὲ ἐποιήσατο, ὤφειλεν εἰπεῖν. Ὁ δὲ καὶ τὴν ὑπόθεσιν αὐτοῦ θέλων δηλῶσαι, ἐπεμπίπτει λέγει· τοιοῦτο καὶ τὸ ἔκειρε φόνον, κυκλοῦντα βάσιν.

43. Δοκῶν ἐν ὑμῖν] τοῦτο καθ᾽ ὅλον καὶ μέρος. Τὸ μὲν δοκῶν, ὅλον· τὸ δὲ χεῖρα, μέρος.

44. Ἦ καὶ τὸ] τὸ πᾶν οὕτως, ἆρα αὕτη ἡ βουλὴ καὶ κατὰ τῶν Ἀργείων ἦν, οὕτω μεγάλη δηλονότι οὖσα;

45. Κἂν ἐξεπράξατο, εἰ κατημέλησ᾽ ἐγώ] γράφεται καὶ, ἐξέπραξεν.

ΟΔΥ. Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘΗ. Νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔΥ. Ἦ καὶ παρέστη, κἀπὶ τέρμ' ἀφίκετο;
ΑΘΗ. Καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔΥ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘΗ. Ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
Γνώμας βαλοῦσα, τῆς ἀνηκέστου * χαρᾶς.
Καὶ πρός τε ποίμνας ἐκτρέπω, σύμμικτά τε
Λείας, ἄδαστα βουκόλων φρουρήματα.
Ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
Κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε

* ALDUS, ἀνεικάστου.

46. Ποιαῖσι τόλμαις] ἐρωτᾷ ὁ Ὀδυσσεῦς, πῶς μόνος ὢν πρὸς πλῆθος ἐδύνατο μάχεσθαι, ἤγουν τίνες ἦσαν αἱ τόλμαι αἷς ἐθάῤῥει, καὶ τί ἦν τὸ θράσος τῶν φρενῶν, δι' οὗ ἐθάῤῥει ποιῆσαι τοῦτο;

48. Ἦ καὶ παρέστη] ἀντὶ τοῦ ἐπλησίασεν ἡμῖν, καὶ ἐπὶ τὸ τέρμα, τῆς ὁδοῦ δηλονότι, ἀφίκετο.

49. Στρατηγίσιν πυλαῖς] ταῖς τῶν σκηνῶν·

50. Ἐπέσχε] Ἐπέχω τὸ κωλύω, καὶ ἐπέχει ἡ οἰκία τοσοῦτον διάστημα, ἀντὶ τοῦ ἐπικρατεῖ. Καὶ ἐπέχει τὶς τοῦ διδασκάλου τάξιν.

Ib. Μαιμῶσαν] γράφεται καί, διψῶσαν·

51. Ἐγώ σφ' ἀπείργω] ὅτι προσκορὲς ἦν διηγηματικῷ εἴδει τὸ πᾶν διεξελθεῖν. Τὸ δὲ ἑξῆς, ἐγώ σφ' ἀπείργω, τῆς ἀνηκέστου χαρᾶς. Χαράν φησι τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι. Ταύτης οὖν αὐτὸν τῆς χαρᾶς ἀπεῖρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασι. Καλῶς δὲ εἶπε γνώμας· οὐ γὰρ κλέψαι φησὶ τὴν ὄψιν. Ὥστε μὴ ὁρᾷν, ἀλλ' ἐπ' αὐτῇ γνώμην δύσφορον ἐπιβαλεῖν, ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

Ib. Ἐγώ σφ'] τοῦτ' ἔστιν, οὐ μόνον ἐκώλυσα τότε τοῦ φονεῦσαι ὑμαῖς, ἀλλὰ καὶ νῦν κωλύω μὴ θεωρεῖν σε.

Ib. Δυσφόρους] εὔφορον τὸ ἐλαφρὸν, δύσφορον, τὸ δύσκολον φερόμενον, ἀπὸ τούτου εὐφόρως, ἀντὶ τοῦ εὐχερῶς, παρ' Ἱπποκράτει, ἀπὸ τοῦ εὐκόλως φέρειν, ᾧ ἐναντίον τὸ δυσφόρως, ἤγουν δυσβαστάκτως· Ἐνταῦθα δὲ δυσφόρους γνώμας λέγει τὰς κακῶς φερομένας, καὶ μὴ εὐοδουμένας, ἢ παραφόρους.

Ib. Ἐπ' ὄμμασιν] ἐπειδή φησιν ἡ παροιμία, νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. Ὁ δὲ Αἴας ὑπ' Ἀθηνᾶς τὸν νοῦν κατεσέσειστο, διὰ τοῦτό φησι τὸ δυσφόρους ἐπ' ὄμμασι γνώμας βαλοῦσα, τοῦτ' ἔστι τὸν νοῦν αὐτοῦ διαφθείρασα, ὥστε ὁρῶντα μηδὲν αἰσθάνεσθαι, πάσχοντος τοῦ αἰτίου τῆς ὁράσεως, ἀλλ' οὐ τῆς ὁράσεως.

52. Χαρᾶς] χαρὰν δὲ λέγει, ἣν εἶχεν ὁ Αἴας ἐπὶ τῷ δοκεῖν ἀνῃρῆσθαι τοὺς Ἕλληνας.

53. Σύμμικτά τε] καὶ τὰ ἑξῆς περιφραστικῶς τὰ βουκόλια.

54. Λείας, ἄδαστα] οὐ δεῖ πρὸς τὸ λείας ἔξωθεν τὸ ἀπὸ λαμβάνειν, ἀλλ' οὕτω λέγειν, πρὸς τὰ σύμμικτα φρουρήματα τῶν βουκόλων, τὰ ἄδαστα τῆς λείας, ἤτοι τὴν ἀμέριστον λείαν.

Ib. Ἄδαστα] ἀδιαίρετα. Ἀμέριστα. Πιθανὸν δὲ καὶ πρὸς τὸ πλῆθος· ἐλάσσονα γὰρ εἶναι εἰκὸς τὰ μεμερισμένα.

55. Ἔκειρε] ἀντὶ τοῦ κείρων ἐπῄει.

56. Κύκλῳ ῥαχίζων] κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων· καὶ διακόπτων διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ ῥάχιν γίνεσθαι. Ἐκ μεταφορᾶς καὶ τοὺς μεγάλως κακουργοῦντας, ῥαχιστὰς φαμέν.

57. Δισσοὺς

Δισσὲς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
Ὅτ᾽ ἄλλοτ᾽ ἄλλον, ἐμπιτνῶν, ϛρατηλατῶν·
Ἐγὼ δὲ φοιτῶντ᾽ ἄνδρα μανιάσιν νόσοις
Ὤτρυνον, εἰςέβαλλον εἰς ἕρκη κακά.
Κἄπειτ᾽ ἐπειδὴ τᾶδ᾽ ἐλώφησεν φόνȣ,
Τὲς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
Ποίμνας τε πάσας, εἰς δόμȣς κομίζεται,
Ὡς ἄνδρας, ἐχ ὡς εὔκερων ἄγραν ἔχων.
Καὶ νῦν κατ᾽ οἴκȣς συνδέτȣς αἰκίζεται.
Δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
Ὡς πᾶσιν Ἀργείοσιν εἰςιδὼν θροῇς.

57. Δισσὲς Ἀτρείδας] πιθανῶς τέτων τὰ ὀνόματα εἶπεν. Κατ᾽ αὐτῶν γὰρ πλείων ἡ ἀγανάκτησις, ὡς τῆς ἀδικίας προκαταρξαμένων. Τὸ δὲ τοῦ Ὀδυσσέως ἐταμιεύσατο τῷ Αἴαντι, ἵνα καὶ μεῖζον εἴη τὸ πάθος αὐτȣ̃ φανερῶς παραπαίοντος. Κἄπειδὴ γέλοιον προελθόντα τὸν Αἴαντα λέγειν καὶ παρενοχλεῖν τοῖς θεαταῖς, εἰ προειρήκει πάντα ἡ Ἀθηνᾶ.

Ib. Αὐτόχειρ κτείνειν ἔχων] γράφεται παρών.

Ib. Αὐτόχειρ κτείνειν] αὐτοχείρως ἔδει εἰπεῖν, πρὸς δὲ τὸ ἔχων ἐπήνεγκε. Καὶ τὸ, ὅτ᾽ ἄλλοτ᾽ ἄλλον δὲ, ἀσυνδέτως εἴρηκε.

58. Ὅτ᾽ ἄλλοτ᾽ ἄλλον] ποτὲ δὲ ἄλλοτε ἐδόκει κτείνειν εἰςερχόμενος ἄλλον ἀπὸ τῶν ϛρατηλατῶν· ἤγȣν τῶν βασιλέων Ἀγαμέμνονος καὶ Μενελάȣ.

Ib. Ἐμπίπτων] γράφεται ἐμπεσὼν, ἢ ἐμπιτνῶν.

Ib. Ἐμπιτνῶν] οἱ γράφοντες ἐμπίπτων, ἐ καλῶς γράφȣσι· βραχὺ γὰρ ὀφείλει εἶναι τὸ πι, ὡς ἐν τῇ τετάρτῃ ὂν χώρᾳ.

Ib. Φοιτῶντα] ἀντὶ τοῦ μαινόμενον· φοῖτος γὰρ ἡ μανία. Ἢ περιερχόμενον ἐν τοῖς ποιμνίοις διὰ τὴν μανίαν. Λέγει γὰρ, μανιάσι νόσοις. Ἢ ἀναϛρεφόμενον ἐν τῇ μανίᾳ.

Ib. Μανιάσιν νόσοις] ταυτὸν τὸ, εἰς ἕρκη κακά. Ἢ ἕτω λέγε, ἐγὼ δὲ φοιτῶντα καὶ ἀλόγως ὁρμῶντα καθ᾽ ὑμῶν ἄνδρα, ὤτρυνον, εἰςέβαλλον εἰς ἕρκη κακὰ, ἐν μανιάσι νόσοις, τȣ̃τ᾽ ἔϛιν, ἐκ ἄλλως ἐποίησα αὐτὸν δυϛυχῆσαι· (τȣ̃το γάρ ἐϛι τὸ εἰς ἕρκη κακά) ἀλλ᾽ ἢ ἐν τῷ ποιῆσαι αὐτὸν μαινόμενον.

Ib. Εἰς ἕρκη κακὰ] γράφεται, ἐς ἐριννὺν κακήν.

61. Ἐλώφησεν] ἐπαύσατο ἀπὸ τῶν ὑποζυγίων, ὅθεν καὶ τὸ εὐλόφως φέρειν.

62. Τὲς ζῶντας] τὲς ζῶντας τῶν βοῶν δήσας ὡς αἰχμαλώτȣς ἄνδρας, ἄγει, καὶ τὰ λοιπὰ ποίμνια· πιθανὸν δὲ καὶ τȣ̃το προειρῆσθαι, ἵνα ὅταν εἴπῃ ἡ Τεκμήσσα περὶ τȣ̃ κριȣ̃, προεπιϛαίμεθα τȣ̃το.

Ib. Συνδήσας] συνδεῖν τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμεῖν.

63. Κομίζεται] κομίζω τὸ φέρω· κομίζομαι δὲ τὸ λαμβάνω.

64. Εὔκερων] εὔκερων ἄγραν, ἤγȣν εὐφυῶς ἔχȣσαν ἐπὶ τοῖς κέρασι, τȣτέϛι κερασφόρον· καὶ εὔκερως ταῦρος ὁ καλὰ κέρατα ἔχων.

66. Δείξω δὲ καὶ σοὶ] Πιθανὴ ἡ παρείσοδος τȣ̃ Αἴαντος· ἕτω γὰρ μεῖζον γίνεται τὸ πάθος τῆς τραγῳδίας τῶν θεατῶν, νῦν μὲν παραφρονȣ̃ντα, ὀλίγῳ δ᾽ ὕϛερον ἔμφρονα θεωμένων· καὶ ἵνα ἰδὼν ὁ Ὀδυσσεὺς ἐξείπῃ τοῖς ἄλλοις Ἕλλησιν· ἕτω δὲ καὶ ἡ εὔνοια τῆς Ἀθηνᾶς ἐνδείκνυται εἰς τὸν Ὀδυσσέα.

67. Θροῇς] θροῶ τὸ λέγω ποιητικῶς, καὶ θροῶ τὸ θορυβῶ κοινῶς.

Θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
Τὸν ἄνδρ᾽· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
Αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
Οὗτος, σὲ τὸν τὰς αἰχμαλώτιδας * χέρας
Δεσμοῖς ἀπευθύνοντα, προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
ΟΔΥ. Τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ᾽ ἔξω κάλει.
ΑΘΗ. Οὐ σῖγ᾽ ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς †;

* ALDUS, αἰχμαλωτίδας. † ALDUS, ἄρης.

68. Συμφορὰν δέχου] τουτέστι, μὴ ἰδὼν τὸν ἄνδρα τὸν Αἴαντα δέξῃ συμφορὰν οἰκείαν. Ἤγουν βλέπων αὐτὸν τοιῶσδε διακείμενον μὴ λυπηθῇς ἐπ᾽ αὐτῷ. Ἄλλοι δὲ οὕτως ἐξηγοῦσι, μὴ συμφορὰν δέχου τὸν ἄνδρα, τουτέστι μὴ οἰηθῇς παθεῖν τι κακὸν ἐξ αὐτοῦ.

69. Ἐγὼ γὰρ] ἐγὼ διεστραμμένας ποιήσασα τὰς αὐγὰς τῶν ὀμμάτων αὐτοῦ ἀπείρξω θεάσασθαι τὴν σὴν πρόσοψιν.

Ib. Ἀποστρόφους] εἰς τοὺς (τὰ) ὀπίσω ἐστραμμένους. Διάστροφοι, ὀφθαλμοὶ, οἱ τοῦ μαινομένου, καὶ οἱ ἐπ᾽ ἄλλο βλέποντες, εἶτα κατ᾽ ἄλλο δοκοῦντες βλέπειν. Ἀπόστροφοι δὲ, οἱ ὄπισθεν ἐστραμμένοι.

71. Οὗτος] ἀποστροφὴ πρὸς τὸν Αἴαντα.

72. Ἀπευθύνοντα] Εὐθύνω τὸ κατ᾽ εὐθεῖαν ἄγω, καὶ κυβερνῶ, καὶ τὸ κολάζω. Καὶ ἀπευθύνω ἐπὶ τῶν αὐτῶν ὁμοίως.

Ib. Προσμολεῖν] τὸ προσμολεῖν οὐκ ἀπὸ τοῦ μολέω μολῶ γίνεται· ἄχρηστον γὰρ τοῦτο, ἀλλ᾽ ἀπὸ τοῦ μόλω.

75. Οὐ σῖγ᾽ ἀνέξῃ] σίγα ῥῆμα, ἀντὶ τοῦ σιώπα, καὶ σῖγα ἐπίῤῥημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν.

Ib. Οὐ σῖγ᾽ ἀνέξῃ] τὸ σίγα, τὸ μὲν προστακτικὸν σπονδειακὸν ὂν, παροξύνεται, ὡς τὸ, Σίγα νῦν ἐστὼς, καὶ μέν᾽ ὡς κυρεῖς ἔχων. Καὶ παρ᾽ Εὐριπίδῃ, Σίγα, σιώπα. Νήνεμον δ᾽ ἔστησ᾽ ὄχλον. Τὸ δὲ ἐπίῤῥημα τροχαϊκὸν ὂν, προπερισπᾶται, ὡς ἐνταῦθα, καὶ παρ᾽ Αἰσχύλῳ, "Οὐ σῖγα, μηδὲν τῶνδ᾽ ἐρεῖς κατὰ "πτόλιν". Τὸ μέν τοι ἀρεῖς, οὐκ ἄρης ὀφείλει γράφεσθαι ἐπὶ ἀορίστου, ἀλλ᾽ ἀρεῖς, ἐπὶ μέλλοντος. ὁ μὲν γὰρ ἀόριστος ὡς ἐπὶ τὸ πλεῖστον φύσει ἢ θέσει μακρᾷ παραλήγεται· ὡς ἐπὶ τὸ πλεῖστον δὲ εἴρηται διὰ τὸ ἐπῄνεσα καὶ ἐγέλασα, καὶ ἤροσα, καὶ ἔφρασα, καὶ ὅσοι λοιποὶ ἀόριστοι ἀπὸ μελλόντων γίνονται, βραχείᾳ συλλαβῇ παραληγομένων. Ὁ δὲ μέλλων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου. Ὥστ᾽ ἐπειδὴ ἡ ἕκτη τοῦ ἰάμβου χώρα, ἢ ἰάμβῳ, ἢ πυῤῥιχίῳ ἐκφέρεται, οὐ χρὴ ἄρης γράφειν, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται (μακρὸν γὰρ ὂν τὸ α, τὸν τοῦ μέτρου διαφθείρει κανόνα) ἀλλ᾽ ἀρεῖς, διὰ τὸ ἴαμβον εἶναι τὸν τοιοῦτον μέλλοντα. εἰ δέ τις εἴποι, ὡς ἐπειδὴ ὁ ἦρα ἀόριστος μεταβὰς εἰς ὑποτακτικὸν συνέστειλε τὴν παραλήγουσαν κατὰ τὸν κανόνα, ἴστω, ὅτι πάντες οἱ ἀόριστοι κἄν τε δισύλλαβοι ὦσι, κἄν τε τρισύλλαβοι, τὴν μὲν κλιτικὴν ἔκτασιν κινηθέντες ἀποβάλλουσι, κἄν τε συλλαβική ἐστι, κἄν τε χρονική (οἷον ἔτυψα, ἐὰν τύψω· ἤκουσα, ἐὰν ἀκούσω· εἶδον, ἰδών· ἦλθον, ἐλθών. Πλὴν τοῦ εἶπον εἰπὼν, καὶ ἧκον ἥκων, ἤγουν ἐλθών) τὴν δὲ παραλήγουσαν μακρὰν ἔχουσι, πλὴν τῶν εἰρημένων. Καὶ τὸ ἄρης οὖν εἰ καὶ συνέστειλε τὴν κλιτικὴν ἔκτασιν, ἀλλὰ τὴν φυσικὴν διεφύλαξε μακρότητα. Οὐ μόνον δὲ τὸ ἄρης, ἀλλὰ καὶ τὸ ἆρον. Διὸ καὶ προπερισπᾶται, ὅτι δὲ μακρά εἰσι φύσει καὶ ἀμφότερα, δῆλον ἐντεῦθεν Μηδ᾽ ὄγκον ἄρης μηδέν᾽ εἴτινος πλέον. Ἀλλ᾽ ἆρον ἔξω, καὶ μάλιστα μὲν μέθες.

76. Μὴ

ΟΔΥ. Μὴ πρὸς θεῶν, ἀλλ᾽ ἔνδον ἀρκείτω μένων.
ΑΘΗ. Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ᾽ ἦν;
ΟΔΥ. Ἐχθρός γε τῷδε τἀνδρὶ, καὶ τανῦν ἔτι.
ΑΘΗ. Οὐκοῦν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾷν.
ΟΔΥ. Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον εἰς * δόμους μένειν.
ΑΘΗ. Μεμηνότ᾽ ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
ΟΔΥ. Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ †.
ΑΘΗ. Ἀλλ᾽ οὐδὲ νῦν σε μὴ παρόντ᾽ ἴδῃ πέλας.
ΟΔΥ. Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘΗ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔΥ. Γένοιτο μέν τ᾽ ἂν πᾶν, θεοῦ τεχνωμένου ‡.
ΑΘΗ. Σίγα νῦν ἑστὼς, καὶ μέν᾽ ὡς κυρεῖς ἔχων.

* ALD. ἐν δόμοις. † TURN. ἰδεῖν. ‡ ALD. ἄν, πᾶν θεοῦ τεχνωμένου.

76. Μὴ πρὸς θεῶν] παραιτεῖται Ὀδυσσεὺς οὐχ ὡς κωμῳδοῦντος τοῦ ποιητοῦ δειλίαν τοῦ ἥρωος (οὕτω γὰρ ἀφαιρεθείη τῆς τραγῳδίας τὸ ἀξίωμα) ἀλλὰ τὸ εὐλαβὲς ἐνδείκνυται. Ἔμφρονος γὰρ ἦν τὸ τῷ μεμηνότι παραχωρεῖν· ὅρα γὰρ οἷον ἦν, προσελθόντα ἐκεῖνον θεάσασθαι τὸν νεκρόν.

77. Τί μὴ γένηται] μὴ τί γένηται φοβῇ; οὐχ ὁ αὐτὸς ἦν καὶ πρότερον ἄνθρωπος; ἀλλ᾽ οὐδὲν ὑμᾶς εἰργάσατο κακὸν ἡμῶν ἐπιμελουμένων.

Ib. Πρόσθεν οὐκ] ἡ σύνταξις, οὐκ ἦν καὶ ἔστιν ὅδε καὶ οὗτος, ἤγουν ὁ Αἴας, ἀνὴρ ὁ πρόσθεν· ἤγουν, οὐκ ἔστι τοιοῦτος οἷον ἐπίστασο πρότερον, φρενῶν καὶ λογισμοῦ μέτοχος, ἀλλὰ μαινόμενος, ὥστε οὐκ ἂν ἐπιγνοίη σε.

Ib. Πρόσθεν οὐκ ἀνὴρ] πρότερον μὲν οὐκ ἦν οὗτος ὁ ἀνὴρ αὐτὸς ἐκεῖνος ὅς ἐστι καὶ τανῦν.

78. Ἐχθρός γε τῷδε ἀνδρὶ] ναὶ, αὐτὸς ἐκεῖνός ἐστιν, ἀλλ᾽ ὅμως ἐχθρὸς ἦν ἐμοὶ καὶ πρότερον, καὶ τανῦν ἔτι μᾶλλον ἐχθρὸς ἐστί μοι.

Ib. Τῷδε τἀνδρὶ] δεικτικῶς, ἀντὶ τοῦ ἐμοὶ τῷ Ὀδυσσεῖ.

79. Οὐκοῦν γέλως ἥδιστος] σκληρὸν μὲν τὸ λέγειν τὸ ἐπεγγελᾷν τοῖς ἐχθροῖς, ἀλλὰ θέος ἐστιν, οὐκ εὐλαβουμένη τὸ νεμεσητόν· ἄλλως τε καὶ παροξύνουσα τὸν Ὀδυσσέα φησίν.

80. Ἐμοὶ μὲν ἀρκεῖ] μέτριον διεφυλάχθη τὸ τοῦ Ὀδυσσέως ἦθος, διὰ τὸ μὴ ἐντρυφᾷν τοῖς κακοῖς.

Ib. Εἰς δόμους] ποιητικῶς εἴρηται, ἀντὶ τοῦ ἐν δόμοις.

81. Μεμηνότ᾽ ἄνδρα ὀκνεῖς] ἀντὶ τοῦ φοβῇ· πυκνῶς γὰρ τίθησι τὸ ὀκνεῖν ἀντὶ τοῦ φοβεῖσθαι.

82. Φρονοῦντα γάρ νιν] ἑκατέρῳ τὸ οἰκεῖον παράκειται, καὶ οὐ χρὴ τὰ τοῦ Ὀδυσσέως φρονιμώτερα οἴεσθαι τῶν τῆς Ἀθηνᾶς· ἀλλ᾽ ἐκεῖνο σκοπεῖν, ὅτι ἡ μὲν μετὰ παῤῥησίας διαλέγεται, ὡς θεός· ὁ δὲ, ὑπεσταλμένως, ὡς θνητὸς, τὸν καιρὸν ὁρᾷ, ὅτι ὁμόσε χωρῆσαι τῇ μανίᾳ τοῦ ἐχθροῦ οὐχ ἁρμόζει. Φρονοῦντα γὰρ αὐτὸν οὐκ ἂν ἐξέστην δι᾽ εὐλάβειαν. Τὸ δὲ νῦν ἐκστῆναι, οὐ τῷ Αἴαντι, ἀλλὰ τῇ μανίᾳ.

85. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα] εἰ καὶ βλέποντα τὰ βλέφαρα αὐτοῦ, ποιήσω μὴ δεδορκέναι.

Ib. Βλέφαρα] ἐνταῦθα τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· βλέφαρα γὰρ κυρίως οἱ τοὺς ὀφθαλμοὺς περιέχοντες ὑμένες.

87. Σίγα νῦν] τὸ νῦν τοῦτο, εἰ καὶ ἀντὶ τοῦ δὴ ἐστὶν, ἀλλ᾽ ἔχει καί τινα ἔμφασιν καιροῦ, ὥσπερ φαμὲν καὶ τὸ ὅτε, τὸ τὴν αἰτίαν δηλοῦν· τοῦτο γὰρ οὐ μόνον ἀντὶ τοῦ ἐπεὶ ἐστὶν, ἀλλὰ καὶ καιρὸν δηλοῖ.

ΟΔΥ. Μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘΗ. Ὦ οὗτος, Αἴαν, δεύτερόν σε προσκαλῶ.
Τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου;
ΑΙΑ. Ὦ χαῖρ', Ἀθάνα, χαῖρε, διογενὲς τέκνον,
Ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
Στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘΗ. Καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,
Ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙΑ. Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘΗ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
ΑΙΑ. Ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.
ΑΘΗ. Τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙΑ. Θανόντες· ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.

88. Ὦν τυχεῖν] ἰστέον ὅτι τὸ τυχεῖν καὶ τὸ τυγχάνειν μετὰ μετοχῆς τάττονται καὶ λαμβάνονται ἀντὶ τοῦ κατὰ τύχην. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ τῶν τοιούτων εἰς τὸ ῥῆμα τῆς μετοχῆς ὁ λόγος ἀναλύεται, οἷον ἔλαθε ποιήσας ἀντὶ τοῦ ἐποίησε, καὶ ἔτυχεν ἀναλώσας ἀντὶ τοῦ ἀνήλωσεν.

Ib. Ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν] τὸ ὢν ἐνταῦθα ἀναλύεται εἰς ἀπαρέμφατον, τὸ δὲ τυχεῖν οὐ συνακούεται, ἤγουν ἤθελον δ' ἂν εἶναι ἐκτός.

89. Ὦ οὗτος] διὰ τοῦ οὗτος καὶ τοῦ Αἴας, δισσὴ ἡ κλῆσις· ἢ ὅτι καὶ πρότερον ἐκάλεσεν αὐτὸν, ὅτε καὶ Ὀδυσσεύς φησι, τί δρᾷς, Ἀθάνα; ἢ ὡς καὶ πρότερον, ὁπότε ἐδόκει συλλαμβάνειν αὐτῷ πρὸς τὴν ἀναίρεσιν.

90. Τί βαιὸν οὐδὲν] ὀλίγον. Ἀντὶ τοῦ οὐδὲ ὅλως. Σύμμαχον δὲ αὐτὴν νομίζει, ὡς καὶ ἐν τοῖς ἑξῆς φησὶν, ὡς εὖ παρέστης.

Ib. Βαιὸν τὸ μικρόν. Λέγεται δὲ ἐνταῦθα ἀντὶ τοῦ οὐδέν. Ἔχει δὲ τὸ πᾶν οὕτως, τί οὐδ' ὅλως ἐντρέπῃ, ἤγουν ἐπιστρέφῃ οὕτως ἐμοῦ, δηλονότι τῆς συμμάχου.

91. Ὦ χαῖρ', Ἀθάνα] ἐπέγνω μὲν τὴν Ἀθηνᾶν· τὰ δὲ ἑξῆς, τοῦ παραπαίοντος· οὕτω γὰρ ἂν προκόψειεν ἡ ὑπόθεσις. Οὐ παντελῶς δὲ ἀπώλετο αὐτοῦ τὸ ἡγεμονικὸν, ἀλλ' ἡ μανία γέγονε περὶ τὸ λογιστικόν· ἐμέμνητο μὲν γὰρ ὡς ἐχθροὺς ἀνελὼν, περὶ τὸ πρόσωπον δὲ ἐσφάλλετο, ὅτι ποίμνια ἀνεῖλε, καὶ διελογίζετο ἄνδρας ἀνῃρηκέναι.

92. Ὡς εὖ παρέστης] ἤγουν παραστάτις, καὶ βοηθὸς ὑπάρξας ἐμοὶ, ἵνα τοὺς ἐχθροὺς ἀνέλω.

96. Κοὐκ ἀπαρνοῦμαι τὸ μή] Ὤφειλεν εἰπεῖν οὐ λέγω τὸ οὐχὶ, ἐπεὶ δὲ ἄρνησιν ἔχει τὸ οὐχὶ, λέγει τὸ ἀρνοῦμαι, ἵν' ᾖ, ἀρνούμενος λέγω, τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς.

Ib. Κοὐκ ἀπαρνοῦμαι] αἱ δύο στερήσεις ἐνταῦθα ἀντὶ μιᾶς καταφάσεως· μία γὰρ στέρησις τὸ οὐ, καὶ ἑτέρα τὸ ἀπαρνοῦμαι.

97. Ἤχμασας] σὺν αἰχμῇ ἐκίνησας.

98. Ὥστ' οὔποτ' Αἴανθ' οἵδ'] ἐὰν δασυνθῇ τὸ οἱ, ἔστιν ἐπὶ τῶν Ἀτρειδῶν· ἐὰν δὲ ψιλὸν, τὸ οἶδα ἀντὶ τοῦ ἐπίσταμαι.

100. Θανόντες ἤδη] οἱ θανόντες ἤδη ἀφαιρείσθωσαν τὰ ἐμοὶ προσήκοντα ὅπλα. Αἴρομαι καὶ ὁ παρατατικὸς ἠρόμην ἤρου, καὶ τὸ προστακτικὸν ἀφαίρου ἀφαιρέσθω, ἀφαίρεσθον, ἀφαιρέσθων, ἀφαίρεσθε, ἀφαιρέσθωσαν, καὶ κατὰ συγκοπὴν ἀφαιρείσθων πλεονασμῷ τοῦ ι. Ἔστι γὰρ ἡ συνήθεια αὕτη τῶν Ἀττικῶν.

Ib. Τἄμ' ἀφαιρείσθων] καλῶς τὰ ἐμὰ ἔφη, ἀντὶ τοῦ τὰ ἀνήκοντά μοι, οὐχ ἃ δεῖ με λαβεῖν, ὡς ἰδίων ἀπεστερημένον.

101. Τί

ΑΘΗ. Εἶεν. Τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
Ποῦ σοι τύχης ἕστηκεν; ἢ πέφευγέ σε;
ΑΙΑ. Ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
ΑΘΗ. Ἔγωγ' Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
ΑΙΑ. Ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
Θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔτι πω θέλω.
ΑΘΗ. Πρὶν ἂν τί δράσῃς, ἢ τί κερδάνῃς * πλέον;
ΑΙΑ. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης.
ΑΘΗ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
ΑΙΑ. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.

* Turn. κερδανεῖς.

101. **Τί γὰρ**] τὸ γὰρ οὐκ ἔστι κατασκευαστικὸν, ἀλλ' ἔστι κάλλος τοῦ λόγου, ἐν ἀρχῇ ἐννοίας τι θέμενον, ᾧ καὶ οἱ λογοποιοὶ χρῶνται πολλαχοῦ.

102. Ποῦ σοι τύχης ἕστηκεν; ἢ πέφευγέ σε] οὐχ' ὡς διαστέλλουσα φησὶν, ὡς ἂν εἴποι τις, ἔθανεν, ἢ πέφευγέ σε; ἀλλὰ παροξύνουσα. Φησὶ γὰρ, πέφευγε δή σε ὁ Ὀδυσσεύς.

103. Τοὐπίτριπτον κίναδος] τὸ ἐξῶλες θηρίον καὶ πανοῦργον· κίναδος γὰρ ἡ ἀλώπηξ. Πάνυ δὲ κατατρέχει τοῦ Ὀδυσσέως ὡς ἐχθίστου.

Ib. Ἐξήρου μ' ὅπου] τῆς τύχης ἐστὶ, δηλονότι.

Ib. Ἦ τοὐπίτριπτον] εἰ καὶ δοκεῖ τὸ ἐπίτριπτον κίναδος, εὐθεῖα, διὰ τὸ ῥᾳδίως οὕτω συντάσσεσθαι· ἀλλ' οὐκ ἔστιν οὕτως, ἀλλ' ἔστιν αἰτιατικὴ πρὸς εὐθεῖαν προσχωροῦσα, ὥσπερ καὶ παρὰ τῷ κωμικῷ, οἱ τὸν οὐρανὸν λέγοντες ἀναπείθουσιν ὡς ἔστι πνιγεύς. Καὶ πάλιν. Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὐτῆς πόδας, εἰ καί τινες τῶν ἀμαθῶν τὴν διὰ πρόθεσιν λαμβάνουσιν ἔξωθεν. Ἔστι δὲ τὸ οὐρανὸν, αἰτιατικὴ πρὸς εὐθεῖαν τὸ πνιγεὺς προσχωροῦσα. Οὕτω δὴ καὶ τοῦτο. Προϊὼν δὲ εὑρήσεις αὖθις τήνδε τὴν σύνταξιν. Ἀλλὰ καὶ τὸ, Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση; καὶ τὸ, Σὺ δ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται, οὐχ ἑτέρα ἐστί. Μὴ μόνον δὲ παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς πολλὰ τοιαῦτα εὑρήσεις.

Ib. Κίναδος] τὸ ἐπίτριπτον κίναδος, ὡς ἐπίθετον λαμβάνεται τὸ ἐπίτριπτον, ἤγουν τὸ κίναδος τὸ ἐπίτριπτον, τουτέστι τὸ πανοῦργον θηρίον, καὶ ἐπιτριβῆς ἄξιον.

104. Ἔγωγ' Ὀδυσσέα] οἱ Ἀττικοὶ ἐν τοῖς δεομένοις ἀποκρίσεως διὰ τοῦ ναὶ λέγουσι τὸ ἔγωγε, ἢ μάλιστα, ἢ τοιοῦτό τι, καὶ ἀρκοῦνται τούτοις· ἐν οἷς δὲ τὸ οὐ ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὰ ἀπωμοτικὸν, καὶ ἀρκοῦνται τούτῳ.

Ib. Τὸν σὸν ἐνστάτην] ἀντὶ τοῦ ἐχθρὸν καὶ ἀντίπαλον. Ἤτοι, κατὰ πάντα ἐνιστάμενόν σοι ἢ ἰδικῶς ἐπὶ τῆς κρίσεως μόνον, οἷον τὸν ἀντίδικον· κυρίως δὲ ἐνστάτης, ὁ ἐν τῇ ὁδῷ ἀντιστήκων τινὶ, ὡς εἰ λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγενημένον.

105. Ἥδιστος] καθ' ἡδονήν μοι.

Ib. Δεσμώτης] δεσμώτης λέγεται καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς. Καὶ ὁ δεσμῶν, ὡς κρατῖνος ἐν πυτίνῃ, "Ἐπὶ των "δεσμοφυλάκων· ὄψει γὰρ αὐτὴν ἐκτὸς οὐ "πολλῷ χρόνῳ παρὰ τοῖσι δεσμώτησι κατα-"πιπτουμένην."

108. Πρὶν ἂν δεθεὶς] ἰστέον ὅτι πρὶν ἂν δεθεὶς πρὸς τὸν κίονα τοῦ ἑρκίου τῆς στέγης ἀποδίδοται πρὸς τὸ, μάστιγι πρῶτον τὰ νῶτα φοινιχθεὶς θάνῃ.

Ib. Κίον' ἑρκίου] ὁ κίων ἀρσενικῶς, παρὰ δὲ τοῖς Ἴωσιν ἡ κίων θηλυκῶς, καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα θηλυκῶς οὗτοι προφέρουσιν.

110. Μάστιγι] πρῶτον ἐντεῦθεν ἡ ἐπιγραφὴ

τοῦ

ΑΘΗ. Μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙΑ. Χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
Κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην.
ΑΘΗ. Σὺ δ' οὖν, ἐπειδὴ τέρψις ὧδέ * σοι τὸ δρᾶν,
Χρῶ χειρί· φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙΑ. Χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
Τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
ΑΘΗ. Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἄν σοι τἀνδρὸς ἦν προνούστερος,
Ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
ΟΔΥ. Ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν

* ALDUS, ἧδε. TURN. ᾧδέ.

τοῦ δράματος, οὐ πρότερον φονεύω αὐτὸν πρὶν ἂν μαστίξω.

112. Χαίρειν, Ἀθάνα, τἄλλα] τὸ ἦθος τῆς ἀπαγγελίας ἀρχαῖον· ἔστι δὲ νῦν τὸ χαίρειν ἀντὶ τοῦ χαρτῶς ἐμοὶ λέγεις. Φησὶ δὲ ὡς κατὰ τὰ ἄλλα εἴκων τῇ θεῷ, τοῦτο δὲ ἀντιβαίνων. Ὑπεροπτικὸν δὲ τὸ ἦθος αὐτοῦ ἐντεῦθεν ἐνδείκνυται ὁ ποιητὴς, ἐπεὶ πάνυ πρόσκειται ὁ ἀκροατὴς τῷ Αἴαντι διὰ τὴν συμφορὰν, καὶ μονονουχὶ χαλεπαίνει τῷ ποιητῇ ἵνα δόξῃ ἀξιοπαθεῖν ὁ Αἴας, μὴ ὑποτεταγμένος τῷ δαίμονι.

112. Χαίρειν, Ἀθάνα] Ἐγώ σοι ἐφίεμαι, ὦ Ἀθάνα, χαίρειν κατὰ τὰ ἄλλα ὅσα με κελεύεις, κατὰ τοῦτο μόνον δὲ οὐκ εἰσακούσομαί σου, ὦ Ἀθάνα, κατὰ τὰ ἄλλα μὲν ὑπείκω σοι ὥστε χαίρειν, ἀντὶ τοῦ ἵνα χαίρῃς.

Ib. Χαίρειν, Ἀθάνα] ἤγουν, ἄλλα λέγε, καὶ ὑπακούσομαί σοι. Εἰκότως δὲ εἶπε τὸ χαίρειν. Ὅταν γάρ τις εἰπών τι εἰσακουσθῇ, διὰ τὸ θέλημα αὐτοῦ πεπληρῶσθαι ἥδεται.

Ib. Ἐφίεμαι] Ἐφίεμαι τὸ ἐπιθυμῶ, καὶ ἐφίεμαι τὸ ἐντέλλομαι ποιητικῶς, ἀφ' οὗ ἐφετμὴ ἡ ἐντολὴ, ἐφίεμαι χαίρειν σε, ἀντὶ τοῦ εὐνοῶ σοι, καὶ ὑπείκω σοι, σύμβολον γὰρ ἡ προσαγόρευσις τῆς εὐνοίας.

Ib. Ἐγώ σ' ἐφίεμαι] ἐφίεμαί σε εἰς τὰ ἄλλα κελεύειν μοι καὶ χαίρειν, ὡς πειθομένου μου· εἰς τοῦτο δὲ μόνον οὐκ ἀκούσομαί σου.

115. Ὧνπερ ἐννοεῖς] γράφεται ἐννέπεις.

Ib. Χρῶ χειρὶ] ἤγουν ἀπόλαυε τῆς χειρὸς πρὸς τὸ σὸν θέλημα, ὅσον ἔξεστι τοῦτον κολάζων.

Ib. Φείδου μηδὲν] μηδενὸς φείδου ἀπὸ πάντων ὧν ἐννοεῖς. Ἢ καὶ οὕτως, χρῶ τῇ σῇ χειρὶ, μηδαμῶς φείδου, καὶ ἀκριβολογοῦ τῶν ἔργων ὧνπερ ἐννοεῖς.

117. Παρεστάναι] παρίσταται δοῦλος δεσπότῃ, καὶ παρίσταται τίς τινι, ἀντὶ τοῦ συμμαχεῖ, ἀφ' οὗ παραστάτης, προΐσταται δὲ ὁ ἔμπροσθεν ἱστάμενος καὶ βοηθῶν τοῖς ὄπισθεν, ἀφ' οὗ προστάτης.

118. Ὁρᾷς, Ὀδυσσεῦ] παιδευτικὸς ὁ λόγος καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων. Καὶ διὰ τοῦτο ἐπίτηδες καὶ τῷ Ὀδυσσεῖ, καὶ τῷ θεατῇ ὑπέδειξε τὴν Αἴαντα· δηλῶν ὡς ὁ πρότερον φρόνιμος καὶ πρακτικὸς, νῦν ἐξέστη διὰ τὸ θεομαχῆσαι. Καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσι τινὲς, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ Θάμυρις, τῆς μουσικῆς· καὶ Νιόβη, τῶν τέκνων.

119. Προνούστερος] ἀπὸ τοῦ εὐ μορίου καὶ τοῦ νοῦς γίνεται εὔνους, καὶ ἀπὸ τῆς ἐν καὶ τοῦ νοῦς ἔννους ὁ φρόνιμος. Καὶ ἀπὸ τοῦ α καὶ τοῦ νοῦς ἄνους ἢ ὁ ἀνόητος, ἢ ὁ μηδόλως ἔχων νοῦν· ἀπὸ δὲ τῆς πρὸ καὶ τοῦ νοῦς πρόνους ἄχρηστον, ἀφ' οὗ προνούστερος συγκριτικὸν, ὁ μᾶλλον προνοούμενος ἢ ὁ προνοητικώτερος.

122. Ἔμπης

Δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ,
Ὅθ' οὕνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
Οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
" Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν
" Εἴδωλ', ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν."

ΑΘΗ. Τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
Μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
Μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
Ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάρει *.
" Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
" Ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας

* TURN. βάθει.

122. Ἔμπης καίπερ] τὸ ἔμπης καὶ τὸ καίπερ σύνδεσμοι εἰσὶν ἐναντιωμάτικοι, καὶ λαμβάνονται ἐνταῦθα ἐκ παραλλήλου.

Ib. Ἔμπης] Ἴωνες ἔμπης φασὶν, Ἀττικοὶ δὲ ἔμπας καὶ ἔμπα.

124. Ἢ τοὐμὸν σκοπῶν] οἷον ἀφορῶν εἰς τὰ ἀνθρώπινα τὰ πάντων κοινά.

125. Ὁρῶ γὰρ ἡμᾶς] πρὸς τὸ Πινδαρικὸν, " Τί δέ τίς; τί δὲ οὔτις, σκιᾶς ὄναρ ἄνθρω-" ποι." Ἀντὶ ἀνυπάρκτου τὸ ἀνυπαρκτότερον. Ἐνταῦθα μέντοι ὁ λόγος ἐστὶν ἐγγυτέρω τῆς ἀληθείας ἤπερ τὸ Πινδαρικόν. Ὁ μὲν γὰρ Πίνδαρος ἐν τοῖς ἀσυστάτοις πεποίηται τὴν ὑπερβολὴν, ὁ δὲ ἐν τοῖς φαινομένοις καὶ δοκοῦσιν, οὐχ ὑπάρχουσι δὲ κατὰ ἀλήθειαν. Ὁ δὲ Ὅμηρος δι' ἑνὸς αὐτάρκως, τοῦτο δεδήλωκεν, " Οὐδὲν " ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο."

126. Εἴδωλ'] Εἴδωλα τὰ φαινόμενα ἐν τῷ ἀέρι φαντάσματα, ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται ἄστατα ὄντα καὶ ἀβέβαια.

127. Τοιαῦτα] ὡς τοὺς μεγαλαύχους οὕτω θεοὶ κολάζουσι, καὶ πρὸς αὐτοὺς οὐδέν ἐστι τὸ ἀνθρώπινον. Ὅτι δὲ ὁ Αἴας τοιοῦτος, προϊόντες εὑρήσομεν.

Ib. Ὑπέρκοπον] ἀντὶ τοῦ ὑπέρκομπον. Φασὶ τὸν Αἴαντα τρίτον ἠσεβηκέναι περὶ τοὺς θεούς. Πρῶτον μὲν, ἐκβαλεῖν τοῦ δίφρου τὴν Ἀθηνᾶν, βουλομένην αὐτῷ συμμαχεῖν· δεύτερον, ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῷ ὅπλῳ αὐτοῦ ἐξ ἔθους πατρῴου· τρίτον, ὅτι οὐκ ἐπείσθη τῷ πατρὶ συμβουλεύοντι πείθεσθαι τοῖς θεοῖς.

129. Ὄγκον] Ὄγκος δηλοῖ δύο, τὴν ἔπαρσιν, ἤγουν ὑπερηφανίαν, καὶ τὸ βάρος.

130. Χειρὶ] δυνάμει.

Ib. Βρίθεις] τὸ βρίθω, κοινῶς, τὸ βαροῦμαι σημαίνει, ἐνταῦθα δὲ ὑπερέχεις.

131. Ὡς ἡμέρα] γνωμικὸν καὶ τοῦτο.

Ib. Ὡς ἡμέρα] τὸ ὡς ἀντὶ τοῦ ὅτε ἐνταῦθα καὶ ἀντὶ τῶν καθὰ νοητέον. Καὶ τὸ μὲν ἀντὶ τῶν καθὰ οὕτω νοητέον, ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ πίπτει, καὶ ἀνάγει καὶ ἀναφέρεται, καθάπερ ἡμέρα ἀρχομένη τε καὶ πάλιν λήγουσα, τοῦ μὲν ἡλίου, ὁπότε πρὸς τὰ κάτω χωροίη, λήγουσαν ταύτην παρασκευάζοντος ὁπότε δὲ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω πάλιν ἄνεισιν, ἀρχομένην δεικνύντος καὶ φαίνουσαν. Οὐδὲν γὰρ ἄλλο ἡμέρα ἢ παρουσία ἡλίου, ὥσπερ καὶ τοὐναντίον ἡ νὺξ, ἀπουσία. Εἰ δὲ ἀντὶ τοῦ ὅτι, πρὸς τὸ ἄνω συνάψεις, ὅτι ἡμέρα καὶ καιρὸς εἰς ἅπαντα τὰ ἀνθρώπινα κλίνει καὶ μεταβάλλει καὶ ἀνάγει καὶ ἀνορθοῖ, ὥσπερ καὶ Φίλων φησὶ, τύχης γὰρ ἀσταθμητότερον οὐδὲν, ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης.

132. Τοὺς δὲ σώφρονας] Ἤγουν, τοὺς ἀρετὴν μεταχειριζομένους (τὸ σωφρονεῖν γὰρ ἐπὶ πά-

σης

" Θεοὶ φιλῦσι, καὶ ςυγῦσι τὺς κακύς."

## ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Τελαμώνιε παῖ, τῆς ἀμφιρύτȣ
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλȣ·
Σὲ μὲν εὖ πράσσοντ᾽ ἐπιχαίρω·
Σὲ δ᾽ ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
Λόγος ἐκ Δαναῶν κακόθρȣς ἐπιβῇ,
Μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι,
Πτηνῆς ὡς ὄμμα πελειάς.
Ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς,

σης ἀρετῆς λέγεται) οἱ Θεοὶ φιλῦσι, εἰσὶν ἀκλινεῖς δηλονότι, καὶ βέβαιοι. Λέγεται δὲ τὸ σωφρονεῖν καὶ ἐναντίον ἐςὶ τῷ μαίνεσθαι· τὸ μαίνεσθαι δὲ λέγεται καὶ ἐπὶ τῶν ἀμέτρως χρημάτων ἐρώντων, καὶ ἐπὶ τῶν φιλοδόξων καὶ φιληδόνων, ὥςτε τὸ σωφρονεῖν ὐ τῷ φιληδονεῖν μόνον ἐςὶν ἐναντίον, ἀλλὰ καὶ τῷ φιλοδοξεῖν, καὶ τῷ φιλοχρηματεῖν. Τὸ δὲ τύτοις ἐναντίον, ἐφ᾽ οἷς πᾶσα κακία περιίςαται, ἐπὶ πάσης ἀρετῆς οἰκείως ἂν λέγοιτο.

134. Τελαμώνιε παῖ] πιθανῶς αὐτῷ ὁ χορὸς ἐσκεύασαι ἀπὸ Σαλαμινίων ἀνδρῶν· τῦτο μὲν, παρρησιαζομένων ὡς ἐλευθέρων· τῦτο δὲ, συμπαθῶς ἐχόντων, ὡς πολιτῶν, καὶ αἰδημόνως λαλύντων. Ὡς ὑπηκόων· ὐ γὰρ πιθανὸν ἐξ Ἀχαιῶν εἰσάγειν, καὶ διὰ τὸ μὴ προσκρύειν τῷ βασιλεῖ. Τὸ δὲ τῶν αἰχμαλώτων, κηδεμονικὸν μὲν, ὡς Αἰσχύλος ἐν Θρήσσαις· ὐ μὴν εὐπρόσωπον. Ὅρα γὰρ οἷον τὺς αἰχμαλώτȣς ἐπιτιμᾷν τῷ Μενελάῳ· πιθανὴ δὲ καὶ ἡ εἴσοδος· ἀκύσας γὰρ ὁ Ὀδυσσεὺς παρὰ τῆς Ἀθηνᾶς, δείξω δὲ καὶ σοὶ τήνδε τὴν περιφανῆ νόσον, ὡς πᾶσιν Ἀργείοισιν εἰσοδῶν θροῆς, καὶ μαθὼν τὸ σαφὲς, δεδήλωκε τοῖς Ἀχαιοῖς. Ταύτης ὖν τῆς φήμης ἀκύσαντες οἱ Σαλαμίνιοι παραγεγόνασι, μηδέπω ὑπὸ τῆς εὐνοίας πεπεισμένοι ὡς αὐτὸς εἴη ὁ πράξας, ἀλλ᾽ ἀπιςῦντες, καὶ ὑπὸ ἐχθρῦ πεπλάσθαι οἰόμενοι. Ὁ δὲ νῦς, Σῦ μὲν εὖ πρασσοντος, ἐν χαρᾷ ἐσμέν. Καὶ τὸ ἀνάπαλιν. Τὸ δὲ ὅλον, ἐν σοὶ ἐσμέν. Τὰ δὲ πράγματα νῦν τῦ Αἴαντος φαῦλά εἰσι. Καὶ ὐκ ἐνεχώρει αὐτῷ διηγήσασθαι τὰ ἀνδραγαθήματα.

135. Σαλαμῖνος ἔχων βαθρὸν ἀγχιάλȣ] τὸ θεμέλιον. τὸ ἕδρασμα. Ἀντὶ τῦ δι᾽ ὖν ἵςαται ἡ Σαλαμίς. Οὐ πάντως δὲ αἱ ἀγχίαλοι, καὶ ἀμφίαλοί εἰσιν. Οἷα ἐςὶ καὶ ἡ Ἀλεξάνδρεια, ἀγχίαλος μὲν, ὐκ ἀμφίαλος δέ. Αἱ δὲ νῆσοι, καὶ ἀγχίαλοι καὶ ἀμφίαλοί εἰσι.

136. Σὲ μὲν εὖ πράσσοντ᾽ ἐπιχαίρω] ἀντὶ τῦ συγχαίρω. Τȣτέςιν, σῦ μὲν εὖ πράσσοντος ἢ ὕτως, εἰς σὲ μὲν εὖ πράσσοντα ἐπιχαίρω, ἵνα λείπῃ ἡ εἰς.

Ib. Ἐπιχαίρω] ὡς ἐπὶ τὸ πολὺ ἐπὶ κακῦ λαμβάνεται· νῦν δὲ ἐπὶ καλῦ κεῖται, τῆς ἐπὶ πρὸς τὸ σὲ συντασσομένης. Ὅπερ καὶ εἰς τὸ ἐπιβῇ ποιήσεις. Βύλεται δὲ δεῖξαι, ὅτι καὶ τὴν εὐτυχίαν καὶ τὴν δυςτυχίαν αὐτῦ οἰκείαν λογίζεται.

137. Σὲ δ᾽ ὅταν] ἐπί σε δὲ, καὶ τὰ ἑξῆς.

Ib. Ζαμένης] ἀντὶ τῦ δυςμενής.

138. Ἐπιβῇ] ἀπὸ κοινῦ το ἐπιβῇ. Εἰς σὲ δὲ ὅταν νόσος ἐπιβῇ. Κακόθρȣς δὲ, οἷόν ἐςι καὶ τὸ ἑξῆς.

140. Πτηνῆς ὡς] τῦτο γὰρ τὸ ζῶον πάνυ δειλόν. Εἰκότως δὲ εἶπε τὸ ὄμμα. Ὁπόταν γὰρ αἰσθομένη τινὸς ψόφȣ καμμύῃ τὺς ὀφθαλμὺς, παλλομένην ἐςὶν αὐτῆς τὴν καρδίαν φράσαι.

Ib. Πτηνῆς ὡς ὄμμα] ἐπεῖ περιδεὲς τὸ ζῶον· ὄμμα δὲ πελείας περιφραςικῶς ἡ πέλεια.

141. Ὡς καὶ τῆς] μὴ λάβῃς εἰς τὸ νυκτὸς

ἔξωθεν

Μεγάλοι θόρυϐοι κατέχȣσ' ἡμᾶς
Ἐπὶ δυςκλείᾳ, σὲ τὸν ἱππομανῆ
Λειμῶν' ἐπιϐάντ', ὀλέσαι Δαναῶν
Βοτὰ, καὶ λείαν,
Ἥπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
Κτείνοντ' αἴθωνι σιδήρῳ.
Τοιȣ́σδε λόγȣς ψιθύρȣς πλάττων*
Εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
Καὶ σφόδρα πείθει· περὶ γὰρ σȣ̃ νῦν
Εὔπειϛα λέγει· καὶ πᾶς ὁ κλύων

* Aldus, πλάσσων.

ἔξωθεν ἐπὶ, ἀλλὰ πρὸς τὸ θόρυϐοι σύνταττε· Ἐπειδὴ γὰρ ταῦτα νύκτωρ γέγονεν, ἄριϛ' ἂν ἔχοι λέγειν τῆς νυκτὸς τȣτȣσὶ τοὺς θορύϐȣς. Μὴ διϛάσῃς δὲ εἰ πρὸς τὸ φθιμένης ὅπέρ ἐϛι παρῳχημένȣ χρόνȣ, τὸ νῦν συντάσσεις. Διὰ γὰρ τὸ πάνυ ἀρτίως καὶ μὴ ἐκ πολλȣ̃ γεγονέναι τὴν φθίσιν, τὸ νῦν τέθειται, τὸ σύνεγγυς τῆς φθίσεως παριϛῶν.

Ib. Ὡς καὶ τῆς νῦν] ὡς καὶ τῆς παρελθȣ́σης νυκτὸς ἐν φόϐῳ γεγόναμεν ἐπὶ τῇ σῇ δυςκλείᾳ. Πιθανῶς δὲ ȣ̓κ ἐλέγχει τὸν βασιλέα ὡς ἡμαρτηκότα, ἀλλὰ τὴν δυςπραγίαν προσέλαϐεν ὡς ἀπὸ τῆς εἱμαρμένης. Πάνυ δὲ εὖνοι ὄντες, ἀπιϛȣ̃σι, καὶ ὑπολαμϐάνȣσιν αὐτὸν ὑπὸ τῶν ἐχθρῶν συκοφαντεῖσθαι· ἐνδέει ȣ̃ν καθέϛηκα, ὅταν ᾖ τι τοιȣ̃τον περὶ σέ.

143. Τὸν ἱππομανῆ] τȣ̃το ἢ πρὸς τὸ λειμῶνα νόει (ἱππομανὴς γὰρ λειμῶν, ἐν ᾧ ἵπποι μαίνονται καὶ βακχεύȣσιν) ἢ μὴ σύναπτε πρὸς τὸν λειμῶνα ἵν' ᾖ τὸ ἱππομανῆ πρὸς τὸ σὲ, ȣ̃τως, ἐπὶ τὸν λειμῶνα βάντα σέ· Ποταπόν; ἱππομανῆ, ἤτοι μεγάλως καὶ σφοδρῶς μαινόμενον καὶ θυμȣ́μενον· ἵν' ᾖ παραπλήσιον τῷ βȣ́παις, ἀντὶ τȣ̃ μέγας παῖς, ἢ ἱππομανῆ, τὸν ἱππικόν.

Ib. Σὲ τὸν ἱππομανῆ] τινὲς τὸν μεγαλομανῆ ἐξεδέξαντο, ὡς βȣ́πεινα· ἤτοι τὸν μεγάλως μαινόμενον. Ἀλλ' ȣ̓κ ἐπίϛευσεν ὁ χορὸς ὅτι ἐμαίνετο ὁ Αἴας. Σὲ τὸν ἵππȣς μαινόμενον καὶ ἱππικόν. Ἀλλ' οἱ νησιῶται ȣ̓χ ἱππομανȣ̃σιν, ȣ̓δ' ἱππήλατοί εἰσιν αἱ νῆσοι. Τὸ ἱππομανῆ τοίνυν πρὸς τὸν λειμῶνα ἐκληπτέον. Ἄλλως· ἱππομανῆ ἢ αὐτὸν λέγει τὸν Αἴαντα, ὡς μεγάλως μαινόμενον, ἀπὸ μεταφορᾶς. (ἡ γὰρ τῶν ἵππων μανία χαλεπωτέρα ἐϛίν) ἢ ἐπὶ ἵπποις μαινόμενον. Τὸ γὰρ ἵππος ἐπὶ μεγάλȣ τάσσεται, ὡς ἱπποσέλινον, καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα· ἢ ἐπὶ τȣ̃ λειμῶνος, οἷον τὸ εὐανθῆ, ἐφ' ὃν οἱ ἵπποι μαίνονται ἢ τὸν ἄγαν μεμηνότα καὶ ἀνθȣ̃ντα καὶ ἐνυϐρίζοντα τῇ χλόῃ, διὰ τὸ πλῆθος.

144. Λειμῶν] λειμὼν ὁ ὕδασι κατάῤῥυτος τόπος· ἀπὸ τοῦ λείϐω, ἀφ' ȣ̃ καὶ λιϐάδιον. Λειμωνιὰ δὲ, ἡ ἐν τῷ λειμῶνι χλόη.

147. Αἴθωνι σιδήρῳ] λαμπρῷ.

148. Τοιȣ́σδε λόγȣς] ὄνȣς, Οὐδὲν ἐνέχυρον εἰδὼς ὁ Ὀδυσσεὺς, πλάττεται ψευδεῖς λόγȣς, ἀκȣ́σας μόνον ὡς ἴης.

Ib. Σὺν νεοῤῥάντῳ ξίφει. Καλῶς δὲ καὶ τὸ ψιθύρȣς λόγȣς, ἀντὶ τȣ̃ διαϐόλȣς, ὡς διὰ πανȣγγίαν ȣ̓δεὶς ȣ̓ λέγοντος, ἀλλὰ πρὸς ἓν ἕκαϛον ἐξαπατῶντα λάθρα.

150. Περὶ γὰρ σȣ̃ νῦν εὔπειϛα λέγει] ὅτι ἐν ἀτυχίᾳ καθέϛηκας δηλονότι τῆς ἥττης χάριν. Ἢ ἐπεὶ μέγας εἶ, εἶχες τὸν φθόνον συμπράττοντα.

Ib. Περὶ γὰρ] εἰκότως εἶπε τὸ νῦν, παριϛῶν τὴν ἐνεϛῶσαν αὐτῷ ἔχθραν πρὸς τοὺς Ἕλληνας, καὶ μάλιϛα τοὺς αὐτῶν πρȣ̈́χοντας, ἠδικηκότας αὐτὸν τῇ περὶ τῶν ὅπλων κρίσει· ὥςτε ἃ κατ'

Τοῦ λέξαντος χαίρει μᾶλλον,
Τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
" Τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
" Οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
" Τοιαῦτα λέγων, οὐκ ἂν πείθοι·
" Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
" Καίτοι σμικροὶ, μεγάλων χωρὶς,
" Σφαλερὸν πύργου ῥῦμα πέλονται·
" Μετὰ γὰρ μεγάλων βαιὸς ἄρισ' ἂν
" Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων *."
Ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
Τούτων γνώμας προδιδάσκειν.
Ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ·
Χ' ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦ-

* Turn. μικρῶν.

αὐτῶν ἀκούοιεν, εἰ καὶ ψευδῆ, ἀλλ' ὡς ἀληθῆ δεχόμεναι ἥδονται.

154. Τῶν γὰρ μεγάλων ψυχῶν] τροπικῶς, ὡς ἐπὶ τῶν τοξευόντων κατὰ μεγάλου σώματος, οἵ οὐχ ἁμαρτάνουσι. πιστὰ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. Πίνδαρος· " Ὄψον δὲ λόγοι φθονεροῖς, ἅπτεται εἰδώς. Χερόνεσσι δ' οὐκ ἐρίζει."

Ib. Τῶν γὰρ] μὴ λάβῃς ἔξωθεν τὸ κατὰ εἰς τὸ μεγάλων, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ' οὕτω λέγε, οὐ γάρ τις δηλονότι ἁμάρτοι τῶν μεγάλων ψυχῶν, ἱεὶς καὶ πέμπων κατ' αὐτῶν λόγους δηλονότι ἐχθίστους. Εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξευόντων. Ὅταν γὰρ μείζων ὁ σκοπὸς ᾖ, ἥκιστα τούτου ἀποτυγχάνουσιν. Οἱ δὲ προστιθέντες τῷ ἱεὶς τὸ λόγους, ἁμαρτάνουσι, μὴ εἰδότες τὰ μέτρα τῶν στίχων νοεῖται δὲ τὸ λόγους κατὰ συνεκδοχὴν ἀπὸ τοῦ λέγων.

155. Κατὰ δ' ἄντις ἐμοῦ] τοῦ δημοτικοῦ καὶ εὐτελοῦς.

157. Πρὸς γὰρ ἔχοντα] λείπει τὸ εὖ.

Ib. Ὁ φθόνος] εἰκότως τὸ ἕρπει ἐπὶ φθόνου εἴρηκε, δίκην ὄφεως. Ἐπὶ τούτου γὰρ τὸ ἕρπειν λέγεται, τοὺς φθονουμένους βλάπτοντος.

158. Καίτοι σμικροὶ] πάνυ αἰδημόνως ὁ χορὸς ἐξελέγχει τὴν ἀδικίαν τῶν Ἑλλήνων· οὐ τοῦτο ἄντικρυς ποιεῖ ἀλλὰ ψιλῶς γνωμολογῶν βούλεται γὰρ ἐπιτιμᾷν ὅτι κακῶς πράττουσι καθαιροῦντες τὸν Αἴαντα, καὶ ἑαυτοῖς ἀσυμφόρως. Φησὶ γὰρ ὅτι ἀσθενὴς φυλακὴ τοῖς μικροῖς ἄνευ τῶν μεγάλων. Τοῦτο δὲ τείνει καὶ ἐπὶ τὸν Αἴαντα, ὅτι δεηθήσονται αὐτοῦ.

159. Σφαλερὸν ῥῦμα] ἀντὶ τοῦ ἀσθενὴς φυλακή.

162. Ἀνοήτους] ἰστέον, ὅτι ἴδιόν ἐστι τοῖς ἀνοήτοις τὸ φρονεῖν. Τοῖς δὲ φρονοῦσιν ἴδιον, τὸ διαθρεῖν λήρους.

163. Ἀλλ' οὐ] τοῦτο διπλῶς λέγε, ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους προδιδάσκειν γνώμας τούτων, ἤγουν τὴν περὶ τούτων διάνοιαν. Τοῦτ' ἔστιν, οὐδεὶς ἂν δύναιτο διδάσκειν τοὺς ἀσυνέτους Ἕλληνας τούτους τοὺς λόγους, ὡς δεῖ περὶ πλείστου ποιεῖσθαι τοὺς μεγάλους· καὶ πάλιν, οὐ δυνατὸν προδιδάσκειν τοὺς κατὰ τὰς γνώμας ἀνοήτους

νοήτους

τ' ἀπαλέξασθαι, σοῦ χωρὶς, ἄναξ.
Ἀλλ' (ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
Παταγοῦσιν, ἅτε πτηνῶν ἀγέλαι)
Μέγαν αἰγυπιὸν ὑποδείσαντες,
Τάχ' ἂν, ἐξαίφνης εἰ σὺ φανείης,
Σιγῇ πτήξειαν ἄφωνοι.

## ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

Ἦ ῥά σε, Ταυροπόλα Διὸς Ἄρτεμις,

νοῦντες τούτων, ἤγουν τοὺς μωροὺς τὴν διάνοιαν; καὶ μηδὲν τούτων ὧν ἔφην αἰσθανομένους.

166. Ἀπαλεξασθαι] ἀλέξω, ἀλεξήσω, αὔξω, αὐξήσω, ἕψω, ἑψήσω, ἐνεστῶτες καὶ μέλλοντες. Οἱ γράφοντες ἀπαλλάξασθαι, ἀμαθεῖς τῶν μέτρων· χρὴ οὖν ἀπαλέξασθαι γράφειν, ἵν' ἔχῃ ὀρθῶς.

167. Ἀλλ' (ὅτε] τὸ πᾶν οὕτως, Ἀλλὰ γὰρ ὑποδείσαντες οἱ Ἀχαιοί σε, ἤγουν φοβηθέντες, ὅτε δὴ ἀπέδραν τὸ σὸν ὄμμα, παταγοῦσιν, ἤγουν θορυβοῦσι, καθὰ ἀγέλαι πτηνῶν, ἀποφυγοῦσαι μέγαν αἰγυπιόν. Ἄλλως· ἡ σύνταξις οὕτως ἀλλ' εἰ φανείης σὺ τούτοις ἐξαίφνης, τάχ' ἂν πτήξειαν καὶ φοβηθεῖεν ἄφωνοι ἐν σιγῇ, τοῦτ' ἔστιν, ὑπὸ τοῦ φόβου σιγὴν καὶ ἀφωνίαν ἕξουσιν, ὑποδείσαντες καὶ φοβηθέντες ἅτε καὶ καθὰ ἀγέλαι πτηνῶν μέγαν αἰγυπιὸν καὶ ἀετὸν, ὑποδείσασαι δηλονότι. Παταγοῦσι γὰρ καὶ θορυβοῦσιν, ὅτε ἀπέδραν καὶ ἀπέφυγον τὸ σὸν ὄμμα. Καὶ μὴ νομίσῃς λέγειν τὸν χορὸν τοῦτο διότι ἐξέφυγον οἱ Ἕλληνες τὸ τοῦ Αἴαντος ξίφος, καὶ οὐκ ἀπώλοντο, μανέντος καὶ πρὸς τὰς πείρας χωρήσαντος. Πῶς γὰρ ἔλεγεν ἂν ὅπερ οὐκ ἠπίστατο, ἀλλ' ὕστερον ὑπὸ Τεκμήσσης καὶ αὐτοῦ Αἴαντος ἔμαθεν ἐλθόντος εἰς αἴσθησιν; ἐνδεικνύμενος δὲ τὸ τοῦ Αἴαντος, φοβερὸν τοῦτο φησὶν οἱ δὲ τὸ γὰρ ἀργὸν λέγοντες, ἀγνοοῦσι τὴν σύνταξιν. Καὶ γὰρ στίζουσι μὲν πρὸς τὸ παταγοῦσι. Τὸ δὲ, ἅτε πτηνῶν ἀγέλαι, ἀσυνδέτως ἐκφέρουσι. Τὸ δὲ ὅτε, ἐνταῦθα ἀντὶ τοῦ ὁπότε ἐστίν. Ἐπειδὴ καθολικῶς, ὡς ἔφαμεν, ὁ λόγος ἀπὸ τοῦ χοροῦ λέγεται ἢ μὴ λάμβανε πρὸς τὸ πτηνῶν ἀγέλαι τὸ ὑποδείσασαι, ὡς ἔφαμεν, ἀλλ' ἐκ τοῦ ἀπέδραν. Ἀποδρᾶσαι κατὰ συνεκδοχὴν νόει, ἵν' ᾖ, ἀποδρᾶσαι μέγαν αἰγυπιόν.

168. Ἅτε πτηνῶν ἀγέλαι] θηλυκῶς τῷ ἀγέλαι ἐπήγαγεν ἀρσενικὴν μετοχὴν τὴν ὑποδείσαντες, πρὸς τὸ νοητόν. Ἐν γὰρ ταῖς ἀγέλαις, εἰσὶ καὶ ἄρσενες καὶ θήλειαι. Ὁ νοῦς, διὰ τοῦτο κομπάζουσί σου ἀφανοῦς ὄντος ὡς πτηνῶν ἀγέλαι παταγοῦντες, καὶ τοῦτο εἰς τὸν κενὸν ψόφον.

Ib. Παταγοῦσιν] πάταγος δι' ἑνὸς τ. Ὄτοβος δὲ τὸ αὐτὸ, διὰ δύο.

Ib. Πτηνῶν ἀγέλαι] ἀντὶ τοῦ ὄρνιθες· ἵνα τὸ ὑποδείσαντες καταλλήλως ἐπάγοιτο.

169. Αἰγυπιὸν] εἶδος ἀετοῦ ὁ αἰγυπιὸς ὅν φασιν ἐν μεθορίῳ εἶναι ἀετοῦ καὶ γυπός· ὡς καὶ τὸ ὄνομα μαρτυρεῖ.

171. Πτήξειαν] Κανόνισον, πτήσσω, ὁ μέλλων πτήξω, ὁ ἀόριστος ἔπτηξα. Ἡ μετοχὴ, ὁ πτήξας, τοῦ πτήξαντος, καὶ τὸ εὐκτικὸν κοινῶς μὲν, πτήξαιμι, αἰολικῶς δὲ πτήξεια, πτήξειας, πτήξειε, τὸ τρίτον τοῦ πληθ. Πτήξειαν, ἀντὶ τοῦ φοβηθείησαν.

172. Ἦ ῥά σε] ὁ χορὸς, οὐδέπω πεπιστευκὼς ὅτι Αἴας τὰ τεθρυλλημένα διεπράξατο, ἀλλ' οἰόμενος ἔκ τινος ὀργῆς θεῶν ταύτην τὴν φήμην γεγενῆσθαι, ποιεῖται πρὸς τὴν φήμην τὸν λόγον.

Ib. Ταυροπόλα] ἢ ὅτι ἐν ταύροις τῆς Σκυθίας τιμᾶται· ἢ ἀπὸ μέρους, τῶν ποιμνίων ἡ προστάτις· ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις. Ἣν καὶ ταυρωπὸν ὀνομάζουσιν· τὸ ἑξῆς, ἦ ῥά σε ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας. Τοὺς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ

(Ὦ μεγάλα φάτις, ὦ
Μᾶτερ αἰσχύνας ἐμᾶς)
Ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
Ἤπου τινὸς νίκας ἀκάρπωτον χάριν,
Ἦ ῥα κλυτῶν ἐνάρων
Ψευσθεῖσα δώροις, ἤτ' * ἐλαφηβολίαις.

* Aldus, εἴτ'.

τὸ νυκτερινῶν δεσπόζων φασμάτων. Ἄλλως· τὴν μὲν ἀναίρεσιν τῶν ποιμνίων ὁ χορὸς πιστεύει ὑπὸ Αἴαντος γενέσθαι, οὐκ ἐξ ἰδίας δὲ προνοίας.

Ib. Ἦ ῥά σε] εἰκότως Ἄρτεμιν καὶ Ἄρην καὶ τὸν ὑπουργὸν αὐτοῦ Ἐνυάλιον αἰτίους τῶν παρόντων ἡγεῖται κακῶν, ἅτε πολεμικοὺς θεοὺς, καὶ βεβοηθηκότας ἴσως ἂν αὐτῷ πρὸς μάχην, καὶ μὴ παρ' αὐτοὺς τυχόντας ὧν ἔδει. Ταῦτα δὲ ἦν θυσίαι καὶ ἀναθήματα. Οἴεται δὲ καὶ ἐν ἐλαφηβολίαις καὶ κυνηγεσίαις συμμαχῆσαι αὐτῷ τὴν Ἄρτεμιν (τούτων γὰρ ἔφορος ἡ θεὸς) καὶ διὰ τὸ μὴ ἀντιτυχεῖν χάριτος, ὀργισθῆναι αὐτῷ. Μὴ λάβῃς δὲ ἔξωθεν εἰς τὸ χάριν. Διὰ, ὥς τινες φασὶν ἀπατώμενοι, πρὸς τὴν αἰτιατικήν. Οὐ γὰρ μόνον ἐψεύσθημεν τοῦδε, φαμὲν, ἀλλὰ καὶ τόδε, ὥσπερ καὶ, μέτεστί μοι τόδε· οὐ μόνον δὲ οὕτω φαμὲν τὸ ψεύδεσθαι, ἀλλὰ καὶ πρὸς δοτικὴν πλαγιάζομεν, ὡς ἔχει κἀνταῦθα· πρῶτον γὰρ εἰς αἰτιατικὴν συνέταξε, ψευσθεῖσα χάριν ἀκάρπωτον λέγων, εἶτα πρὸς δοτικὴν ἐπλαγίασε, κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις.

Ib. Ἦ ῥά σε] διὰ μέσου οἱ δύο στίχοι οὗτοι (") τὸ δὲ ἑξῆς, ἢ ἡ Ἄρτεμις ὥρμησέ σε πανδήμους ἐπὶ βοῦς. Τὸ πᾶν τοιοῦτόν ἐστι. Ἦ ἡ Ἄρτεμις τοῦ Διὸς ἡ θυγάτηρ παρώρμησέ σε ἐπὶ τὰς πανδήμους βοῦς τὰς ἀγελαίας, ἢ διὰ χάριν τινὸς νίκης ἀκερδῆ, ἢ διὰ δώρων ψευσθεῖσα· ἢ ὁ Ἐνυάλιος ἐτίσατο λώβην· οὐ γὰρ οἴκοθεν ἔβης ἐπὶ τὰ ἀριστερά.

173. Ὦ μεγάλα φάτις] διὰ μέσου ἡ ἀναφώνησις, ὦ θαυμαστὴ φήμη, ἥτις ἐγέννησάς μοι ταύτην τὴν αἰσχύνην. Κακὴ γὰρ (φησὶν) ὑπῆρξε περὶ τοῦ Αἴαντος.

175. Πανδάμους] ἢ τὰς παντὸς τοῦ δήμου, ἢ τὰς συνηγμένας.

Ib. Πανδάμους] Πάνδηχος πανήγυρις, ἡ συναθροισθεῖσα ἀπὸ παντὸς δήμου· πάνδημος πόρνη ἢ ὁ βουλόμενος σύνεστιν ἀπὸ τοῦ δήμου· πανδήμους δὲ βοῦς ἐνταῦθα, ὧν μετέχει πᾶς ὁ δῆμος τῶν Ἀχαιῶν.

Ib. Ἐπὶ βοῦς] Ἆρα ἡ Ταυροπόλα Ἄρτεμις ἡ θυγάτηρ τοῦ Διὸς ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς ἀγελαίας τὰς πανδήμους; ἢ διὰ χάριν τινὸς νίκης ἀκερδῆ καὶ ἀχάριστον καὶ ἀθυσίαστον, ἢ ψευσθεῖσα ἡ Ἄρτεμις καὶ μὴ τυχοῦσα ἐν τοῖς δώροις καὶ κέρδεσι τῶν ἐνδόξων σκύλων, ἢ μὴ τυχοῦσα ἐν ταῖς ἐλαφηβολίαις, ἤγουν οὐ μετεῖχε θυσιῶν ἐκ τῶν γινομένων ἐλαφηβολιῶν, καὶ διὰ τοῦτο ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς πανδήμους τὰς ἀγελαίας; ἢ ὁ χαλκοθώραξ Ἄρης, ψευσθεὶς δώροις κλυτῶν ἐνάρων ἢ ἐλαφηβολίαις, ὥρμησέ σε ἐπὶ τὰς βοῦς τὰς ἀγελαίας; ἢ ποίαν μομφὴν ἔχων κατὰ σοῦ ἕνεκα κοινῆς συμμαχίας, ἀπέδωκέ σοι βλάβην ὁ Ἐνυάλιος ἐν νυκτεριναῖς μηχαναῖς.

176. Ἤπου] τὸ που οὐ μόνον δηλο τόπον, ἀλλὰ καὶ ἀντὶ τοῦ ἴσως τίθεται, ὥσπερ ἄλλοί τε πολλοὶ μαρτυροῦσι, καὶ Φιλόστρατος, λέγων ἐν ταῖς εἰκόσιν οὕτως, Ὀκνοῦντές που οἱ Θηβαῖοι ἄρξαι μάχης.

Ib. Ἤπου τινὸς νίκας] ἢ διὰ χάριν τινὸς νίκης. Ἀκάρπωτον δὲ, ἧς καρπὸν οὐκ ἐδέξατο. Οἴονται ἐκ τούτων αὐτὸν ἐμμανῆ εἶναι. Ἆρα οὖν (φησὶ) χαριζομένη σοι τὸ νικᾷν, καρπὸν καὶ ἀπαρχὰς οὐκ ἐδέξατο τῆς νίκης· ἢ, ἀπὸ κυνηγεσίων δῶρα οὐ λαβοῦσα; ὡς καὶ Ὅμηρος ἀπολελησμένους τινάς φησι, καὶ δίκην παρέχοντας τῆς λήθης.

178. Ψευσθεῖσα] ἐψευσάμην ἐγώ τινα. Ἐψεύσθην δὲ ὑπό τινός.

Ἠ χαλκοθώραξ, ἤ τιν᾽ Ἐνυάλιος
Μομφὰν ἔχων
Ξυνοῦ δορὸς, ἐννυχίοις μαχαναῖς,
Ἐτίσατο λώβαν.

ΑΝΤΙΣΤΡΟΦΗ.

Οὔποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριςερὰ,
Παῖ Τελαμῶνος, ἔβας,
Τόσσον * ἐν ποίμναις † πιτνῶν.
Ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ᾽ ἀπερύκοι
Καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
Εἰ δ᾽ ὑποβαλλόμενοι
Κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς ‡,
Ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,

* ALDUS, Τόσον. † ALD. ποίμναισι. ‡ ALD. βασιλεῖς.

179. Ἠ χαλκοθώραξ, ἤ τιν᾽ Ἐνυάλιος] διαςέλλει τὸν γὰρ εα ἀπὸ τοῦ ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ. Καὶ δῆλον ἐκ τῶν συνδέσμων, δηλοῦται γὰρ ὁ ἄρης ἐκ τοῦ χαλκοθώραξ. Ἠ καὶ ὁ ἄρης μεμφόμενός σοι ὡς ἀπαρχὰς δορὸς οὐ λαβὼν, ἐτίσατό σε τῆς λώβης τῆς εἰς αὐτὸν γενομένης λήθης. Ἐτίσατο δὲ ἐννυχίοις μηχαναῖς ἐπὶ σοῦ ταύτης τῆς νυκτὸς. Πιθανῶς δὲ πλείονας αἰτίας τιθέασιν ἀποροῦντες. οἱ γὰρ ςοχαζόμενοι οὐ καθ᾽ ἓν ἵςανται.

180. Μομφὰν] ἤγουν μεμφόμενός σοι, διὰ τὸ ἴσως ἐν πολέμῳ συμμαχῆσαι, καὶ μὴ τυχεῖν θυσίας εἰς ἀμοιβήν. Τὸ δὲ ἐννυχίοις εἶπε, διὰ τὸ ἐν νυκτὶ γενέσθαι τὴν μανίαν αὐτῷ.

187. Ζεὺς] καλεῖ γὰρ ἐνταῦθα ὁ χορὸς τὸν Δία, ἵνα ἐπανορθώσῃ τὸν νοῦν αὐτοῦ τοῦ Αἴαντος. Ἀλληγορεῖται γὰρ ὁ Ζεὺς εἰς πολλά τινα, καὶ πρὸς τούτοις, εἰς τὸν νοῦν ψυχικῶς.

Ib. Φοῖβος] καλεῖ δὲ καὶ τὸν Φοῖβον Ἀπόλλωνα, ἵνα τὸ λογιςικὸν τοῦ νοῦ Αἴαντος τὸ σκοτισθὲν ὑπὸ τῆς μανίας φωτίσῃ. Ἀλληγορεῖται γὰρ ὁ Ἀπόλλων, εἰς τὸν ἥλιον.

188. Ὑποβαλλόμενοι] πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες, ἢ ἰδιοποιησάμενοι. Εἰ δὲ οὐκ ἔςιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως, ἢ Ὀδυσσέως.

189. Βασιλῆς] τοῦτο Ἀττικῆς ἐςι διαλέκτου, τὸ τρέπειν τὴν ει δίφθογγον εἰς η. Οἱ βασιλῆς γὰρ λέγουσι καὶ οἱ ἱππῆς. Καὶ τὸ ᾔδη παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ ἠπίςατο, τῆς αὐτῆς ὂν διαλέκτου, σαφέςερον τοῦτο δείκνυσιν.

190. Τᾶς ἀσώτου] τῆς ἐξώλους καὶ σώζεσθαι μὴ δυναμένης.

Ib. Ἢ τᾶς] τινὲς εἰς τὸ τας ἀσώτου Σισυφιδᾶν γενεᾶς, τὸ ὁ ἄρθρον λαμβάνουσιν ἔξωθεν, λέγοντες, οἱ μεγάλοι βασιλεῖς, καὶ ὁ ὑπάρχων τῆς ἀσώτου Σισυφιδᾶν γενεᾶς Ὀδυσσεὺς, οὓς ὡς ἀγνοοῦντας αὐτὸς ἐάσας, οὕτω λέγει. Ἐὰν δὲ ὑποβαλλόμενοι μύθους οἱ μεγάλοι βασιλεῖς κλέπτουσι καὶ ἀπατῶσι τοὺς ἀκούοντας, καὶ ὑπάρχουσιν οἱ μῦθοι τῆς ἀσώτου γενεᾶς τῶν Σισυφιδῶν, ἤγουν τοῦ πανούργου Ὀδυσσέως ἐκ Σισύφου τὸ γένος κατάγοντος, καὶ τὰ ἑξῆς. Κυρίως δὲ ἄσωτος, ὁ τὸν πατρῷον κακῶς δαπανήσας κλῆρον. Λέγεται δὲ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα ἀπὸ Ἀρκαδίας εἰς Ἰθάκην ἐρχόμενην πρὸς γάμον Λαέρτῃ, ὑπὸ Σισύφου κατὰ τὴν ὁδὸν ἐντυχόντος ἐφθάρθαι.

Ib. Σι-

Μὴ, μή μ', ἄναξ,
Ἔθ' ὧδ' ἐφάλοις κλισίαις ὄμμ' ἔχων,
Κακὰν φάτιν ἄρῃς *.

ΕΠΩΔΟΣ.

Ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
Στηρίζῃ ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ
Ἄταν οὐρανίαν φλέγων.

* ALDUS, ἄρῃ.

Ib. Σισυφιδᾶν] γράφεται Σισυφίδα. Λέγεται γὰρ ἡ Ἀντίκλεια ἀποστελλομένη ἀπὸ Ἀρκαδίας ἐπὶ Ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμον, κατὰ τὴν ὁδὸν Σισύφῳ συνελθεῖν, ἐξ οὗ ἦν φύσει ὁ Ὀδυσσεύς. Ὁ δὲ Σισύφος, Κορίνθου βασιλεὺς, πανοῦργος ἀνήρ· περὶ οὗ φησὶν Ὅμηρος· "Ὃς κέρδιστος γένετ' ἀνδρῶν." Ὅστις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώων ἑαυτοῦ μονογράμματον ἔγραψε τὸ ὄνομα αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳτε. Καὶ αὐτὰ τὰ κλεπτόμενα παρ' αὐτοῦ τὴν μορφὴν ἤλλασσε. Κλέψας οὖν καὶ Σισύφου θρέμματα, καὶ μεταβαλὼν ὁμοίως, οὐκ ἔλαθε τὸν Σίσυφον, ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων. Ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν Σίσυφον ἐξένισεν αὐτὸν, καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῷ καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνῴκισε Λαέρτῃ. Διὸ Σισύφου ὁ Ὀδυσσεύς.

191. Μὴ, μή μ', ἄναξ] τὸ πλῆρες, μὴ μή μοι. Ὁ δὲ νοῦς, εἰ δὲ πλάσσουσι ταῦτα καὶ οὐκ ἀληθείᾳ συνέδρασας, μηκέτι κρυπτόμενος ἐν ταῖς ἐφάλοις κλισίαις κακὴν φάτιν ἄρῃ καὶ περιποιήσῃ, ἤτοι ἐπάρῃς, αὐξήσῃς ἀπὸ σοῦ, ἀλλὰ προελθὼν δεῖξον ψευδῆ τὰ λογοποιούμενα. Τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ·

"Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς
"Ἔνδηλὸς ἐν σοὶ πανταχοῦ μητρὸς πατήρ".

Καὶ Αἰσχύλος ἐν Ὅπλων Κρίσει,

"Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
"Τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο".

Καὶ Εὐριπίδης ἐν Κύκλωπι,

"Χαῖρ', ὦ ξέν', ὅστις δ' εἶ φράσον, πάτραν τε σήν.
"Ἰθακὸς Ὀδυσσεὺς, γῆς Κεφαλλήνων ἄναξ.
"Οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος."

Φαίνεται δὲ τὸ κακόηθες αὐτοῦ καὶ διὰ τῆς γενέσεως.

194. Ἀλλ' ἄνα ἐξ ἑδράνων] ἀνάστα ἐκ τῶν θρόνων, ὅπου πολὺν χρόνον σεαυτὸν ἐνεστήριξας, τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν ἄτην αὔξων, καὶ οἷον, ἐμπυρούμενος ὑπὸ τοῦ πάθους, καὶ ἐν ἀγωνίᾳ πολλῇ ὤν.

Ib. Ἄνα] ἀπὸ τῆς ἄνα προθέσεως, νοεῖται τὸ ἀνάστα ῥῆμα κατὰ ἀποκοπήν. Ἀνιστάω, ἀνιστῶ. Καὶ ἡ μετοχὴ, ὁ ἀνιστάων, ὁ ἀνιστῶν, τοῦ ἀνιστάοντος, τοῦ ἀνιστῶντος. Καὶ ὁ παρατατικὸς, ἀνίσταον, ἀνίστων· ἀνίσταες, ἀνίστας· ἀνίσταε, ἀνίστα· καὶ τὸ προστακτικὸν, ἀνάσταε, ἀνάστα. Καὶ κατὰ ἀποκοπὴν, ἄνα. Ἀναβιβασμ. Τοῦ τόνου.

Ib. Ὅπου μακραίωνι στηρίζῃ] ὅπου στηρίζῃ μακραίωνι σχολῇ. Ὅ ἐστι πολυχρονίῳ, βραδὺν τὸν ἀγῶνα ἐμποιούσῃ σοί. Μακραίων δὲ αὐτοῖς δοκεῖ διὰ τὴν εὔνοιαν.

195. Ἀγωνίῳ σχολᾷ] ἤγουν ἐναγωνίῳ. Ἐνταῦθα γὰρ διατρίβοντες τοῖς Τρωσὶ πολεμοῦμεν ἢ ἀγωνίῳ, τῇ ἀγωνίαν καὶ φόβον ἐμποιούσῃ σχολῇ καὶ διατριβῇ. Διὰ τὸ εἰς μῆκος τοσοῦτον τετάσθαι τὸν πόλεμον, καὶ ὑποψίαν πᾶσιν ἡμῖν εἶναι τοῖς Ἕλλησιν ἐκ πλούτου, ὡς οὐ παλινοστήσομεν οἴκαδε.

196. Ἄταν οὐρανίαν] τὴν ἐκ τοῦ οὐρανοῦ πεμφθεῖσαν. Ἤγουν μετέωρον καὶ μεγάλην. Φλέγων δὲ, ζωπυρῶν, ἀνεγείρων.

197. Ἐχθρῶν

Ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
Ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
Πάντων καγχαζόντων γλώσσαις
Βαρυάλγητ'· ἐμοὶ δ' ἄχος ἕστηκε.

### ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΚ. Ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
Γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
Ἔχομεν στοναχὰς οἱ κηδόμενοι
Τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
Νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας, ὠμοκρατὴς
Αἴας, θολερῷ
Κεῖται χειμῶνι νοσήσας.

197. Ἐχθρῶν δ' ὕβρις] ἡ δὲ τῶν ἐχθρῶν ὕβρις τῶν ταῦτα ἐπὶ σοὶ λεγόντων, οὕτω μᾶλλον ἄφοβός ἐστι καὶ ἀδεῶς εἰς τὸ βλασφημεῖν σε, διὰ τὸ μὴ φαίνεσθαί σε τοῖς Ἀχαιοῖς.

Ib. Ἀτάρβητα] ἀντὶ τοῦ ἀταρβήτως, ἀνειμένως.

198. Ἐν εὐανέμοις βάσσαις] ὡς πῦρ ἐν εὐανέμοις βήσσαις τουτέστιν ἐν ἐκείνοις τοῖς τόποις ὅπου τὰ ὑπὸ σοῦ ἀνῃρημένα ποίμνια ὁρῶντες ἐπεγγελῶσιν. Ἢ ἐν εὐανέμοις βήσσαις, οἷον ἐν εὐδίᾳ καιρὸν ἔχοντες διαβάλλουσι.

199. Καγχαζόντων] γελώντων.

200. Βαρυάλγητ'] βαρέα καὶ ἀλγεινά.

201. Ναὸς ἀρωγοὶ] ἔξεισι Τέκμησσα, καὶ διδάσκει τὸν χορὸν ὅτι Αἴας ἐστὶν ὁ σφάξας τὰ ποίμνια. Πυνθάνεται δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ ἦν τὰ σφαγέντα. Ἑκατέρου τὸ ἀγνοούμενον μανθάνει. Ἡ δὲ Τέκμησσα, αἰχμάλωτος γυνὴ τοῦ Αἴαντος. Πιθανῶς δὲ ἔξεισιν. Οὐ γὰρ ἐπὶ πολὺ δεῖ ἀπολοφύρεσθαι τὸν χορὸν, ἀλλὰ προκόπτειν τὰ τῆς ὑποθέσεως. Ἡ δὲ διάθεσις εὖ ἔχει τῷ ποιητῇ. Ἐπεὶ γὰρ ἄπεστι Τεῦκρος, καὶ ὁ Εὐρυσάκης ἔτι νήπιος, Τέκμησσα κατολοφύρεται. Οὐ γὰρ ἕτερον πρόσωπον γνήσιον τῷ Αἴαντι. Αἱ δὲ τοιαῦται γυναῖκες ὑποτίθενται εὔνοιαν πρὸς τοὺς δεσπότας, ὡς Βρισηῒς πρὸς Ἀχιλλέα.

202. Γενεᾶς χθονίων] διὰ τὸ τὴν Σαλαμῖνα συνῆφθαι τῇ Ἀττικῇ, καὶ περισπούδαστον τοῖς Ἀθηναίοις αὐτὴν κτήσασθαι. Πρὸς εὔνοιαν οὖν τῶν ἀκροωμένων τοῦτο φησίν. Ἢ ἐπεὶ ἐξ Αἰγίνης ἐλθὼν ὁ Τελαμὼν ἐβασίλευσε Σαλαμῖνος. Ἡ δὲ Αἴγινα, τῆς Ἀττικῆς.

204. Τηλόθεν οἴκου] μακρὰν γὰρ Φρυγία Σαλαμῖνος. Ἢ, οἱ πρὸ πολλοῦ κηδόμενοι, καὶ οὐχὶ νῦν μόνον. Ἢ, οἱ τηλόθεν ὄντες, ὅ ἐστι ξένοι κατὰ γένος, καὶ ὅμως τοῦ Τελαμῶνος οἴκου φειδόμενοι, εἰ καὶ μὴ προσήκομεν.

Ib. Τοῦ Τελαμῶνος τηλόθεν] ἢ πρὸς μόνον τὸν χορὸν νοητέον, διὰ μέσου τὸ ἔχομεν στοναχὰς λαμβάνοντας (οὗτος γὰρ πατρόθεν τῷ Αἴαντι ὑποχείριος ἦν, καὶ διὰ τοῦτο μάλιστα πάντων τούτου ἐκήδετο) ἢ συμπαραληπτέον καὶ τὴν Τέκμησσαν, ὡς αὐτὴν μετὰ τοῦ χοροῦ κηδομένην τοῦ Αἴαντος, ἅτε γαμετὴν οὖσαν αὐτῷ. Οἱ δὲ λέγοντες τὸ τηλόθεν ἀντὶ τοῦ ἀπὸ Τροίας, φροντίζοντες Σαλαμῖνος, τἀληθὲς ἀγνοοῦσιν. Οὐδεὶς γὰρ λόγος ἐνταῦθα τῆς Ζαλαμῖνος. Ἠπάτηνται δὲ ἀπὸ τοῦ λέγειν, τοῦ Τελαμῶνος οἴκου. Τὸ δέ ἐστι τοιοῦτον· Οἱ φροντίζοντες τῶν Αἴαντος πραγμάτων τοῦ Τελαμῶνος τηλόθεν ἔκπαλαι·

205. Ὠμοκρατὴς Αἴας] ὁ δυσπέπαντον καὶ αἰτιώνυμον ἔχων πάθος· Ἢ, ὁ ὠμὸς καὶ καρτερὸς, ἢ, ὁ ὑπὸ ὠμότητος κεκρατημένος, ἢ ὁ γενναῖος, ὁ καὶ τῶν ὤμων κρατεῖν δυνάμενος.

208. Τὸ

ΧΟΡ. Τί δ' ἐνήλλακται τῆς ἀμερίας
Νὺξ ἥδε βάρος,
Παῖ τοῦ Φρυγίου Τελεύταντος,
Λέγ', ἐπεί σε λέχος δοριάλωτον
Στέρξας ἀνέχει θούριος Αἴας,
Ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.

ΤΕΚ. Πῶς δῆτα λέγω λόγον ἄῤῥητον;
Θανάτῳ γὰρ ἴσον βάρος* ἐκπεύσῃ.
Μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
Νύκτερος Αἴας ἀπελωβήθη.

* ALD. TURN. in margine, πάθος.

208. Τί δ' ἐνήλλακται] τί αὐτῷ περὶ τὴν ἡμερινὴν ὄχλησιν γέγονε βάρος; οἷον, ἐν τίνι γέγονεν ὁ Αἴας βάρει, ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ κατὰ τὴν ἡμέραν; τί αὐτῷ βάρος ἐνήλλακται αὕτη ἡ νύξ.

Ib. Τί δ' ἐνήλλακται] μὴ εἴπῃς τὸ ἐνήλλακται ἀντὶ τοῦ ἐνηλλαγμένως ἤνεγκεν, ὥς τινες οἴονται, συντάσσειν ἐθέλοντες πρὸς τὸ βάρος· ἀλλ' ἀντὶ τοῦ ἐνηλλάγη· ὥσπερ φαμὲν, ἠλλοιώθην ἀλλοίωσιν, καὶ μετεβλήθην μεταβολὴν· οὕτω κἀνταῦθα δέον εἰπεῖν, τίνα ἐναλλαγὴν ἥδε ἡ νὺξ ἐνήλλαται τῆς ἀμερίας καὶ τῆς ἡμερινῆς καταστάσεως. Ὁ δὲ ἀντὶ τοῦ εἰπεῖν ἐναλλαγὴν, βάρος εἶπε, δεικνὺς τὸ τῆς ἐναλλαγῆς δυσχερές. Ὥσπερ γὰρ βαρὺ φορτίον οὐ δυνάμεθα φέρειν, οὕτω καὶ τὴν ἀπροσδόκητον μεταβολήν. Εἰ μὲν οὖν συνάψεις πρὸς τὸ ἀμερίας τὸ ἐνήλλακται, τὸ ἀμερίας ἀντὶ τοῦ πρὸ αὐτῆς ἡμερινῆς καταστάσεως νοήσεις. Εἰ δὲ τὸ βάρος πρὸς τὸ ἀμερίας ἐρεῖς, τὸ ἀμερίας ἀντὶ τοῦ τῆς νῦν ἡμερινῆς καταστάσεως νοήσεις. Τοῦτο δὲ εἴποις ἂν διὰ τὸ ἅμα πρωῒ τὴν περὶ τοῦ Αἴαντος κακὴν φήμην τούτους ἀκοῦσαι, κἀντεῦθεν βάρος λύπης δεδέχθαι. Ὥστε ἡ κατὰ τὴν νύκτα συμβᾶσα ἐναλλαγὴ, τῆς μετ' ἐκείνην ἡμέρας ἦν.

Ib. Τῆς ἀμερίας] γράφεται τῆς ἀνημερίας, ἀντὶ τοῦ, τῆς ἀηδοῦς φορᾶς· καὶ ἔστιν ὁ νοῦς, ποῖον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς προτέρας ἀηδίας.

211. Ἐπεί σε λέχος] ἐπεί σε ἔχει ὁ Αἴας, δοριάλωτον στέρξας τὸ λέχος σου· ἢ ἄλλως· ἐπεί σε ἀνέχει ὁ Αἴας, τὸ δοριάλωτόν σου στέρξας λέχος.

Ib. Δοριάλωτον] Δοριάλωτος, ὁ δορὶ ἁλωτός.

212. Ἀνέχει] ἀντὶ τοῦ ἔχει. Παρέλκει γὰρ ἡ ἀνά. Ἄμεινον στέρξασαν γράφειν. Ἢ, ἀνέχει, ἀντὶ τοῦ ἀνυψοῖ, τιμᾷ.

Ib. Θούριος] ὁ ὁρμητικός· Θούριον δὲ οὐδετέρως, πόλις, ἡ καὶ Σύβαρις.

213. Ἄϊδρις] τὸ ὑπείποις ἀντὶ τοῦ προείποις. Εἰς ταύτην γὰρ σημασίαν τῷ ὑπείποις χρῶνται ἅπαντες. Ἡ γὰρ ὑπὸ ἀντὶ τοῦ πρὸ, ὡς ἔχει καὶ τὸ ὑποτίμησις.

Ib. Οὐκ ἂν ἄϊδρις] ἤγουν, ὥστε οὐκ ἄν· λαλήσεις ὡς ἀπαθὴς καὶ ἄγνωστος.

214. Λόγον ἄῤῥητον] κακόφημον. Μηδὲ λέγεσθαι ὀφείλοντα.

216. Ἡμὶν ὁ κλεινὸς] τὸ ἡμὶν οὐ παντελῶς ἀργὸν, ἀλλ' ἔχει καί τινα χρείαν, εἴπερ συνάψεις εἰς τὸ ὁ Αἴας ἡμὶν. Φίλτρον γὰρ ἐμφαίνει καὶ σχέσιν τὸ ἐμοὶ καὶ ἡμὶν, ἔνθα ἂν εὕρητε οὑτωσὶ κείμενον. Ὃ δὴ καὶ εὑρήσεις ἔν τε ποιηταῖς καὶ λογοποιοῖς πολλαχοῦ, ἀκριβῶς σκοπῶν. Τὸ δὲ νύκτερος, ἢ πρὸς τὸ ἀπελωβήθη σύντασσε, ἢ πρὸς τὸ ἁλούς.

Ib. Μανίᾳ γὰρ] τὸ κεφάλαιον τοῦ κακοῦ πρῶτον ἐκτίθεται, ὅτι ἐφύβριστα εἴργασται μανίᾳ περιπεσών.

217. Ἀπελωβήθη] ἀντὶ τοῦ ἐφύβριστα εἴργασται. Ἢ οὕτως, ἐνυβρίσθη καὶ λωβητὸς γέγονε.

Τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
Χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
Κείνου χρηστήρια τἀνδρός.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Οἵαν ἐδήλωσας ἀνδρὸς
Αἴθωνος ἀγγελίαν
Ἄτλατον, οὐδὲ φευκτὴν *,
Τῶν μεγάλων Δαναῶν
Ὑποκληζομέναν †,
Τὰν ὁ μέγας μῦθος ἀέξει.
Ὤμοι, φοβοῦμαι τὸ προσέρπον.
Περίφαντος ἀνὴρ
Θανεῖται παραπλήκτῳ
Χερὶ, συγκατακτὰς
Κελαινοῖς ξίφεσιν ‡ βοτὰ,

* Ald. φευκτὰν. † Ald. ὑποκληϊζομέναν. ‡ Ald. ξίφεσι.

220. Κείνου χρηστήρια] ἃ διεχρήσατο ἐκεῖνος, τὰ τολμήματα καὶ πράξεις. Ἢ τὰ διεφθαρμένα ποίμνια, παρὰ τὸ διαχρήσασθαι αὐτά. Δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον, καὶ τὸν χρησμὸν, καὶ τὸ ἱερεῖον.

221. Οἵαν ἐδήλωσας] οὐ τὸ οἵαν δηλοῖ κακὴν, ἀλλ' ὁ λόγος ἐμφαίνει τοῦτο.

222. Αἴθωνος] διαπύρου, θερμοῦ ἐν ταῖς μάχαις. Ἢ τὸ θερμὸν νῦν ἐπὶ τοῦ παρακεκινηκότος κείσθω.

Ib. Ἀγγελίαν] ἀγγελία τινὸς λεγέται, ἣν ἂν ἀγγείλῃ τὶς ὑπ' ἐκείνου πεμφθεὶς, καὶ ἣν εἴπῃ τὶς περὶ ἐκείνου οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς. Μεγάλην ἀγγελίαν ἐκείνου τοῦ ἀνδρὸς τοῦ Αἴαντος ἐδήλωσας ἡμῖν. Λέγω ἀγγελίαν ἄτλητον οὐδὲ φευκτήν. Ἣν ὁ μέγας μῦθος τῶν μεγάλων Δαναῶν αὐξάνει φημιζομένην.

223. Ἄτλατον] ἤγουν οὐ φορητὸν, ἀλλ' ἀνυπομόνητον τοῖς ἀκούουσι, καὶ μάλιστα τοῖς φίλοις. Ἣν οὐ δύναταί τις φυγεῖν, καὶ μὴ καταπλαγῆναι τῷ ἀκούσματι.

225. Ὑποκληζομέναν] φημιζομένην ὑπὸ τῶν Ἑλλήνων, οὐ θεόθεν.

226. Τὰν ὁ μέγας μῦθος] ἣν ἀγγελίαν πᾶς λόγος αὔξει. Πρώην μὲν γὰρ μόνοι οἱ Ἕλληνες ἔλεγον ταῦτα περὶ Αἴαντος, ἡμεῖς δὲ ἠπιστοῦμεν. Νῦν δὲ καὶ ἡμεῖς ἔγνωμεν.

227. Ὤμοι, φοβοῦμαι τὸ ἐκ τούτο φησὶν ἀποβησόμενον. Εἰκὸς γὰρ τὸν νοῦ ἐξεστηκότα μηδὲ ἑαυτοῦ ἀνασχέσθαι. Οὐ γὰρ (φησὶ) φοβοῦμαι μὴ τιμωρηθῇ ὑπὸ τῶν βασιλέων.

Ib. Ὤμοι, φοβοῦμαι τὸ προσέρπον] οἴμοι, φοβοῦμαι τὸ ἑπόμενον· ὅτι ὁ περιφανὴς ἀνὴρ ὁ Αἴας, κατακτὰς καὶ φονεύσας σὺν κελαινοῖς ξίφεσι τὰ βοτὰ καὶ τοὺς ἱππονόμους, θανεῖται καὶ αὐτὸς δηλονότι ὕστερον παραπλήκτῳ χειρὶ, ἤγουν διὰ τῆς αὐτοῦ ἰδίας χειρὸς τῆς μανικῆς.

228. Περίφαντος] φανερός ἐστιν ὅτι ταῦτα ἑαυτὸν διαθήσει.

229. Παραπλήκτῳ] τῇ μανικῇ. Παραπλὴξ γὰρ ὁ μανικός.

Καὶ βοτῆρας ἱππονόμους.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΚ. Ὤμοι· ἐκεῖθεν * ἐκεῖθεν ἄρ᾽ ἡμῖν
Δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
Ὧν τὰ † μὲν εἴσω ‡ σφάζ᾽ ἐπὶ γαίας,
Τὰ δὲ, πλευροκοπῶν, δίχ᾽ ἀνεῤῥήγνυ.
Δύο δ᾽ ἀργίποδας κριοὺς ἀνελὼν,
Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
Ῥιπτεῖ θερίσας, τὸν δ᾽ ὀρθὸν ἄνω
Κίονι δήσας,

* ALDUS, κεῖθεν. † ALDUS, τὴν. ‡ ALDUS, ἔσω.

232. Βοτῆρας ἱππονόμους] τοὺς μεγάλως φυλάττοντας τοὺς ποιμένας· οὗτοι γὰρ ἐνόμιζον καὶ ποιμένας αὐτῶν ἀνῃρηκέναι.

Ib. Βοτῆρας] τοὺς τὴν ποίμνην φυλάσσοντας λέγει κύνας, ὡς καὶ προϊὼν ἐρεῖ. Τὸ δὲ βοτῆρας καὶ ἱππονόμους, ἐκ παραλλήλου. Καταχρηστικῶς δὲ τὸ ἱππονόμους εἶπεν. Ἱππονόμος γὰρ, ὁ τῶν ἵππων νομεύς· Ἢ ἱππονόμους τοὺς μεγάλους νομεῖς καὶ φύλακας τῶν ποιμνίων. Ἵππος γὰρ τὸ μέγα παρ᾽ Ἀττικοῖς, ὥσπερ καὶ τὸ βοῦς. Καὶ τοῦ μὲν ἑνὸς παράδειγμα τὸ βούπαις· τοῦ δὲ ἑτέρου, τὸ ἱππόβινος καὶ ἱπποβούκολος.

233. Ὤμοι, ἐκεῖθεν] ὡς οἰκουροῦσα τὰ ἔξω ἡ Τέκμησσα ἠγνόει· δεῖ οὖν τὸν χορὸν τὰ μὲν ἔνδον ἀπ᾽ αὐτῆς γνῶναι, τὴν δὲ, ἀπὸ τοῦ χοροῦ ἔξω.

234. Ἄγων ἤλυθε ποίμναν] ὅρα ἵνα μὴ θαυμάσῃς, εἰ πρὸς τὸ ποίμνην ἑνικὸν ὂν, τὰ μὲν, καὶ τὰ δὲ ἀποδίδωσιν· ὥσπερ γὰρ λέγομεν αἰτίαν ἐπάγει ὁ δεῖνα, τῷ δεῖνι, τὰ μὲν ὡς προδότῃ, τὰ δὲ ὡς συκοφάντῃ, κατὰ τὸν αὐτὸν τρόπον γίνεται καὶ ἐνταῦθα. Καὶ ἕτερα μύρια τοιαῦτα εὑρήσεις πανταχοῦ. Μαρτυρεῖ δὲ καὶ τὶς τῶν λογοποιῶν λέγων οὕτω, Καί ζημίας, τὴν μὲν, ἀπὸ τοῦ ἀργεῖν τὴν χεῖρα, τὴν δὲ, ὡς ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ καχεξίας, ἄλλως τε καὶ ποίμνην εἶπεν, ὅ ἐστιν εἶδος περιστικόν. Καὶ πάλιν ἐν τῇ διαιρέσει, τὸ ὧν, προέταξε. Δεικνὺς ὅτι ἡ ποίμνη, πλῆθος δηλοῖ ὥσπερ γένος τῶν ὕστερον. Λέγει δὲ καὶ ὁ Λιβάνιός που, κατὰ τὸ σχῆμα τοῦτο, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι. Τὸν δὲ προσλήψομαι.

235. Ὧν τὰ μὲν] εἰ πρὸς τὸ ποίμνην ἑνικὸν ὂν, τὰ μὲν καὶ τὰ δὲ ἀποδίδωσι. Δέον ποιμνῶν εἰπεῖν· ὥσπερ γὰρ φαμεν, αἰτίαν ἐπάγει ὁ δεῖνα, τῷ δεῖνι, τὴν μὲν ὡς προδότῃ, τὴν δὲ ὡς συκοφαντοῦντι (καὶ ἕτερα μυρία ἔχεις εὑρεῖν τοιαῦτα πανταχοῦ, ζητῶν) οὕτω καὶ ἐνταῦθα. Μαρτυρεῖ δὲ καί τις τῶν λογοποιῶν οὕτω λέγων, Καὶ ζημίας, τῆς μὲν ἀπὸ τοῦ τὴν χεῖρα ἀργεῖν, τῆς δὲ ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ καχεξίας. Ἄλλως τε εἰ καὶ ποίμνην εἶπεν, ἀλλ᾽ ἐν τῇ διαιρέσει τὸ ὧν προσέταξε, δεικνὺς τὸ ποίμνην πλῆθος δηλοῦν καὶ ὥσπερ γένος ὂν τῶν ὕστερον. Φησὶ δέ που καὶ Λιβάνιος, Εἰ φίλῳ, τῷ μὲν χαριοῦμαι, τὸν δὲ προσλήψομαι· οἱ οὖν γράφοντες, ὧν τὴν μὲν, καὶ τὰς δὲ πλευροκοπῶν, ἀγνοοῦσι τὰ μέτρα.

236. Πλευροκοπῶν] κατὰ τῶν πλευρῶν τύπτων.

237. Δύο δι᾽ ἀργίποδας] ἀντὶ τοῦ λευκόποδας. Ἴσως τὸν μὲν ἕνα, ἐνόμιζεν Ὀδυσσέα, τὸν δ᾽ ἄλλον, Νέστορα, ἢ Μενέλαον.

238. Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν] ἴσως τοῦτον ἐνόμιζε Νέστορα, ὡς ψευδομαρτυρήσαντα κατ᾽ αὐτοῦ.

241 Μέγαν

Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν,
Παίει λιγυρᾷ μάςιγι διπλῇ·
Κακὰ δεννάζων ῥήμαθ᾽, ἃ δαίμων,
Κοὐδεὶς ἀνδρῶν, ἐδίδαξεν.

### ΑΝΤΙΣΤΡΟΦΗ.

ΧΟΡ. Ὥρα τιν᾽ ἤδη κάρα κα-
λύμμασι κρυψάμενον,
Ποδοῖν κλοπὰν ἀρέσθαι·
Ἢ θοὸν εἰρεσίας
Ζυγὸν ἑζόμενον,
Ποντοπόρῳ ναῒ μεθεῖναι.
Τοίας ἐρέσσουσιν ἀπειλὰς

241. Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν, παίει] διπλώσας τὸν χαλινὸν, παίει τὸν κριὸν, ὡς λιγυρᾷ καὶ ὀξυφώνῳ μάςιγι· ἱπποδέτην δὲ ῥυτῆρα, χαλινὸν μέγαν· μέγαν δὲ, πρὸς τὸ πικρότερον καθάψασθαι τοῦ ἐχθροῦ.

243. Κακὰ δεννάζων] ἀντὶ τοῦ βλασφημῶν. Περιςέλλει δὲ καλῶς τὸν λόγον, φάσκουσα τὰ ῥήματα μὴ εἶναι τοῦ Αἴαντος, ἀλλὰ θεῶν τινος ὑποβολῇ. Δαίμονα δέ φησι τὴν μανίαν. Δεννάζων δὲ, ἀπὸ τοῦ δεινὸν, δεινάζω καὶ δεννάζω, ὡς φαεινὸς, φαεννός.

Ib. Κακὰ δεννάζων] τὸ δεννάζω ἀπὸ τοῦ δεινὸν γέγονε, τροπῇ τοῦ ι εἰς ν. δέννος γὰρ ἡ λοιδορία.

245. Ὥρα τιν᾽] ὥρα τινὰ ἡμῶν (ἀντὶ τοῦ ἕκαςον ἡμῶν) προελκυσάμενον τὴν ἐσθῆτα, τοῖς καλύμμασι τὴν κεφαλὴν κρυψάμενον. Ὁρῶν δὲ ὁ χορὸς, ὅτι ἐν μεγίςῳ κακῷ ἐςιν Αἴας, τὸ μὲν κατὰ τὴν νόσον, τὸ δὲ, κατὰ τὴν ἀπειλὴν τῶν βασιλέων, διαπορεῖται τί πρακτέον αὐτῷ, πότερον ἐγκαλυψαμένους φεύγειν ὁποιποτοῦν, ἢ ἀποπλεῖν ἐπιβάντας ἐπὶ τῶν νεῶν. Καὶ οὐκ ἔςι μὲν μικρὸν, τὸ ἐάσαντας τὸν προςάτην ἀπαλλαγῆναι· ἀλλὰ σημαίνουσι διὰ τούτων ἔςιν ὅτε τὰ ἐν ποσὶ δεινά· εἰώθασι γὰρ οἱ ἀποροῦντες ἐξ ἀρχῆς τοιαῦτα προσφέρεσθαι.

Ib. Ὥρα] ὥρα τινὰ ἤδη τοι κρᾶτα κρυψάμενον, κλοπὴν ποδοῖν ἀρέσθαι· ἤγουν καιρός ἐςιν ἤδη τινὰ, τουτέςιν ἕκαςον ἡμῶν, κρυψάμενον καλύμμασι τὴν κεφαλὴν, ἀρέσθαι κλοπὴν διὰ τῶν ποδῶν. Ἤγουν καιρὸς ἐςιν ἤδη φυγεῖν ἡμᾶς διὰ ξηρᾶς· ἢ ἑζόμενον ἕκαςον ἡμῶν, κατὰ τὸν ταχὺν ζυγὸν τῆς κωπηλασίας, μεθεῖναι διὰ νηὸς ποντοπόρου· ἤγουν, ἢ μεθεῖναι καὶ ἀπολύσαι ἐμὲ αὐτὸν καθεζόμενον κατὰ τὸν αἴτιον τῆς ταχύτητος ζυγὸν τῆς κωπηλασίας, διὰ νηὸς ποντοπόρου. Μεγάλας ἀπειλὰς κωπηλατεύουσιν, ἤγουν κινοῦσι καθ᾽ ἡμῶν οἱ δύο βασιλεῖς. Φοβοῦμαι τὸν λιθοβολίσιμον θάνατον, ταχθεὶς συλλυπεῖσθαι μετὰ τοῦδε Αἴαντος. Ὅν τινα κρατεῖ μοῖρα ἀμέτρητος. Ἢ μεθεῖναι καὶ ἀπολύσαι ἐμὲ αὐτὸν διὰ νηὸς ποντοπόρου, καθεζόμενον κατὰ τὸν ταχὺν ζυγὸν τῆς κωπηλασίας.

Ib. Κάρα] οἱ γράφοντες κρᾶτα, οὐ καλῶς γράφουσιν· ἔχει γὰρ τὸ μὲν κρᾶτα τὸ κρα μακρόν· τὸ δὲ κάρα, τὸ κα βραχὺ, τὸ δὲ ρα μακρόν.

249. Ζυγὸν ἑζόμενον] μὴ λάβῃς εἰς τὸ ζυγὸν ἔξωθεν τὸ εἰς· ἀλλ᾽ οὕτω λέγε, ἑζόμενον ζυγόν· καθῆσθαι γὰρ καθέδραν φαμέν.

250. Μεθεῖναι] μετιέναι, φεύγειν. Ἕκαςον ἡμῶν (φησὶ) δεῖ μεθεῖναι, τουτέςι ῥίψαι ἑαυτὸν ἐν νηῒ, καὶ φυγεῖν.

251. Τοίας] ἀντὶ τοῦ μεγάλας.

Ib. Ἐρέσσουσιν] εὐτόνως κινοῦσιν. Ἀπὸ ἐρεσσόντων· ἀντὶ τοῦ ἐλαύνουσι, κινοῦσι.

Δικρατεῖς Ἀτρεῖδαι
Καθ' ἡμῶν· πεφόϐημαι
Λιθόλευςον Ἄρην,
Ξυναλγεῖν μετὰ τȣ̃δε τυ-
πεὶς, τὸν αἶσ' ἄπλαςος* ἔχει.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΚ. Οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ ςεροπᾶς
Ἀΐξας ὀξὺς νότος ὣς, λήγει,
Καὶ νῦν φρόνιμος† νέον ἄλγος ἔχει.
" Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
" Μηδενὸς ἄλλȣ παραπράξαντος,
" Μεγάλας ὀδύνας ὑποτείνει".

* ALDUS, ἄπλατος ἴσχει. † ALDUS, φρόνιμον.

Ib. Ἐρέσσȣσιν] ἤγȣν κινȣ̃σιν. Εἰκότως δὲ εἶπον τὴν λέξιν ὡς ναῦται.

252. Δικρατεῖς Ἀτρεῖδαι] οἱ δύο ἄρχοντες οἱ Ἀτρεῖδαι.

253. Πεφόϐημαι] εὐλαϐȣ̃μαι τὸ λευσθῆναι, καὶ ἄλλως μετ' αὐτȣ̃, ὃν δὴ μοῖρά τις κακὴ κατέχει· λέγει δὲ τὴν μανίαν. Φησὶν οὖν ἡ Τέκμησσα πεπαῦσθαι, ἀντὶ τȣ̃ συμπαθεῖν αὐτῷ τῆς μανίας, ἵνα προκόπτῃ τὰ τῆς ὑποθέσεως.

254. Λιθόλευςον Ἄρην] τὸν θάνατον. Καὶ Ὅμηρος·
" Γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι."

256. Ἄπλαςος ἔχει] ἀπέλαςος, καὶ κατὰ συγκοπὴν ἄπλαςος, ἢ ἀπλησίαςος, τȣ̃τ' ἔςιν ἡ κακὴ ἡ μὴ παρέχȣσα πλησιάζειν αὐτῇ τίνα. Τοῖς γὰρ μαινομένοις ȣ̓δεὶς πλησιάζει, ἵνα μή τι κακὸν ὑπ' αὐτῶν πάθῃ.

Ib. Αἶσ' ἄπλαςος ἔχει] ȣ̓κέτι ἴσχει αὐτὸν τὸν Αἴαντα ἔτι ἄπλετος μοῖρα. Διότι ἀΐξας ὥσπερ νότος ὀξὺς, χωρὶς λαμπρᾶς ἀςεροπῆς, ἔπαυσε. Ἤγȣν, ὥσπερ νότος ὀξὺς μετὰ πολλῆς ἀχλύος καὶ σκοτεινότητος ἀΐξας ὁ Αἴας, τȣτέςιν ὁρμητικὸς χωρὶς τῆς λαμπρᾶς φρονήσεως ὁρμήσας ὁ Αἴας, ἔπαυσε νῦν, καὶ ἔχει τόρα νέον ἄλγος φρόνιμον. Ἤγȣν λυπεῖται μετὰ αἰσθήσεως καὶ φρονήσεως νῦν, τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη μηδενὸς ἄλλȣ παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει. Ἤγȣν ἡ ἀπόϐλεψις καὶ ἡ ςόχασις εἰς πάθη οἰκεῖα, μεγάλας ὀδύνας ὑποϐάλλει μηδενὸς ἄλλȣ συμπράττοντος· ἡ κοινωνία γὰρ τῶν παθῶν φέρει μεγάλην παρηγορίαν καὶ παραμυθίαν.

Ib. Αἶσ' ἄπλαςος] ἀντὶ τȣ̃ μεγάλη. Οὐκέτι κατέχει αὐτὸν ἡ μανία. Ἀλλὰ λήγει, ὡς ὀξὺς νότος, ταχέως λέγει, ὡς γενομένων τινῶν σημείων ἐπὶ τοῖς πνεύμασιν, ὥςτε παρατείνειν αὐτὰ ἢ ταχέως πεπαῦσθαι. Οἷόν ἐςι καὶ ἐν τῇ κωμῳδίᾳ, " Ἀλλ' ἔπεσε ταχέως· " δειλινὸς γὰρ ἤρξατο."

257. Ἄτερ ςεροπᾶς] φασὶν οἱ περὶ ταῦτα δεινοὶ ὡς εἰ μὴ τύχοι ȣ̓̃σα ἀςραπὴ, ἡνίκα ὁ νότος ἄρξηται πνεῖν, ταχέως παύεται.

259. Καὶ νῦν φρόνιμος] ἔμφρων γενόμενος, ἤρξατο συμπαρακολȣθεῖν τῇ συμφορᾷ, καὶ ἀλγεῖν.

260. Τὸ γὰρ ἐσλεύσσειν] γνωμικόν.

261. Μηδενὸς ἄλλȣ] οἷον, μηδενὸς συμπράξαντος, καὶ μετασχόντος τῶν ἁμαρτημάτων· ἡ γὰρ κοινωνία τῶν ἁμαρτήματων φέρει τινὰ παραμυθίαν. Περισσὴ δὲ ἡ παρὰ πρόθεσις.

262. Ὑποτείνει] ἐξέτεινεν, ἀντὶ τȣ̃ ἐξήπλωσεν·

## ΙΑΜΒΟΙ.

ΧΟΡ. Ἀλλ᾽ εἰ πέπαυται, κάρτ᾽ ἂν εὐτυχεῖν δοκῶ·
Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
ΤΕΚ. Πότερα δ᾽ ἄν, εἰ νέμοι τὶς αἵρεσιν, λάβοις,
Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
Ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
ΧΟΡ. Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕΚ. Ἡμεῖς ἄρ᾽ οὐ νοσοῦντες, ἀτώμεσθα νῦν.
ΧΟΡ. Πῶς τοῦτ᾽ ἔλεξας; οὐ κάτοιδ᾽ ὅπως λέγεις.
ΤΕΚ. Ἀνὴρ ἐκεῖνος ἡνίκ᾽ ἦν ἐν τῇ νόσῳ,
Αὐτὸς μὲν ἥδεθ᾽ οἷσιν εἴχετ᾽ ἐν κακοῖς·

σεν· ὑπέτεινεν ἀντὶ τοῦ κάτωθεν εἰς ὕψος ἔτεινεν. Διατείνεσθαι δὲ τὸ διϊσχορίζεσθαι.

263. Εἰ πέπαυται] εἰ πέπαυται ὁ Αἴας τῆς μανίας, τουτέστιν εἰ πέπαυται ἡ μανία τοῦ Αἴαντος, λίαν δοκῶ εὐτυχεῖν· διότι φρούδου τοῦ κακοῦ ἤδη γενομένου, ὀλίγη καὶ οὐδεμία ἡ φροντὶς περὶ ἐκείνου.

265. Πότερα δ᾽ ἄν, εἰ νέμοι] εἰ δοίη τις αἵρεσιν, πότερον ἂν προκρίνειας, λυπῶν τοὺς φίλους αὐτὸς ἥδεσθαι, ἢ λυπῶν τοὺς φίλους, καὶ αὐτὸς λυπεῖσθαι. Ἄριστα δὲ ἔχουσιν αἱ ἀντιθέσεις, τῶν μὲν οἰομένων ἐν εὐτυχίᾳ γεγονέναι, εἰ πέπαυται τὸ κακόν. Τῆς δὲ, βουλομένης παραστῆσαι, ὅτι ἐν χείροσί ἐστι τὰ τοῦ Αἴαντος νῦν, ὁπότε καὶ παρακολουθεῖ τοῖς ἁμαρτήμασιν. Εἰπόντος δὲ τοῦ χοροῦ ἐν εὐτυχίᾳ εἶναι, εἰ πέπαυται ὁ Αἴας τοῦ κακοῦ, ἐπάγει ἡ Τέκμησσα ὅτι κακόν ἐστι τῷ οὕτως πράξαντι, καὶ τὸ πεπαῦσθαι τῶν δεινῶν· παρακολουθῶν γὰρ τοῖς πεπραγμένοις, ἐν ὀδύνῃ πλείονι γίνεται. Καὶ Εὐριπίδης, „Τὸ γὰρ ὀρθοῦσ-„θαι γνώμην, ὀδυνᾷ." Πρὸς δὲ τὸ ὑπ᾽ ἐκείνων εἰρημένον, ὅτι ἐν εὐτυχίᾳ ἂν εἴημεν εἰ πέπαυται ἀντίθησιν οὕτως, πότερα ἂν ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους, αὐτὸς ἐν ἡδονῇ διάγειν· ἢ κοινωνεῖν τοῦ παντὸς, καὶ αὐτός τε λυπεῖσθαι καὶ τοὺς φίλους λυπεῖν; οἷον, ὁ μὲν Αἴας ἐν τῇ μανίᾳ ὤν, ἐτέρπετο, οἰόμενος τιμωρεῖσθαι τοὺς ἐχθροὺς, ἐγὼ δὲ ἐλυπούμην ὁρῶσα αὐτόν. Νῦν δὲ παυσάμενος τῆς μανίας, καὶ αὐτὸς λυπεῖται ἐπὶ τοῖς πεπραγμένοις· λυπεῖ δὲ πάλιν καὶ τοὺς φίλους· νυνὶ οὖν δεδιπλασίασται τὸ κακόν. Τοῦτο δὲ ἀναπτύσσει ὁ χορὸς διὰ τῶν ἐπιφερομένων, Τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακὸν, οἷον τὸ ἀμφοτέρους λυπεῖσθαι.

260. Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν] ὥσπερ ὁ Αἴας ἐν μανίᾳ ὢν, λυπῶν ἡμᾶς, αὐτὸς ἥδετο.

267. Κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι] ἀντὶ τοῦ, κοινῇ λυπεῖσθαι ἐν φίλοις κοινῇ λυπουμένοις. Τουτέστιν, ὁμοῦ τοῖς φίλοις λυπεῖσθαι.

268. Μεῖζον κακὸν] τουτέστι, τὸ λυπεῖν καὶ λυπεῖσθαι.

269. Ἡμεῖς ἄρ᾽ οὐ νοσοῦντες] τοῦτο ἡ Τέκμησσα λέγει διὰ τὸν Αἴαντα. Δέον δὲ εἰπεῖν, ὁ Αἴας οὐ νοσῶς βλάπτεται, ἡμεῖς εἶπε, διὰ ταῦτα ὅτι εἰώθαμεν, ὁπηνίκα περὶ τινὸς τῶν γνωρίμων διηγούμεθα ἀπόντος, ἐκ τοῦ οἰκείου προσώπου τοὺς λόγους ποιεῖσθαι, καὶ εἰς ἑαυτοὺς τὸ ἐκείνου πρόσωπον ἀναδέχεσθαι. Καὶ ὅτι αὕτη ἡ Τέκμησσα τοῦ Αἴαντος ἦν, καὶ τὸ ἐκείνου κακὸν, οἰκεῖον ἐνόμιζεν. Ὅθεν σκοτεινῶς εἰρῆσθαι δοκοῦν, ἐξεπίτηδες ἀποροῦντα τὸν χορὸν ὁ ποιητὴς δείκνυσιν, ἵνα δῆλον διὰ τῶν ἑξῆς γένηται.

272. Οἷσιν εἴχετ᾽] ἤγουν, ἐπὶ τοῖς κακοῖς, οἷς εἴχετο, τουτέστιν ἐκρατεῖτο.

273. Ἡμᾶς

Ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
Νῦν δ᾽ ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
Κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
Ἡμεῖς θ᾽ ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος·
Ἆρ᾽ ἐστὶ ταῦτα δὶς τόσ᾽ ἐξ ἁπλῶν κακά;
ΧΟΡ. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ ᾽κ θεοῦ
Πληγή τις ἥκοι. Πῶς γὰρ, εἰ πεπαυμένος,
Μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
ΤΕΚ. Ὡς ὧδ᾽ ἐχόντων τῶνδ᾽ ἐπίστασθαί σε χρή.
ΧΟΡ. Τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
Δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
ΤΕΚ. Ἅπαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ᾽ ἕσπεροι

273. Ἡμᾶς δὲ τοὺς φρονοῦντας] γράφεται βλέποντας.

275. Λύπῃ πᾶς] τὸ πᾶς εἶπεν, ἵνα δείξῃ ὡς ὅλος τῆς λύπης γέγονε. Τὸ δὲ ἐξ ἁπλῶν, ἀντὶ τοῦ μονοειδῶν φησί. Πρώην γὰρ ἐλυπούμεθα ἡμεῖς μόνοι, νῦν δὲ καὶ ὁ Αἴας μεθ᾽ ἡμῶν.

276. Ἡμεῖς θ᾽ ὁμοίως] ἐμοὶ (φησὶ) κατ᾽ ἄμφω τοὺς καιροὺς συμβέβηκεν ἀνιᾶσθαι, αὐτοῦ μὲν τότε ἐξεστηκότος καὶ τερπομένου, νῦν δὲ σωφρονοῦντος καὶ τυπουμένου.

277. Ἆρ᾽ ἐστὶ ταῦτα δὶς τόσ᾽ ἐξ ἁπλῶν] ἁπλοῦν μὲν, τὸ τοὺς φίλους ἀνιᾷν. Δὶς τόσα δὲ, ὅτι καὶ αὐτὸς συναλγεῖ.

278. Ξύμφημι] συνομολογῶ σοι, καὶ φοβοῦμαι ἵνα μὴ ἔλθῃ πληγή τις ἐκ θεοῦ. Πῶς γὰρ οὐχὶ, ἐπεὶ πεπαυμένος ὁ Αἴας δηλονότι τῆς μανίας, μηδέν τι εὐφραίνεται. Ἀλλὰ μᾶλλον λυπεῖται, ἢ ὅτε ἦν μαινόμενος.

279. Πῶς γὰρ, εἰ πεπαυμένος] πῶς γὰρ οὐ θεῖόν τι εἴη κατὰ τὸν Αἴαντα, εἰ πεπαυμένος τοῦ κακοῦ, μᾶλλον ἐν ἀνίᾳ διάγει;

Ib. Πεπαυμένος] ἀντὶ τοῦ σωφρονῶν.

280. Μηδέν τι μᾶλλον] ἔδει γὰρ νῦν μᾶλλον. Εὐφραίνεσθαι παυσάμενον τῆς μανίας, ἢ ὅτε ταύτῃ συνείχετο, εἰ καὶ ἄλοχος ἦν ἡ τότε χαρά. Διόπερ ἀπορῶν ὁ χορὸς, εἰς θεοὺς ἀναφέρει τὸ πρᾶγμα, καὶ παρ᾽ ἐκείνων ἐλθεῖν αὐτῷ φησὶ τὰ δεινά· ἵνα καὶ μετὰ τὴν νόσον χεῖρον διακέηται τῇ λύπῃ.

281. Ὡς ὧδ᾽ ἐχόντων] ὅτι κάκιον νῦν ἐκεῖνος ἔχει.

282. Τίς γάρ ποτ᾽ ἀρχὴ] ἀντὶ τοῦ τίς ἡ προσβολὴ τοῦ κακοῦντος αὐτὸν θεοῦ.

Ib. Τίς γάρ ποτ᾽] τοῦτο τὸ γὰρ ὅμοιον, ὡς ἄνω ἔφημεν, τῷ, Τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου; ἢ τὸ γὰρ ἀντὶ τοῦ δὲ νοητέον, δεινοπάθειαν ἔξωθεν σχετλιάζοντος τοῦ χοροῦ. Κᾂν εἰ ὁ ποιητὴς εἴασε τοῦτο δηλῶσαι.

283. Ξυναλγοῦσιν] ἤγουν, συναχθομένοις κατὰ τὰς δυστυχίας.

285. Κεῖνος γὰρ] προκατάστασις καὶ διήγησις τοῦ πραχθέντος ἔργου τῷ Αἴαντι.

Ib. Κεῖνος γὰρ ἄκρας νυκτὸς] περὶ πρῶτον ὕπνον. Πιθανῶς δὲ καὶ τὸ τοῦ χρόνου πρόσκειται. Οἱ γὰρ ἐπιβουλεύοντες, τότε τὰς ἐξόδους ποιοῦνται ὥστε λαθεῖν τὰς παραφυλακάς.

Ib. Ἄκρας νυκτὸς] μὴ λάβῃς εἰς τὸ νυκτὸς ἔξωθεν τὸ ἐπὶ, ἀλλ᾽ ἐστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἡνίκα.

Ib. Ἄκρας νυκτὸς] τουτέστιν, τὸ ἄκρον τῆς νυκτὸς, ὅμοιον τῷ, μέσος κατέχῃ.

Ib. Ἡνίχ᾽ ἕσπεροι] οἱ κατὰ τὴν ἑσπέραν. Ἢ, ὅτε οὐκ ἔφαινόν ἔτι οἱ ἕσπεροι ἀστέρες. Ἢ, ὅτε ἐσβέσθησαν οἱ λύχνοι. Συνετῶς δὲ, καὶ οὐ κατὰ

μαινό-

Λαμπτῆρες ὐκέτ' ἦθον, ἀμφηκες λαϐὼν
Ἐμαίετ' ἔγχος ἐξόδȣς ἕρπειν κενάς.
Κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλητος, ὐθ' ὑπ' ἀγγέλων
Κληθεὶς, ἐφορμᾷς πεῖραν, ὔτέ τȣ κλύων
Σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει ϛρατός.
Ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνȣ́μενα,
"Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει."
Κἀγὼ μαθȣ̃σ', ἔληξ, ὁ δ' ἐσσύθη μόνος.
Καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν τύχας*·
Ἔσω δ' ἐσῆλθε συνδέτȣς ἄγων ὁμȣ̃
Ταύρȣς, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν,

* ALDUS, πάθας.

μαινόμενον. Καὶ ἐκ τῆς τȣ̃ καιρȣ̃ γὰρ ἐννοίας ἐπιϐȣλεύοντος, ἐπιθέσθαι περὶ πρῶτον ὕπνον.

Ib. Ἕσπεροι] ȣ̃ς εἰώθαμεν ἐν ἑσπέρᾳ ἅπτειν διὰ τὴν τȣ̃ σκότȣς παρȣσίαν.

286. Λαμπτῆρες] οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι.

Ib. Ἦθον] ἀντὶ τȣ̃ ἤθοντο.

287. Ἐμαίετ'] ἐζήτει.

Ib. Ἐξόδȣς] ἔξοδος, ἡ ἐξέλευσις, ἐκφορὰ δὲ ἐπὶ νεκρȣ̃.

Ib. Ἐξόδȣς κενὰς] τὰς ὐκέτι χρησίμως γενομένας.

288. Κἀγὼ 'πιπλήσσω] ἀντὶ ἐπέπληξα· ἐπετίμησα.

290. Πεῖραν] πορείαν· ὅδον.

Ib. Οὔτέ τȣ] ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐϛι κατὰ γένος, ὕτω καὶ παρ' Ἀττικοῖς τὸ ὔτέ τȣ, ὅταν ὕτως συντάσσεται, κοινῶς λέλεται.

Ib. Οὔτέ τȣ κλύων] εἰώθασίν οἱ Ἀττικοὶ τὰ θηλυκὰ ἄρθρα ἀρσενικῶς ἐκφέρειν, ἀντὶ τȣ̃ τῆς τȣ̃ λέγοντες. Ἔϛι δὲ τȣ̃το ὅμοιον τῷ παρ' Εὐριπίδῃ· τῷ·

"Οὔτέ τȣ δόξης ἐρῶ."

Εὕρηται δὲ καὶ παρ' Ἰσοκράτει πολλὰ τοιαῦτα, καὶ κοινῶς (ὡς ἔπος εἰπεῖν) παρὰ πᾶσι λογοποιοῖς, τὼ χεῖρε.

292. Ἀεὶ δ' ὑμνȣ́μενα] ἀεὶ θρυλλȣμένα ὑπὸ πάντων ἀνθρώπων, καὶ κοινά. Ἢ ἀεὶ ὑπ' αὐτȣ̃ λεγόμενα πρὸς ἐμέ. Ὅμοιον δὲ τὸ ἦθος ἐκείνῳ. Ἀλλ' εἰς οἶκον ἰȣ̃σα τὰ σαυτῆς ἔργα κόμιζε.

293. Γύναι] οἱ τιθέντες ἐπὶ τῷ γύναι περισπωμένην, ἀμαθεῖς τῶν μέτρων. Ἐντεῦθεν ȣ̃ν μανθανέτωσαν ὀξεῖαν τιθέναι· βραχὺ γάρ ἐϛι τὸ γυ· εἰ γὰρ καὶ ἀπὸ τȣ̃ γυῖον τὸ μέλος γίνεται, ἀλλ' ἐκϐληθέντος τȣ̃ ι, ἔμεινε βραχύ· αἱ γὰρ παραγωγαὶ τῶν πρωτοτύπων βραχύτεραι.

Ib. Κόσμον ἡ σιγὴ] Ἐκ τῶν Καλλιϛράτȣ. Ὥσπερ γὰρ τὰ φύλλα κόσμον τοῖς δένδρεσι φέρει, τὰ δὲ ἔρια τοῖς προϐάτοις, ἡ δὲ χαίτη τοῖς ἵπποις, ἡ δὲ γενειὰς τοῖς ἀνδράσιν· ὕτω καὶ ἡ σιωπὴ κόσμον ταῖς γυναιξὶ φέρει.

294. Κἀγὼ μαθȣ̃σ', ἔληξ'] φοϐηθεῖσα αὐτὸν ὐ διεκώλυσα.

295. Καὶ τὰς ἐκεῖ μὲν] τȣ̃το μὲν ἀγνοεῖ ἡ Τέκμησσα λέγειν. Τȣ̃το δὲ προεῖπεν αὐτῷ ὁ ποιητὴς, καὶ ἐνοχλεῖν ὐ δεῖ τὸν θεατὴν ταυτολογȣ̃ντα.

296. Συνδέτȣς] τȣ̀ς πόδας καὶ τὰς χεῖρας δεδεσμημένȣς.

297. Κύνας βοτῆρας] τȣ̀ς ποιμενικὰς κύνας. ὐ γὰρ

Καὶ τȣ̀ς μὲν ηὐχένιζε· τȣ́ς δ᾽ ἄνω τρέπων,
Ἔσφαζε, κἀῤῥάχιζε· τȣ̀ς δὲ δεσμίȣς
Ἠκίζεθ᾽ ὥςτε φῶτας, ἐν ποίμναις πιτνῶν.
Τέλος δ᾽ ἐπαΐξας διὰ θυρῶν σκιᾷ τινὶ
Λόγȣς ἀνέσπα, τȣ̀ς μὲν Ἀτρειδῶν κάτα,
Τȣ̀ς δ᾽ ἀμφ᾽ Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,
Ὅσην κατ᾽ αὐτῶν ὕβριν ἐκτίσαιτ᾽ ἰών.
Κἄπειτ᾽ ἐπαΐξας * αὖθις ἐς δόμȣς πάλιν
Ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίςαται·
Καὶ πλῆρες ἄτης ὡς διοπτεύει ςέγος,

* ALDUS, ἀπαΐξας. TURN. in marg. ἐπαΐξας.

ȣ̓ γὰρ ἀναιρεῖ κατὰ τὴν σκηνὴν ἄνθρωπον, ἀλλ᾽ ὡς ἔξω τινὰς ἀνεῖλεν.

298. Ηὐχένιζε] τὸν τράχηλον ἀπέκοπτεν. Ἐλαιμοτόμει.

299. Ἔσφαζε, κἀῤῥάχιζε] ὅπερ Ὅμηρος ἀνερύειν φησίν· ὥςτε κατὰ τȣ̃ λαιμȣ̃ γίνεσθαι τὴν σφαγήν.

300. Ἠκίζεθ᾽ ὥςτε φῶτας] δηλονότι κύνας βοτῆρας.

Ib. Ἐν ποίμναις πιτνῶν] ἀντὶ τȣ̃ ἐμπιπτῶν ταῖς ποίμναις. Τȣτέςιν, ἐπιτιθέμενος. Εὗρον ἔν τινι παλαιοτάτῳ τῶν ἀντιγράφων βίβλων, τὸν παρόντα ςίχον ȣ̔́τω γραφόμενον. Τȣ̀ς δὲ δεσμίȣς ἠκίζεθ᾽ ὥςτε φῶτας, ἐν πημναῖς πιτνῶν. Τȣτέςιν, ἐν βλάβαις ἐμπίπτων. Ἀπὸ τȣ̃ πημονὴ, ἡ βλάβη. Καὶ τῇ ἀποβολῇ τȣ̃ ο, πημνή. Τὸ δὲ πᾶν τȣ̃ λόγȣ, τοιȣ̃τόν ἐςιν. Ἦλθε δὲ ὁ Αἴας ἄγων ὁμȣ̃ συνδέτȣς ταύρȣς, κύνας βοτῆρας, εὔκερων ἄγραν. Καὶ τȣ̀ς μὲν ηὐχένιζε, τȣ̀ς δὲ ἄνω τρέπων ἔσφαζε καὶ ἐῤῥάχιζε. Τȣ̀ς δὲ δεσμίȣς ἠκίζεθ᾽ ὥςτε φῶτας. Ἐν πημναῖς τε καὶ βλάβαις τοιαύταις ἐμπίπτων, ȣ̓κ ᾔσθάνετο δηλονότι.

301. Ἐπαΐξας] ἡ μὲν Τέκμησσα ἀγνοεῖ τινι διήλεκται ἐκ τȣ̃ προλόγȣ, ὅτι Ἀθηνᾶ ἦν ἡ λαλήσασα αὐτῷ. Τὸ δὲ, Σκιᾷ τινι, ὅτι ȣ̓ συνέβαλε τὰ περὶ τὴν θεὸν, καὶ ὅτι ἴδιον τοῖς μαινομένοις καὶ τοῖς ματαίοις λαλεῖν. Ἀγνοȣ̃σα δὲ ὅτε ἡ Ἀθηνᾶ αὐτὸν ἐκάλεσε διὰ τȣ̃ ἐπαΐξας, τὴν ἔξοδον τῇ μανίᾳ ἀνατίθησι.

302. Ἀνέσπα] Ἤγȣν, μετὰ βίας καὶ δυσνοπαθείας ἀνέπεμπε. Τὸ γὰρ σχῆμα τȣ̃ λόγȣ ἐνταῦθα, μεθυπαλλαγή ἐςι. Τὸ μὲν ἀνέσπα ῥῆμα, ἀντὶ μετοχῆς λάμβανε. Τὸ δὲ συντιθεὶς μετοχὴν, ἀντὶ ῥήματος, ἵνα ᾖ ὁ λόγος ȣ̔́τω. Τέλος δὲ ὑπαΐξας διὰ τῶν θυρῶν τῆς σκηνῆς, καὶ λόγȣς ἀνασπῶν σκιᾷ τινι, τȣ̀ς μὲν, κατὰ τῶν Ἀτρειδῶν, τȣ̀ς δὲ, κατὰ τȣ̃ Ὀδυσσέως, συνετίθει πολὺν γέλων, ἤγȣν ἐποίει πολὺν γέλων τοῖς ἀκȣ́ȣσι δηλονότι, διηγȣ́μενος τὴν ὕβριν ὅσην ἐκτίσατο κατ᾽ αὐτῶν.

303. Συντιθεὶς γέλων πολὺν] τȣτέςι ῥήματα καταγέλαςα λέγων. Κατὰ τῶν κριῶν ὡς κατὰ ἀνθρώπων ἐποιεῖτο τὴν κόλασιν.

306. Ἔμφρων μόλις] τὰ τρία ταῦτα παριςῶσιν ὡς πάνυ βραδέως εἰς τὸ καθεςηκὸς ἧκεν.

Ib. Ἔμφρων καθίςαται] ἀντὶ τȣ̃ ἐν καταςάσει φρονήσεως ἐγένετο. Ἤγȣν, ἔννȣς γίνεται. Ἔμφρων δὲ καθίςαται μόλις πως σὺν χρόνῳ. Καὶ ἐπεὶ διώπτευξε τὸ ςέγον τῆς σκηνῆς, πλῆρες ἄτης, τύψας τὴν κεφαλὴν αὐτȣ̃ ἐβόησεν. Καὶ ἐν τοῖς δέμασι τῶν νεκρῶν ζώων πεσὼν ἐκαθέζετο ἐπάνω τȣ̃ προβατικȣ̃ φόνȣ, συλλαβὼν χειρὶ καὶ τοῖς ὄνυξι τὴν κόμην αὐτῶν δηλονότι.

307. Καὶ πλῆρες ἄτης] ȣ̓χ ὅτι τȣ̃το ἀλγεινὸν τὸ ἀνελεῖν τὰ ποίμνια, ἀλλ᾽ ὅτι διήμαρτε τῆς τιμωρίας τῶν ἐχθρῶν.

308. Θωΰξεν

Παίσας κάρα, θώϋξεν· ἐν δ' ἐρειπίοις
Νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
Κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί·
Καὶ τὸν μὲν ἦστο πλεῖστον ἄφθογγος χρόνον.
Ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
Εἰ μὴ φανείην πᾶν τὸ συντυχὸν πάθος·
Κἀνήρετ' ἐν τῷ πράγματος κυρεῖ ποτέ.
Κἀγὼ, φίλοι, δείσασα, τοὐξειργασμένον
Ἔλεξα πᾶν ὅσον περ ἐξηπιστάμην.
Ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
Ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
Πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους

308. Θώϋξεν] ἐβόησε.

Ib. Ἐν δ' ἐρειπίοις] τὸ ἑξῆς, ἐν δὲ τοῖς ἐρειπίοις τῶν νεκρῶν τοῦ ἀρνείου φόνου ἐρειφθείς. Ὅ ἐστιν, ἐν δὲ τοῖς πτώμασι τῶν νεκρῶν καταπεσὼν ἔκειτο. Θαυμαστῶς δὲ ὑπ' ὄψιν ἤγαγε τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνύς· οἷον καὶ τὸ παρ' Ὁμήρῳ περὶ τοῦ Κύκλωπος· "τανυσσάμενος διὰ μήλων."

309. Ἐρειφθεὶς] ἀντὶ τοῦ καταπεσὼν, ἐῤῥιμμένος. Πάντα γὰρ τὰ ἐπὶ τὴν ἔραν πίπτοντα, ἐρείπια καλοῦνται, καὶ αἱ ῥιπαὶ ἐντεῦθεν ὡς τὰ ἐρείπια. Τινὲς δὲ ἐρεισθεὶς γράφουσιν, οἷον ἐπερεισάμενος.

Ib. Ἀρνείου φόνου] τοῦτο πρὸς τὸ νεκρῶν σύναπτε. Εἴρηται δὲ τοῦτο ἀπὸ μέρους τὸ πᾶν. Οὐ γὰρ ἄρνες μόνον ἦσαν, ἀλλὰ καὶ κριοὶ καὶ βόες.

310. Ἀπρὶξ] ὅλῃ δυνάμει, ἰσχυρῶς. ἀσφαλῶς. προσπεφυκότως. Ὅ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύμφισιν.

311. Ἦστο] ἤγουν ἐκάθητο· κανόνισον, ἕω, ὁ μέλλων ἕσω. ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς, ἧμαι. ὑποτακτικὸς, ἥμην, ἧστο.

312. Ἔπειτ' ἐμοὶ] οὐκ ἔχων ἐπιβολὴν τῆς αἰτίας τῶν πεπραγμένων, ἐμὲ ἠρώτα τὸ συμβάν. Πάνυ δὲ περιπαθὲς, τὸν ἐμφρονέστατον Αἴαντα παρὰ τῆς γυναικὸς πυνθάνεσθαι τίνα ἐστὶν ἃ ἔπραξεν αὐτός.

313. Εἰ μὴ φανείην] ἤγουν, ἂν μὴ ἐγὼ δηλώσαιμι ἐκείνῳ τῷ Αἴαντι πᾶν τὸ συμβάν.

314. Κυρεῖ ποτὲ] τὸ κυρῶ περισπωμένως φησὶν ἡ συνήθεια καὶ Ἀττικοί. Ἐν δὲ εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετὰ ἐκτάσεως τοῦ υ, κύροι λέγοντες, ἀντὶ τοῦ κυροίη· νῦν δὲ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ κεῖται.

Ib. Κἀνήρετ'] ἀντὶ τοῦ, ἤρετο ἐν τίνι πράγματι ὑπάρχει.

317. Ἐξῴμωξεν] ἐξάκουστον ᾤμωξεν.

318. Ἃς οὔποτ' αὐτοῦ] οὐκ εἰώθει (φησὶν) ὁ Αἴας ἐν τοῖς κακοῖς ἀπολοφύρεσθαι, ἀλλ' ἦν καρτερικός. Ἔλεγεν οὖν (φησὶν) ἀεὶ, κακοῦ ἀνδρὸς τὸ ὀλοφύρεσθαι· ὁποῖον φησὶ καὶ Ἡρακλῆς ἐν Τραχινίαις,

"Ἀλλ' ἀστέναντος αἰὲν εἱπόμην κακοῖς·"

Ὁ οὖν Αἴας πρὸ τούτου, εἰ συνέβη τι αὐτῷ δεινὸν ὡς ταῦρος ἀνεβρυχᾶτο ἀνεξάκουστον, οὐδέποτε δὲ εἰς προφανῆ γόον ἐξέπιπτεν.

319. Πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου] ἀμφότερον ἀντὶ τοῦ δειλοῦ νοητέον. Οἱ δὲ λέγοντες τὸ βαρυψύχου ἀντὶ τοῦ γενναίου, καὶ διὰ τοῦτο προστιθέντες τὸ οὐ, τἀληθὲς ἠγνοήκασι· βαρύψυχος γὰρ ὁ βαρεῖαν καὶ λιθώδη καὶ ἀκί-

Τοιᾶσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
Ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
Ὑπεςέναζε ταῦρος ὣς μυκώμενος.
Νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
Ἄσιτος ἀνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
Σιδηροκμῆσιν, ἥσυχος θακεῖ πεσών.
Καὶ δῆλός ἐςιν ὥς τι δρασείων κακόν.
Τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
Ἀλλ', ὦ φίλοι (τούτων γὰρ οὕνεκ' ἐςάλην)
Ἀρήξατ' εἰςελθόντες, εἰ δύνασθέ τι·
" Φίλων γὰρ οἱ τοιοῖδε νικῶνται φίλοι."
ΧΟΡ. Τέκμησσα, δεινὰ, παῖ Τελεύταντος, λέγεις

νητον ἔχων ψυχὴν, ἀλλὰ μὴ πρὸς πόλεμον ἐρμητικὴν καὶ πρόθυμον.

Ib. Ἐξηγεῖτο] ἡρμήνευεν· ἡ γὰρ ἐξήγησις, ἐπὶ θείων. ἑρμηνεία, ἐπὶ τῶν τυχόντων.

320. Ἐξηγεῖτ' ἔχειν] οἱ λέγοντες τὸ ἔχειν ἀντὶ τοῦ ὑπάρχειν, ἁμαρτάνουσιν· ὥσπερ γὰρ φαμεν, τὰ δίκαια ποιεῖν καλοῦ ἀνδρὸς ἔχει, οὕτω καὶ τοῦτο· ἔλεγε γὰρ ὁ Αἴας ὡς ἔχει τὸ τοιοῦτο δειλοῦ ἀνδρὸς, τὸ καθάπερ γυναῖκα κλαίειν, καὶ θρήνους εἰς ὕψος αἴρειν.

321. Ἀψόφητος ὀξέων κωκυμάτων] ἤγουν ὑψηλῶν, ὅμοιον τῷ ἄσκευον ἀσπίδος τε καὶ ςρατοῦ. Τὸ ὀξὺ, ἐπὶ μὲν φωνῆς ἔχει ἐναντίον τὸ βαρύ· ἐπὶ δὲ ὀφθαλμοῦ καὶ ξίφους, τὸ ἀμβλύ. Ἐπὶ δὲ χυμῶν, τὸ γλυκύ.

322. Μυκώμενος] οἱ γράφοντες βραχώμενος, καὶ μεγεθύνοντες τὸ χω, διὰ τὸ μέτρον, ἴσως ἀμαθεῖς εἰσὶ καὶ γραμματικῆς καὶ μέτρων· κάλλιον γὰρ τὸ μυκώμενος πρὸς τὸ ταῦρος.

325. Σιδηροκμῆσιν] τῷ σιδήρῳ φονευθεῖσιν· ὡς ἀνδροκμῆσιν· καὶ δῆλός ἐςι προσεκτικὰ πρὸς τὸν ἀκροατὴν, ἵνα προσέχῃ ἀκριβέςερον, προσδοκῶν τὸ συμβησόμενον.

326. Δρασείων] ἀντὶ τοῦ θέλων καὶ μέλλων ποιῆσαι· τὸ γὰρ δρασείω, τυψείω, πολεμησείω, καὶ τὰ τοιαῦτα, ἀπὸ ἐνεςώτων καὶ μελλόντων τινῶν ἄλλων ῥημάτων παράγονται. Ἐκ μὲν τοῦ δράσω μέλλοντος, τὸ δρασείω. Καὶ ἐκ τοῦ τύψω τὸ τυψείω. Καὶ ἐκ τοῦ πολεμήσω, τὸ πολεμησείω. Ἐκ δὲ τοῦ χρῶ ἐνεςῶτος, τὸ χρείω. Καὶ ἐκ τοῦ κίχω τὸ κιχείω. Καλοῦνται δὲ ἐφεκτικὰ, καὶ σημασίαν ἔχουσι, ἀεὶ μέλλοντος.

327. Τοιαῦτα γάρ πως] ἐοικότα κατά τινα τρόπον.

Ib. Καὶ λέγει κὠδύρεται] τῷ βούλεσθαι δράσειν δηλονότι κακόν τι.

328. Ἀλλ', ὦ φίλοι] τοῦτο πρὸς τὸ μέγεθος τῆς συμφορᾶς. Πιθανὴν δὲ τὴν πρόφασιν τῆς ἐξόδου φησὶν, ἵνα μὴ δόξῃ τὸν Αἴαντα ἐν τοιαύτῃ συμφορᾷ καταλελοιπέναι.

Ib. Οὕνεκ' ἐςάλην] καταχρηςικῶς τὸ ἐςάλην, ἀντὶ τοῦ ἐπορεύθην] εἴρηται. Κυρίως γὰρ τὸ ἐςάλην ἐπὶ θαλάσσης λέγεται, οἷον ἐςείλατό τίς πόντε τὸν πλοῦν.

330. Φίλων γὰρ οἱ τοιοῖδε] οἱ τοιοῖδε φίλοι, ὁποῖοι ἐςὲ ὑμεῖς, νικῶνται φίλων. Ἤγουν ἡττῶνται· ἡττᾶται δὲ ὁ ἐρῶν τινὸς, καὶ πολλὴν ἀγάπην εἰς αὐτὸν τρέφων· κρατεῖ δὲ ὁ ἐρώμενος. Ἄλλως· Φίλων γὰρ οἱ τοιοῖδε δηλονότι, καὶ οἱ κακοπραγοῦντες ἀπονέμουσιν αἰδῶ τινα τοῖς φίλοις. Ἡ οὖν Τέκμησσα, ἅτε δὴ γυνὴ οὖσα καὶ αἰχμάλωτος, οὐχ οἵα τε αὐτὸν παραμυθεῖσθαι, ἀλλὰ τὸν χορὸν προτρέπεται εἰσιέναι. Ἐπειδὴ δὴ ἄτοπον τὸν χορὸν ἀπολιπεῖν τὴν σκηνὴν, ἀναβοᾷ ἔνδοθεν ὁ Αἴας, ἵνα μείνῃ ἐπὶ χώρας ὁ χορός· τοῦτο γὰρ ἐπόθει θεατής.

331. Τέκμησσα] λέγεις ἐν τοῖς νῦν κακοῖς μαντεύσασθαι

Ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

ΑΙΑ. Ἰώ μοι, μοι.

ΤΕΚ. Τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσσει βοὴν *;

ΑΙΑ. Ἰώ μοι, μοι.

ΧΟΡ. Ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
Νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

ΑΙΑ. Ἰὼ παῖ, παῖ.

ΤΕΚ. Ὤ μοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
Τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

ΑΙΑ. Τεῦκρον καλῶ· ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
Λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

* ALDUS, βοάν.

μαντεύσασθαι τὸν ἄνδρα ἡμῖν δεινάς τοῦτ' ἔστιν, ἐξ ὧν διηγῇ, παριστᾷς προμεμηνυκέναι αὐτὸν ὡς ἑαυτὸν ἐργάσεταί τι κακὸν, ἃ γὰρ ἔπραξεν ἀναλογιζόμενος κρεῖττον τὸ θανεῖν ἡγήσεται.

332. Διαπεφοιβᾶσθαι] μεμαντεῦσθαι, καὶ ἐστοχάσθαι· φοιβάομαι, φοιβῶμαι, τὸ μαντεύομαι. Ὅθεν καὶ φοῖβος ὁ μάντις.

Ib. Διαπεφοιβάσθαι] ἐκμεμηνέναι παρὰ τὸν φοῖτον· ἢ ἀπὸ τῶν φοιβωμένων καὶ ἐνθουσιώντων· καὶ γὰρ ἐκεῖνοι μανίᾳ τινὶ ὅμοιον πάσχουσί τι.

334. Τάχ', ὡς ἔοικε] τάχα ὡς φαίνεται, μᾶλλον στενάζει, ὡς νῦν αὐτοῦ μᾶλλον παροξυμμένου ἢ πρότερον. Εἶτα πρὸς τὸν χορὸν τὰ ἑξῆς, ἢ οὐκ ἠκούσατε Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν; ἐμφαντικῶς δὲ τὸ θωΰσσει. Καὶ γὰρ δεῖ τὸν ὑποκρινόμενον τὸ τοῦ Αἴαντος πρόσωπον, ἀπηνεστέρῳ χρήσασθαι τῷ φθέγματι, καὶ κυνικώτερον βαΰζειν. Διὰ τοῦτο εἶπεν θωΰσσειν.

337. Ἀνὴρ ἔοικεν] ὁ ἀνὴρ ὁ Αἴας, ἢ παρὼν καὶ ἐνιστάμενος τοῖς ξυνοῦσιν, ἤγουν τοῖς πλησίον ἐκείνου κειμένοις πτώμασιν τοῖς συμβᾶσιν ὑπὸ τοῦ πάλαι νοσήματος, ἔοικε λυπεῖσθαι. Ἴδιον δὲ, τῷ λυπουμένῳ, κομψὸν καὶ ἐλλιπῆ λέγειν τὸν λόγον.

340. Ἀμφὶ σοὶ] περὶ σοῦ.

Ib. Ὤ μοι τάλαιν'] ἀποπορούσης τὸ ἦθος· τὸ μὲν, ἀποιμώζει, τὸ δὲ, καλεῖ τὸν παῖδα. Εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, Τί ποτε μενοινᾷ; καὶ πάλιν καλεῖ τὸν παῖδα, καὶ ἑαυτὴν ἀπολοφύρεται· λεληθότως δὲ ἐνεφάνισε καὶ τὸ τοῦ παιδὸς ὄνομα. Ἐδεδίει δὲ μὴ ἀνέλῃ αὐτὸν μαινόμενος. Ἄλλως· τί ποτε μενοινᾷ; ἀντὶ τοῦ προθυμῇ· πρὸς τὸν Αἴαντα λέγει τοῦτο.

341. Ποῦ ποτ' εἶ] πρὸς τὸν Εὐρυσάκην· ὁ γὰρ παιδαγωγὸς αὐτὸν ἔξω εἶχε.

342. Τεῦκρον καλῶ· ποῦ Τεῦκρος] μεταβαίνει ὁ Αἴας ἐπὶ πολλὰ, ἵνα δὴ πλείονες αἱ ἀγωνίαι γίγνωνται. Ἄλλως· ἴδιον τοῦ κακῶς ἔχοντος, τὸ μὴ ἐφ' ἓν τῶν λυπούντων ποιεῖσθαι τὴν ἀναφοράν. Ἐπιζητεῖ δὲ Τεῦκρον, ἵνα παραθῆται αὐτῷ τὸν παῖδα, ὃν ἀφίησι τῷ χορῷ, μὴ εὑρὼν τὸν Τεῦκρον· τὸ δὲ ἀπεῖναι Τεῦκρον, χρήσιμον τῇ οἰκονομίᾳ· παρὼν γὰρ ἐκώλυεν αὐτὸν πρᾶξαι ἃ ἐβούλετο, νῦν δὲ μόνης τῆς γυναικὸς ἐγένετο κρείττων. Ἄλλως· παῖ, παῖ, εἰπὼν, μεταπίπτει εἰς ζήτησιν τοῦ Τεύκρου ὑπὸ ἀμηχανίας, ὥσπερ ἐπιλαθόμενος ἐκείνου.

Ib. Ἢ τὸν εἰσαεὶ] ἤγουν κατὰ τὸν ἑξῆς χρόνον πάντα. Τὸ ἀεὶ λέγεται ἐπὶ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος. τὸ δὲ εἰσαεὶ ἐπὶ ἀεὶ μέλλοντος.

343. Λεηλατήσει] λείαν ἐλάσει, λαφυραγωγήσει· λῃστεύσει· πορθήσει· ἁρπάσει.

ΧΟΡ. Ἀνὴρ φρονεῖν ἔοικεν· ἀλλ᾽ ἀνοίγετε·
Τάχ᾽ ἄν τιν᾽ αἰδῶ κἀπ᾽ ἐμοὶ βλέψας λάβοι.
ΤΕΚ. Ἰδοὺ διοίγω· προσβλέπειν δ᾽ ἔξεστί σοι
Τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΑΙΑ. Ἰώ μοι φίλοι ναυβάται,
Μόνοι ἐμῶν φίλων, μόνοι
τ᾽ ἐμμένοντες ὀρθῷ νόμῳ,
Ἴδεσθέ μ᾽ οἷον ἄρτι κῦ-
μα φοινίας ὑπὸ ζάλης
Ἀμφίδρομον κυκλεῖται.
ΧΟΡ. Οἴ μ᾽, ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν;
Δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

344. Ἀνὴρ φρονεῖν ἔοικεν] ἐκ τοῦ καλεῖν τὸν Τεῦκρον στοχάζονται, καὶ ἀνοίγειν κελεύουσιν, ἵνα αἰδεσθείη θεασάμενος·—

—Οἷον, κἂχ᾽ ἂν αἰδεσθείη με.—

—Ἢ οἷον, τάχα ἂν ἐφ᾽ ἡμῖν αἰδεσθῇ, ἀπολιπὼν ἡμᾶς ἀνάρχους καὶ ὑποχειρίους τοῖς ἐχθροῖς.

346. Διοίγω] ἀνοίγω.

Ib. Προσβλέπειν δ᾽ ἔξεστί σοι] ἐνταῦθα ἐγκύκλωμά τι γίγνεται. Ἵνα φανῇ ἐν μέσοις ὁ Αἴας ποιμνίοις. Εἰς ἔκπληξιν γὰρ φέρει καὶ ταῦτα τὸν θεατὴν τὰ ἐν τῇ ὄψει περιπαθέστερα. Δείκνυται δὲ ξιφήρης ἡματωμένος, μεταξὺ τῶν ποιμνίων καθήμενος.

347. Τὰ τοῦδε πράγη] τὰς πράξεις ἃς οὗτος εἰργάσατο.

Ib. Καὐτὸς ὡς ἔχων κυρεῖ] τουτέστιν, ὡς διάκειται.

348. Ἰώ μοι, φίλοι ναυβάται] τάχιστα τὸ πᾶν ἀπήγγειλε τῷ τροπικῷ. Βούλεται δὲ σημᾶναι ὅτι ὥσπερ ἐκ μεγάλου χειμῶνος ὑπὸ κινήσεως ἀνέμων κῦμά τι ὑποληφθὲν ἀπὸ τοῦ γεγονότος χειμῶνα εἴωθε τὸ κῦμα ἐπὶ πλέον μένειν. Λείπει δὲ τὸ ὡς, ἵν᾽ ᾖ ὡς ἀμφίδρομον, οἷον τὸ πανταχόθεν περιτρέχον. Ἐξ οὗ τὴν ὑπερβολὴν τοῦ κακοῦ σημαίνει. Ὅτι κατ᾽ οὐδὲν αὐτῷ ἐν εὐδίᾳ ἦν τὰ πράγματα.

350. Ὀρθῷ νόμῳ] ἤγουν ὀρθότητι νόμου, ὥσπερ εἴτις εἴποι, εὐθείᾳ στάθμῃ, ἤγουν ἐν εὐθύτητι· ἔστι δὲ κυρίως νόμος, ἔγγραφος συνήθεια, συνήθεια δὲ, ἄγραφος νόμος.

353. Ἀμφίδρομον] τὸ ἑλικοειδὲς, ὃ βαπτίζει τὰς ναῦς.

Ib. Κυκλεῖται] στρέφει· κυκλέω, κυκλῶ, τὸ στρέφω· κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω.

354. Οἴ μ᾽, ὡς ἔοικας] ὁ χορός ἐστιν ὁ λέγων· οὐ γὰρ εὐπρεπὲς τὴν Τέκμησσαν τὸν λόγον ὑφαρπάζειν λεγόμενον πρὸς τὸν χορόν· ἐν ταῖς γὰρ ἀμφιβολίαις τῶν προσώπων δεῖ τοῦ ἤθους στοχάζεσθαι, καὶ διαστέλλειν τὸ πρόσωπον· ἔοικας οὖν (φησὶν) ὅτι ἐν μεγάλῳ χειμῶνι γέγονας· τὸ γὰρ ἀφροντίστως, οἷον, διὰ τὸ μηδένα ἐπιμεληθῆναί σου, ἐν χειμῶνι γέγονας. Ἢ οὕτω πρὸς τὴν Τέκμησσαν ὁ λόγος, νομίζω σε ἀληθῆ μοι μεμαρτυρηκέναι περὶ τῆς μανίας τοῦ Αἴαντος· οὕτως γὰρ τὸ πρᾶγμα δείκνυσιν ἡμῖν, ὅτι μανικῶς διετέθη. Τὸ δὲ ὡς, καὶ τὸ ἄγαν, ἐκ παραλλήλου.

355. Δηλοῖ δὲ τοὔργον] τοῦτο λέγει, ὅτι τὰ

παρόντα

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΑΙΑ. Ἰώ μοι γένος ναΐας
Ἀρωγὸν τέχνας, ἁλίαν
Ὃς ἐπέβας ἑλίσσων πλάταν,
Σέ τοι σέ τοι μόνον δέδορ-
κα ποιμένων ἐπαρκέσον-
τ᾽· ἀλλά με συνδάϊξον.
ΧΟΡ. Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
Ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

### ΣΤΡΟΦΗ Β.

ΑΙΑ. Ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
Τὸν ἐν δαΐαις ἄτρεςον μάχαις,

παρόντα ὑπὸ μανίας γενέσθαι παρίςησιν. Ἢ οὕτως, τὸ ἔργον, τοῦτ᾽ ἔςι τὸ ἐν τούτοις εἶναι τὸν Αἴαντα, ὡς ἄδοξον, καὶ παῖδα ἀνακαλεῖσθαι, καὶ τὴν αὐτοῦ τύχην πρὸς ἡμᾶς ἀνακλαίεσθαι, δηλοῖ ὡς ἀφροντίςως καὶ ἀποςατικῶς ἔχει τῆς μανίας. Ὅπερ εἰ λέγεις, πρὸς μόνην τὴν Τέκμησσαν τὸν λόγον ἐρεῖς. Ἢ οὕτω, τὸ ἔργον δὲ ἤγουν τὸ τοσοῦτον αὐτὸν λυπεῖσθαι καὶ δυσχεραίνειν ἐπὶ τοῖς πεπραγμένοις, ἀπαραμύθητον τοῦτο δεικνύει, ὡς ἀφροντίςως τῆς οἰκείας σωτηρίας ἔχει, καὶ δεινὰ καθ᾽ αὐτοῦ μελετᾷ.

Ib. Ἀφροντίςως] μανικῶς·

356. Ναΐας] τῆς ναυτικῆς. Ἐπεὶ ναυτικοὶ δοκοῦσιν οἱ νησιῶται·

Ib. Ἰώ μοι γένος] τὸ ναΐας τέχνης, ἢ πρὸς τὸ γένος συναπτέον, οὕτω, ὦ γένος ναΐας τέχνης, ἤγουν, ὦ ναῦται· ἢ πρὸς τὸ ἀρωγὸν, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα, οὕτω, ὦ γένος ἀρωγὸν ἕνεκα τῆς ναΐας τέχνης, τοῦτ᾽ ἔςι συμπλέον ἐμοὶ καὶ πρὸς πάντα κίνδυνον συνεπιλαμβανόμενον.

358. Ἐπέβας] τῶν νεῶν δηλονότι.

Ib. Ἑλίσσων πλάταν] κωπηλατῶν· εἴρηται δὲ παρὰ τὸ ἀμφιελίσσας. Κωπηλατῶν δὲ, ἀντὶ τοῦ κωπηλάτης, ἵν᾽ ᾖ τὸ πᾶν, ὃς κωπηλάτης ἐπέβης τῶν νεῶν.

360. Ποιμένων] τῶν κηδεμόνων, τῶν βοηθῶν. Ὡς καὶ ποιμαίνειν τὸ φροντίζειν. Ποιμένων οὖν τῶν ἐμὲ ποιμαινόντων καὶ θαλπόντων. Τὴν αὐτὴν οὖν μοι προαίρεσιν λάβε, καὶ εὖξαί με ἀποθανεῖν. Ἢ σφάζων με σὺν τοῖς θρέμμασιν. Οὐ διὰ τὴν ἧτταν δὲ τῶν ὅπλων πικρὸς ὢν βούλεται ἀναιρεῖσθαι, ἀλλὰ τὸ ὄνειδος ὑφορώμενος τῶν ποιμνίων· ἐν τούτῳ δὲ τὸ ἦθος καὶ ἡ μεγαλοφροσύνη δείκνυται τοῦ Αἴαντος.

Ib. Ἐπαρκέσοντα· ὑπηρετήσοντα.

Ib. Ποιμένων] μὴ λάβῃς εἰς τὸ ποιμένων ἔξωθεν τὸ ἀπό. Ἀλλὰ οὕτω λέγε, σὲ μόνον δέδορκα καὶ βλέπω φροντιςῶν ἐπαρκέσοντα. Τοῦτ᾽ ἔςι σὺ μόνος ἐφάνης ἐμὸς φροντιςὴς εἰς τὸν παρόντα καιρόν. Τὸ δὲ ποιμένων μεταφορικῶς εἴρηται, ἀντὶ τοῦ κηδεμόνων· καὶ γὰρ ὁ ποιμὴν κηδεμὼν τῶν προβάτων ἐςίν·

361. Συνδάϊξον] ὁμοῦ διαφθείρατε καὶ σφάζετε σὺν τοῖς θρέμμασι.

362. Εὔφημα φώνει] τὸ ἑξῆς, μὴ κακὸν κακῷ διδοὺς ἄκος, μεῖζον ποίει τῆς ἄτης τὸ πῆμα. Ἄτην δὲ τὴν μανίαν· πῆμα δὲ τὸν θάνατον, ὅ ἐςι χεῖρον τῆς μανίας. Τοῦτο δέ φησιν ἐπεὶ ὁ Αἴας λέγει τῷ χορῷ, ἀλλὰ σύν με δάϊξον. Ἄλλως· μὴ θεραπείαν κακοῦ ἕτερον κακὸν ἐπεισαγάγῃς· ἤγουν μὴ τῷ θανάτῳ διαλύσης

λύσης

Ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
Ὤ,μοι * γέλωτος, οἷον ὑβρίσθην ἄρα;
ΤΕΚ. Μὴ, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.
ΑΙΑ. Οὐκ ἐκτός; οὐκ ἄψοῤῥον ἐκνεμῇ πόδα;
Αἶ, αἶ, αἶ, αἶ.
ΧΟΡ. Ὦ πρὸς θεῶν, ὕπεικε, καὶ φρόνησον εὖ.

ΣΤΡΟΦΗ Γ.

ΑΙΑ. Ἰώ δύσμορος †, ὃς χεροῖν ‡
Μεθῆκα τοὺς ἀλάστορας,
Ἐν δ' ἑλίκεσσι § βουσὶ καὶ
Κλυτοῖς πεσὼν αἰπολίοις,
Ἐρεμνὸν αἷμ' ἔδευσα.

* ALDUS, Οἴμοι. † ALD. Ὦ δύσμορος. ‡ ALD. ὃς χερσὶ μὲν.
§ ALD. ἑλίκεσι.

λύσῃς τὸ ὄνειδος· πῆμα δὲ ἄτης, κατὰ περίφρασιν, τὴν ἄτην.—

—Μὴ τὴν ἄτην πλείονα ποιήσῃς· ἀρκεῖ γὰρ ἡ παροῦσα.

366. Ἐν ἀφόβοις με θηρσὶ] τοῖς μὴ φόβον ἐμποιοῦσι προβάτοις.

Ib. Δεινὸν] φοβερόν.

Ib. Χέρας] κατὰ τὴν ἰσχύν.

367. Οἷον ὑβρίσθην ἄρα] ὅτι οὐδὲν αὐτοῦ ἄλλο ἅπτεται ὡς τὸ τῆς ἀσχημοσύνης, ὅτι κατὰ τῶν μηδενὸς ἀξίων ἠνδρίσατο.

368. Μὴ, δέσποτ' Αἴας] τοῦτο Τεκμήσσης ἐστὶ, καὶ παρὰ μέρος γίγνονται αἱ παραμυθίαι· οἷα τὰ τῶν φίλων ἐστὶν ἐν ταῖς τοσαύταις συμφοραῖς παραμυθουμένων. Ἵνα ἐκεῖνος μὲν ἀπαράλειπτον ἔχῃ τὴν παραμυθίαν, οἱ δὲ ἐν μέρει τυγχάνωσιν ἀναπαύλης.

369. Οὐκ ἐκτός; οὐκ ἄψοῤῥον] πρὸς τὴν Τέκμησσαν φησίν· ἐκείνοις μὲν γὰρ διαλέγεται Αἴας δεόμενος αὐτῶν. Ἐνταῦθα δὲ τῇ Τεκμήσσῃ ἐπιπλήσσει (εἰώθαμεν γὰρ τοῖς ἐγγυτέρω παῤῥησιάζεσθαι) οὐχ ὡς αἰχμάλωτον ἐξουθενῶν.

Ib. Ἄψοῤῥον] ὀπισθόρμητον.

Ib. Ἐκνεμῇ] νέμω, τὸ βόσκω, καὶ τὸ δίδωμι, καὶ τὸ διοικῶ ποιητικῶς. Νέμομαι δὲ τὸ βόσκομαι—

—"Καὶ νέμεται τὴν ὕλην τὸ πῦρ."

Ἀντὶ τούτου καὶ νέμεμαι, τὸ πορεύομαι, ποιητικῶς.

371. Ὦ πρὸς θεῶν] τοῦτο ὁ χορὸς, τῆς Τεκμήσσης σιγησάσης διὰ τὴν ἐπιτίμησιν· οὐ μὴν πρὸς τοῦτο ἀποκρίνεται ὁ Αἴας, ἀλλ' ἀνοιμώζει πάλιν· ἔστι γὰρ καὶ τοῦτο ἴδιον τῶν καμνόντων, ὥστε μὴ ἀκολούθως φθέγγεσθαι.

373. Μεθῆκα τοὺς ἀλάστορας] ἀλάστορας ἐνταῦθα λέγει, ἢ τοὺς κακοὺς καταχρηστικῶς, ἢ τοὺς φονεῖς. Καὶ γὰρ τρόπον τινὰ καὶ οἱ Ἕλληνες αὐτὸν ἀπεκτόνασιν, ἀπεστερηκότες τὰ ὅπλα, καὶ τῶν παρόντων αὐτῷ γεγονότες αἴτιοι, δι' ἅπερ οὐκ ἀνέξεται ζῆν, ἀλλὰ ἐθελήσει τεθνήξεσθαι. ὃ δὴ καὶ γέγονε.

374. Ἑλίκεσσι βουσὶ] ἕλικας, τὰ περὶ τοὺς καρποὺς ψέλλια ἢ ἐνώτια λέγουσι. Καὶ ἑλικώτατον ὕδωρ, τὸ ἑλικοειδῆ ἔχον τὴν ῥεῦσιν, ἢ διαυγές· ἑλικῶπις καὶ ἑλίκωψ, εὐόφθαλμος.

375. Κλυτοῖς] κλυτὰ λέγει τὰ αἰπόλια, διὰ τὰς ἐν αὐτοῖς ταραχὰς καὶ φωνάς.

377. Ἀλγοίης]

ΧΟΡ. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΑΙΑ. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
Κακῶν ὄργανον, τέκνον Λαρτίου*,
Κακοπινέστατόν τ' ἄλημα στρατοῦ;
Ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
ΧΟΡ. " Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ, κὠδύρεται."
ΑΙΑ. Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοι, μοι.
ΧΟΡ. Μηδὲν μέγ' εἴπῃς· οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

* ALDUS, Λαερτίου.

377. Ἀλγοίης] κανόνισον, ἀλγέω, ἀλγῶ· καὶ ἡ μετοχὴ, ὁ ἀλγέων ὁ ἀλγῶν, τοῦ ἀλγέοντος, τοῦ ἀλγοῦντος· καὶ τὸ εὐκτικὸν, ἀλγέοιμι, ἀλγοίμι, καὶ τροπῇ τῆς μι εἰς ην, ἀλγοίην, ἀλγοίης, ἀλγοίη. Λέγεται δὲ τὸ σχῆμα τοῦτο μεταπλασμός. Μεταπλασμὸς δέ ἐστιν, ὅτε τέλος τινὸς ῥήματος εὐχρήστου, μεταβάλοις εἰς τέλος ἑτέρου ῥήματος εὐχρήστου· οἷόν ἐστι καὶ τὸ κλῦθι· ἔδει γὰρ εἶναι κλύε, ἀπὸ τοῦ ἔκλυον, ἔκλυες, ἔκλυε. ἀλλὰ τὸ τέλος μετέβαλεν, εἰς τέλος ἑτέρου ῥήματος προστακτικοῦ, οἷόν ἐστι τύπηθι.

377. Ἐπεξειργασμένοις] ἐπιτετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσι, κατὰ τὸ Σιμωνίδου, τὸ γὰρ γενενημένον, οὐκ ἐτ' ἄρρεκτον ἔσται.

378. Οὐ γὰρ γένοιτ' ἂν] ἤγουν, οὐκ ἔστι γὰρ τρόπος ὅπως γένοιτ' ἂν ταῦτα οὐχ οὕτω διακεῖσθαι.

378. Ὅπως οὐχ ὧδ' ἔχειν] ὅπως ταῦτα μὴ οὕτως σχοίη. Οὐχ οὕτως διακεῖσθαι.

379. Ἁπάντων κακῶν ὄργανον] ἀντὶ τοῦ πανούργου, καὶ περιέργου.

381. Κακοπινέστατόν] τὸν πῖνον, ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους· ἐνταῦθα οὖν τὸν κακοήθη, ἀντὶ τοῦ κολάκευμα. Τρίμμα κακορύπαρον. Πινῶδες γὰρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν. Ἄλλοτε ἄλλα νοῶν. Πίνα, ὁ ῥύπος, δι' ἑνὸς ν· πίννα, τὸ ὄστρεον, διὰ δύο νν.

382. Πολὺν γέλωθ'] τοῦτο μάλιστα αὐτοῦ ἅπτεται, τὸ τῷ ἐχθρῷ καταγέλαστον εἶναι.

383. Ξὺν τῷ θεῷ] κινδυνεύει εἰς ἐναντίον εἶναι τὸ διανόημα. Ἐὰν νομίζωμεν φάσκειν τὸν χορὸν ὅτι θεοῖς ἀρέσκει γελᾷν ἐκεῖνον, καὶ ἐφήδεσθαί σοι· τοῦτο γὰρ προτροπὴν μᾶλλον φέρει εἰς τὸν θάνατον Αἴαντι. Ἀκουστέον οὖν οὕτως, οὐχ ὅτι θεῷ ἀρέσκει γελᾷν ἐκεῖνον. Ἀλλ' ὅτι θεῶν βουλομένων, καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν· εἰκὸς οὖν καὶ ἡμῖν (φησὶν) βοηθῆσαι τὸ θεῖον· ἢ οὕτως, θεὸς καὶ τὸ γελᾷν καὶ τὸ κλαίειν δίδωσι. Πῶς οὖν σου ἔχει καταγελάσαι Ὀδυσσεὺς, αἴτιός σοι γεγονὼς τῆς ἀτυχίας, ὅπουγε παρὰ θεῶν δίδοται;

384. Ἴδοιμι δή νιν] τοῦ χοροῦ τὸν περὶ θεοῦ λόγον ἐμβαλλομένου, οὐκ ἐφίεται ὁ Αἴας· ἀλλ' ὑπὸ τῆς ἰδίας δυνάμεως ἐπαίρεται· φησὶν οὖν, ἴδοιμι αὐτὸν, καίπερ οὕτως κακούμενος· δῆλον γὰρ ὅτι ἀμύνομαι, εἰ καὶ θεοὶ συλλαμβάνουσιν αὐτῷ.

Ib. Ἀτώμενος] ἄτης πεπληρωμένος.

386. Μηδὲν μέγ' εἴπῃς] ὁποῖον καὶ τὸ ἐν Ἠλέκτρᾳ, μηδὲν μέγ' αὔσῃς. Τοῦτο δὲ πρὸς τὸ ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.

387. Ἰὼ

### ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΑΙΑ. Ἰὼ Ζεῦ, προγόνων πάτερ *,
Πῶς ἂν τὸν αἱμυλώτατον,
Ἐχθρὸν, ἄλημα, τούς τε δισ-
σάρχας ὀλέσσας † βασιλῆς ‡,
Τέλος θάνοιμι κἀυτός;
ΤΕΚ. Ὅταν κατεύχῃ ταῦτ᾽ §, ὁμοῦ κἀμοὶ θανεῖν
Εὔχου· τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος.

### ΣΤΡΟΦΗ Δ.

ΑΙΑ. Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεμβος ||
Ὦ φαενὸν |||| ὡς ἐμοὶ,
Ἕλεσθ᾽, ἕλεσθ᾽ οἰκήτορα,

* Ald. Ὦ—προπάτωρ. † Ald. ὀλέσας. ‡ Ald. βασιλεῖς.
§ Ald. ταῦθ᾽. || Ald. ἔρεβος. |||| Ald. Ὦ φαεννότατον.

387. Ἰὼ Ζεῦ] αἱ τοιαῦται προσφωνήσεις οὐ διαλύουσι τὴν ὑπόθεσιν, παραλαμβάνουσαι τὸ μέλλον, ἀλλὰ προσοχὴν ἐργάζονται τῷ θεατῇ, προσοδκῶντι πῶς τὸ δεινὸν ἀπαντήσειεν.

Ib. Προγόνων] πρόγονος, πατὴρ, πάππος, καὶ οἱ ἀνωτέρω. Ἀπόγονοι, υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. Πρόγονοι, καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι, ὧν ὁ πατὴρ ἢ ἡ μήτηρ εἰς δεύτερον ἦλθε γάμον. Λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γενομένους. Ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

Ib. Προγόνων πάτερ] οἱ γράφοντες προγόνων προπάτωρ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· δεῖ οὖν πάτερ γράφειν, ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται.

Ib. Πάτερ] Ἀρχηγὸς τοῦ γένους τοῦ Αἴαντος ὁ Ζεύς· οὕτως ὁ Αἰακὸς ἐλέγετο υἱὸς τοῦ Διὸς, ἐξ οὗ Πηλεὺς καὶ Τελαμών· Ὧν Ἀχιλλεὺς καὶ Αἴας.

389. Ἄλημα] πλάνη καὶ παραλογιστικὸν πανούργημα, ἢ περίτρεμμα παρὰ τὸ λέπειν.

392. Ὅταν κατεύχῃ] ἐπειδὴ τῆς παραμυθίας οὐκ ἠδυνήθη αὐτὸν μεταθεῖναι, δοκεῖ ἐκ τούτων αὐτῶν μεταθεῖναι. Κἀμοὶ οὖν εὔχου ἀποθανεῖν. Εὔχομαι δὲ τῷ θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ, ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι. Κατεύχομαι δὲ, τὸ καταρῶ.

Ib. Κατεύχῃ] εὔχομαι τῷ Θεῷ ἀντὶ τοῦ ὑπίσχομαι· ὅθεν καὶ εὐχὴ ἡ ὑπόσχεσις. Ὡς τὸ, τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω.

394. Ἔρεμβος] ἔρεμβος χρὴ γράφειν διὰ τὸ μέτρον, καὶ φαενὸν, οὐ φαενώτατον. Ὅμοιον γὰρ χρὴ εἶναι τῷ τῆς ἀντιστροφῆς κώλῳ.

395. Ὦ φαεννότατον ὡς ἐμοὶ] τουτέστιν, ὡς ἐμοὶ φαεινότερον τοῦ ἡλίου, ἐμοὶ χρῆσθαι κριτῇ· ἢ παρέλκει τὸ ὡς. Λέγει δὲ σκότος, ἐμὸν φάος, ὡς εἴτις τὸν θάνατον σωτηρίαν νομίσειεν.

596. Ἕλεσθε] ἀντὶ τοῦ ἁπλῶς λάβετε. ἔσθ᾽ ὅτε δὲ καὶ ἀντὶ τοῦ προτιμῆσαι.

Ἔλεσθέ μ'· οὔτε γὰρ θεῶν
Γένος, οὔθ' ἁμερίων
Ἔτ' ἄξιος βλέπειν τι-
ν' εἰς ὄνησιν ἀνθρώπων.
Ἀλλά μ' ἁ Διός γ' ἀλκίμα θεὸς
Ὀλέθριον αἰκίζει.
Ποῖ τις οὖν φύγῃ;
Ποῖ μολὼν μενῶ;
Εἰ τὰ μὲν φθίνει, φίλοι,
Τοῖς δ' ὁμοῦ πέλας,
Μωραῖς δ' ἄγραις προσκείμεθα.
Πᾶς δὲ στρατὸς δίπαλτος
Ἄν με χειρὶ φονεύοι.

ΤΕΧ. Ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον

397. Οὔτε γὰρ θεῶν] οὔτε θεῶν οὔτε ἀνθρώπων γένος ὁρᾶν ἔτι ἄξιόν μοι εἰς ὠφέλειαν. Ἄριστον τοίνυν ἐξιέναι τοῦ βίου. Ἢ οὕτως, εἰς ὄνησιν ἀνθρώπων. Ὠφέλεια οὐκ εἰσί μοι οἱ ἄνθρωποι, οὔτε οἱ θεοί. Τί οὖν ζῶ;

399. Βλέπειν τιν' εἰς ὄνησιν] τὸ τινὰ, ἢ πρὸς τὸ ἁμερίων συντακτέον. Ἢ τὸ μὲν γένος κατὰ κοινοῦ λάμβανε πρὸς τοῦτο, σύναπτε δὲ τὸ τινὰ πρὸς τὸ ὄνησιν· ὥσπερ καὶ τὸ ἀνθρώπων, ἢ πρὸς τὸ ἁμερίων, ἵν' ᾖ τὸ αὐτό. Ἢ πρὸς τὸ ὄνησιν, οὕτως, οὔτε γὰρ ἄξιός εἰμι βλέπειν τὸ γένος τῶν θεῶν, οὔτε τῶν ἁμερίων εἰς τινὰ ὄνησιν ἀνθρώπων· τοῦτ' ἔστιν, οὐ δεῖ με ἀπὸ τοῦδε ζῆν, εὐχόμενον τοῖς θεοῖς, καὶ μετὰ τῶν ἄλλων διάγοντα, ἵν' ἀνθρωπίνως εὐτυχῆσαί μοι γένοιτο. Ὅπου γε καὶ τὸ ἀνθρώπων εἰς τὸ ἁμερίων συνάπτων, οὕτω τὸ ὄνησιν ἐρεῖς.

402. Ὀλέθριον] ὀλεθρίως εἰπεῖν ἔδει· ἀλλὰ πρὸς τὸ ἐμὲ ἐπήγαγε, καί ἐστιν ἀρσενικὸν, οὐχ (ὥσπερ τινὲς οἴονται) οὐδέτερον.

403. Φύγῃ] γράφεται τράπῃ.

404. Ποῖ μολὼν] ποῖ ἐλθὼν παραμενῶ· πανταχοῦ γὰρ ἕπεται ἡ θεὸς αἰκιζομένη.

405. Εἰ τὰ μὲν] τινὲς λέγουσι τὴν περὶ τῶν ὅπλων κρίσιν, καὶ τὸ φθίνει πρὸς τὴν Ἀθηνᾶν ἀποδιδόασι, καὶ ἕτερ' ἄττα· ἐγὼ δὲ αὐτὸς οὕτω, τὰ μὲν τῶν ἡμετέρων φθίνει καὶ φθείρεται· λέγω δὴ τὸ τιμᾶσθαι, καὶ παρὰ πάντων αἰδέσιμον εἶναι, καὶ μετὰ τοῦ λελογισμένου πράττειν ὅσα καὶ θέλοιμι. Ἅπερ ἐμοὶ πρῶτον ἀνθοῦντα, νῦν καταῤῥεῖ, καὶ εἰς οὐδὲν χωρεῖ, παραπλησίως τοῖς προκειμένοις θρέμμασιν. Ἢ τὸ φθίνει ἀντὶ τοῦ φθείρουσιν. Οὕτω τὰ μὲν ἤτοι τὰ συμβάντα μοι κακὰ φθείρουσί με, εἰς μνήμην ἐρχόμενα.

407. Μωραῖς δ' ἄγραις] διὰ τὴν ἀναίρεσιν τῶν βοτῶν, ἃ λαβὼν μωρῶς διεχρήσατο.

408. Δίπαλτος] ἀμφοτέραις ταῖς χερσὶν, οἷον περιδεξίως με φονεύοι. Παντὶ σθένει, ὡς Δίδυμος· ἢ, ὁ στρατός με φονεύοι λαβὼν τὰ δίπαλτα δοράτια, ὡς Πίος φησὶ, ἀπὸ τοῦ πάλλω. Ἀφ' οὗ ἐν ἄλλοις οὗτος παλτὸν λέγει πῦρ τὸν κεραυνὸν, ὡς ἄνωθεν παλλόμενον.

Ib. Δίπαλτος] ἤγουν δίπλῃ χειρὶ καὶ πάσῃ δυνάμει. Δηλοῖ δὲ διὰ τούτου τὴν κατ' αὐτοῦ σφοδρὰν ὀργὴν τοῦ στρατοῦ.

409. Χειρὶ φονεύοι] τῶν ἀπὸ τῶν ἐχθρῶν ἐπιβουλὴν προβάλλεται.

410. Τοιάδ' ἄνδρα χρήσιμον φωνεῖν] τοιαῦτα φωνεῖν ἃ πρότερον οὐκ ἂν ἔτλη γενναιότατος ὤν. Χρήσιμον, τὸ ἐπιτήδειον εἰς χρείαν, ἤγουν τὸ συντελοῦν εἰς τι. Θέλει οὖν ἐνταῦθα δεῖξαι, ὅτι ἀσυντελὲς φωνεῖν τοιάδε ἄνδρα, ἃ οὐδέποτε οὗτος πρότερον ὑπέμεινεν ἂν φωνῆσαι.

Φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν;

ΑΝΤΙΣΤΡΟΦΗ Δ.

ΑΙΑ. Πόροι ἁλίροθοι, πάραλά τ' ἄντρα,
Καὶ νέμος ἐπάκτιον,
Πολὺν πολὺν δαρόν τέ με *
Κατείχετ' ἀμφὶ Τροΐαν †
Χρόνον· ἀλλ' οὐκέτι μ' οὐ-
κέτ' ‡ ἀμπνοὰς ἔχοντα·
Τοῦτό τις φρονῶν ἴσω.
Ὦ Σκαμάνδριοι § γείτονες ῥοαὶ,
Εὔφρονες ‖ Ἀργείοις,
Οὐκέτ' ἄνδρα μὴ ‖‖
Τόνδ' ἴδητ', ἔπος
Ἐξερέω μέγ', οἷον οὔ

* Ald. πολύν με δαρόν τε δή. † Ald. Turn. Τροίαν.
‡ Ald. μ' οὐκέτι. § Ald. Σκαμάνδροιο. ‖ Ald. εὔφρονες.
‖‖ Ald. με.

412. Πόροι] ποταμοί.

413. Καὶ νέμος ἐπάκτιον] τὸ ἄλσος τοῦ ὄρους τῆς Ἴδης τὸ παράλιον. Ἀκτὴ, δὲ, ὁ κρημνώδης τόπος ἐν θαλάσσῃ· αἰγιαλὸς, ὁ ἐπίπεδος καὶ ὁμαλός.

Ib. Νέμος] ἤγουν παραθαλάσσιον ἄλσος, ὅπερ ἐςὶ πλησίον Σκαμάνδρου καὶ τοῦ Ξάνθου.

415. Κατείχετ'] εἴχετε. Κατέχειν γὰρ λέγεται τὸ κρατεῖν, καὶ ἔχει τὸ ἐναντίον τὸ ἀπολύειν.

416. Ἀλλ' οὐκέτι] ἕξετε δηλονότι.

417. Ἀμπνοὰς ἔχοντα] ἤγουν ζῶντα.

418. Ἴςω] ὅτι οὐκ ἔχω ἔτι ζῆν.

419. Ὦ Σκαμάνδριοι] οὐκ ἔςιν ἡ διαςολὴ πρὸς τοὺς Τρῶας, ὡς τοῦ Σκαμάνδρου μᾶλλον τὰ τῶν Ἑλλήνων αἱρουμένου, ἀλλ' οἷον, ἐμοὶ ἐχθραὶ ῥοαὶ, εὔφρονες δὲ τοῖς Ἀργείοις τοῖς ἐμοῖς ἐχθροῖς. Ταυτα δὲ πάντα ἐςι τοῦ ἀνακρουομένου τὸν θάνατον. Εὔφρονες Ἀργείοις διὰ τὸ ποτόν. Ἔμφρων μὲν γὰρ, ὁ φρόνιμος. Εὔφρων δὲ, ὁ ἡδὺς καὶ εὐφραντικός.

420. Εὔφρονες] εὐφραντικοὶ, διὰ τὸ λοῦσθαι καὶ πίνειν καὶ τἄλλα χρῆσθαι ὑμῖν.

421. Οὐκέτ' ἄνδρα] οὐ νεμεσητὸν τῷ Αἴαντι μεγαλαυχεῖσθαι. Ὅταν μὲν γάρ τις ἐν μετρίᾳ διαγωγῇ ᾖ, τότε εὔσχημον περιςέλλειν τὰ ἑαυτοῦ πλεονεκτήματα· ἀπηυδηκότα δ' ἄνδρα οὐκ ἄν τις μέμψαιτο εἰ μεγαλαυχεῖται. Ὁποῖα καὶ Ἡρακλῆς ἐν τῷ τέλει ὢν, περὶ τῆς ἀνδρίας αὐτοῦ διέξεισι. Καὶ γίγνεται ἐπίτασις τοῦ πάθους, ὁπόταν τὸ τοιοῦτο διαφθείρηται. Ἔτι δὲ αὔξεται τὸ πάθος οὐχ ὑπὸ ἄλλου λεγόμενον, ἀλλ' ὑπὸ αὐτοῦ.

423. Ἐξερέω] κομπάσω.

Ib. Οὔτινα] οὐδένα ἄλλον δηλονότι εἶδεν ἀπὸ ςρατοῦ.

427. Πρόκειται]

Τινα Τροία. στρατȣ̃
Δέρχθη, χθονὸς μολόντ᾽ ἄπο
Ἑλλανίδος· τανῦν δ᾽ ἄ-
τιμος ὧδε πρόκειται.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Οὔτοι σ᾽ ἀπείργειν, ȣ̉̓θ᾽ ὅπως ἐῶ λέγειν
Ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.
ΑΙΑ. Αἴ, αἴ· τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον
Τȣ̉μὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί,
Καὶ τρίς· τοιȣ́τοις γὰρ κακοῖς ἐντυγχάνω·
Ὅτȣ πατὴρ μὲν τῆσδ᾽ ἀπ᾽ Ἰδαίας χθονὸς
Τὰ πρῶτα καλλιστεῖ᾽ ἀριστεύσας στρατȣ̃,

427. Πρόκειται] προκείμενος εἰμὶ εἰς ὄψιν πάντων δηλονότι.

428. Οὔτοι σ᾽ ἀπείργειν] ὁ χορός ἐστιν ὁ λέγων· ἐνδίδωσι γὰρ τῷ χορῷ κάμνοντι. Ὅπερ ἐστὶν εἶδος παραμυθίας. Ἡ Τέκμησσα τȣ̃το ȣ̉κ ἐποίει. Ἀπείργω τινὰ βȣλόμενον ἐνεργεῖν τι· ἀνείργω δὲ τὸν ἀρξάμενον, καὶ ὁσονοῦν τοῦ ἔργȣ ἀνύσαντα.

429. Ἔχω] ἀντὶ τοῦ δύναμαι.

430. Αἴ, αἴ] ἐντεῦθεν μακρὰν ῥῆσιν μηκύνει ὁ Αἴας. Ἔστι καὶ τȣ̃το ἀρχαιότροπον, τὸ πρὸς τὰς ὀνομασίας ἐκφέρειν τὰς συμφοράς. Καλῶς μὲν ȣ̃ν πράττων ȣ̉κ ἂν ἐμέμνητο τοῦ διὰ νοήματος, ἐν συμφορᾷ δὲ ὤν. Ἐπώνυμον συνῳδὸν ἔσεσθαι καὶ ἐπώνυμον τοῖς ἐμοῖς κακοῖς. Ἔπλεξε δὲ τὸ ὄνομα παρὰ τὸ αἲ αἲ τὸ θρηνητικόν.

431. Ξυνοίσειν] συνδραμεῖν, καὶ συνενεχθῆναι, καὶ εἰς ταυτὸν ἐλθεῖν.

433. Ἐντυγάχνω] περιπίπτω.

454. Ὅτȣ] ἡ σύνταξις, ὅτȣ ὁ πατὴρ Τελαμὼν ἦλθεν ἀπὸ τῆς Τροίας εἰς τὸν οἶκον φέρων πᾶσαν εὔκλειαν, τὰ πρῶτα καλλιστεῖα καὶ ἐξαίρετα γέρα τȣ̃ στρατȣ̃, λέγω τὴν Ἡσιόνην, ἀριστεύσας καὶ ἄριστος φανείς. Πρῶτος γὰρ τὸ Τροίας εἰσεπήδησε τεῖχος, στρατὸν δὲ λέγει ὃ κατὰ τῆς Τροίας Ἡρακλῆς ἠγάγετο, ἀμυνόμενος Λαομέδοντα, διὰ τὸ μὴ τȣ̀ς ἵππȣς λαβεῖν, ȣ̃ς ὑπέσχετο αὐτῷ δȣ̃ναι, εἰ τὸ κῆτος ἀνέλοι. Ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. Τὸ δὲ εὔκλεια καὶ τὰ πρῶτα καλλιστεῖά ταυτόν ἐστιν, εἰ καί τινες τῶν ἀμαθῶν τὸ ἀριστεύσας ἀντὶ τȣ̃ ὡς ἄριστος λαβών, λέγȣσι, βȣλόμενοι συντεταχέναι τὰ πρῶτα καλλιστεῖα, ἃ ȣ̉κ ἄλλο ȣ̉δὲν ἦν ἀλλ᾽ ἢ εὔκλεια. Οὕτω δὲ εὑρήσεις καὶ προϊών· λέγω δὴ τό, Ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν.

435. Τὰ πρῶτα καλλιστεῖ] ἦλθε γὰρ ὁ Ηρακλῆς πάλαι πορθήσας τὴν Ἴλιον, ἔχων μεθ᾽ ἑαυτȣ̃ καὶ τȣ̀ς ἀρίστȣς τῶν Ἑλλήνων, ἤγȣν τὸν Τελαμῶνα καὶ ἄλλȣς. Μετὰ δὲ τὸ πορθῆσαι, ἔδωκε τῷ Τελαμῶνι γέρας, τὴν ἀδελφὴν Πριάμȣ τὴν Ἡσιόνην· μεθ᾽ ἧς ἐγέννησε τὸν Τεῦκρον. Ἐκάλεσε δὲ Τεῦκρον, ἵνα δείξῃ ὅτι ὁ παλαιὸς ἐκεῖνος Τεῦκρος ἦν πρόγονος Πριάμȣ καὶ Ἡσιόνης.

Ib. Τὰ πρῶτα] ἤγȣν, τὰ τιμιώτατα γέρα.

Ib. Ἀριστεύσας] ἤγȣν, ἕνεκα τῶν ἀριστείων εἰληφώς.

 439. Ἀρκέσας

Πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
Ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
Οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
Ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
Καί τοι τοσοῦτόν γ' ἐξεπίςασθαι δοκῶ,
Εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν, ὧν πέρι
Κρίνειν ἔμελλε κάρτος * ἀριςείας τινὶ,
Οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ·
Νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
Ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
Κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάςροφοι
Γνώμης ἀπῆξαν † τῆς ἐμῆς, οὐκ ἄν ποτε

* Ald. κράτος. † Ald. Turn. in marg. ἀπῆξαν.

439. Ἀρκέσας ἐμῆς] τὸ ἀρκέσας, οὐκ ἀντὶ τοῦ πράξας, ὥς τινες οἴονται· ἀλλ' ὥσπερ φαμὲν τὸ ἀρκετός εἰμι τόδε, οὕτω καὶ τὸ ἀρκέσας ἔργα νοῶμεν. Εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νοῦν τοῖς, μὴ τελείοις τὴν σύνταξιν.

441. Καί τοι] τοσοῦτον δοκῶ γινώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε μετὰ κρίσεως διδόναι τινὶ κράτος ἕνεκα ἀριςείας περὶ τῶν ἰδίων ὅπλων, οὐκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτά. Ἄλλοι δὲ συντάσσουσιν οὕτως· καί τοι τοσοῦτόν γε δοκῶ γινώσκειν, ὅτι εἰ ὁ Ἀχιλλεὺς εἴη ζῶν, καὶ ἔμελλε κρίνειν ἤγουν, κρίσιν καὶ ἀγῶνα ποιῆσαι περὶ τῶν ἰδίων ὅπλων διδόναι τινι κράτος καὶ βραβεῖον ἕνεκα ἀριςείας αὐτὰ τὰ ὅπλα, οὐκ ἄν τις ἄλλος ἀντ' ἐμοῦ ἔμαρψεν αὐτὰ, τὰ ὅπλα δηλονότι.

442. Εἰ ζῶν Ἀχιλλεὺς] χάριεν τὸ διανόημα. Ἐπεξιὼν δὲ τὰς ἑαυτοῦ συμφορὰς, καταλέγει πρῶτον τὰ κατὰ τὴν ἀδικίαν τῆς κρίσεως· τοῦτο γάρ ἐςι τὸ πρῶτον αὐτὸν λελυπηκός. Εἰπὼν δὲ τὰ ἴδια κατορθώματα, διεξῆλθε καὶ ὡς συγγενικὴ αὐτῷ ἡ παρὰ τὸ χωρίον ἀνδραγαθία.

443. Κρίνειν ἔμελλε κάρτος] ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι τινὶ κράτος ἀριςείας. Ἤγουν, ἔμελλε κρίνειν τίς ὁ κρατῶν ἐςι διὰ τὰς αὐτοῦ ἀνδραγαθίας, οὐδεὶς ἄλλος κατέσχεν ἂν ταῦτα πρὸ ἐμοῦ ἐν ταῖς ἀριςείαις.

Ib. Κρίνειν ἔμελλεν] μὴ τοῖς ἄλλοις ἀκολουθῶν καὶ αὐτός, τὸ κρίνειν ἀντὶ τοῦ μετὰ κρίσεως διδόναι λέγε, ἵνα συντάξῃς τὸ τινί. Ἀλλ' εἰδὼς ὡς, κρίνει πᾶσιν ὁ δεῖνα τὰ δίκαια, λέγομεν, τὸν αὐτὸν λογισμὸν ἔχε κἀνταῦθα.

445. Παντουργῷ] πάντα πράττοντι καὶ μηδὲν ὑποςελλομένῳ. Πανουργῷ καὶ ἀναιδεῖ.

446. Ἔπραξαν] εἴ τις τὸ ἔπραξαν ἀντὶ τοῦ ἔδωκαν λέγει, ἁμαρτάνει. Καὶ γὰρ ὃν τρόπον φαμὲν, ὅτι ὁ δεῖνα τοὺς νόθους καταβαλὼν ἄρχοντας, τὴν βασιλείαν τῷ δεινὸς παιδὶ πεποίηκε κατὰ νόμους εἰς ταύτην ἁρμόττοντι, οὕτως ἔχει καὶ τοῦτο. Ἀπώσαντες γὰρ οἱ Ἀτρεῖδαι τὸν Αἴαντα, Ὀδυσσεῖ τὰ ὅπλα ἐποίησαν. Τουτέςιν αὐτὸν κύριον εἶναι τούτων κατέςησαν.

Ib. Ἀνδρὸς τοῦδε] δεικτικῶς, ἀντὶ τοῦ ἐμοῦ.

Ib. Κράτη] νίκην.

447. Φρένες διάςροφοι] ἤγουν παράφοροι.

448. Γνώμης ἀπῆξαν τῆς ἐμῆς] οἷον, εἰ

μὴ

Δίκην κατ᾽ ἄλλου φωτὸς ὧδ᾽ ἐψήφισαν.
Νῦν δ᾽ ἡ Διὸς γοργῶπις ἀδάμαστος θεὰ
Ἤδη μ᾽ ἐπ᾽ αὐτοῖς χεῖρ᾽ ἐπευτύνοντ᾽ ἐμὴν,
Ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
Ὥστ᾽ ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.
Κεῖνοι δ᾽ ἐπεγγελῶσιν ἐκπεφευγότες,
Ἐμοῦ μὲν οὐχ ἑκόντος. "Εἰ δέ τις θεῶν
"Βλάπτοι, φύγοι γ᾽ ἂν χ᾽ ὡ κακὸς τὸν κρείσσονα."
Καὶ νῦν τί χρὴ δρᾷν, ὅστις ἐμφανῶς θεοῖς
Ἐχθαίρομαι; μισεῖ δέ μ᾽ Ἑλλήνων στρατός·
Ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε.
Πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
Μόνους τ᾽ Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
Καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ᾽ εἰσιδεῖν

μὴ διὰ ἔκστασιν τοῦ δέοντος ἐξέπεσον αἱ διάνοιαί μου, οὐκ ἄν ποτε ἄλλου οὕτως ἀδίκως κατεψηφίσαντο. Ὡς καὶ παρ᾽ Ὁμήρῳ·
"Ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο."
Ἀπῆξαν δὲ ἀντὶ τοῦ ἀπήγαγον. Ἀπεῖρξαν δὲ, ἀντὶ τοῦ ἐκώλυσαν.

449. Ἐψήφισαν] ἐψηφίσαντο. Ψηφίζω γὰρ τὸ λογαριάζω· ψηφίζομαι δὲ τὸ ψήφους τίθημι.

450. Γοργῶπις] καταπληκτικὴ, ἢ τὴν τῆς Γοργοῦς κεφαλὴν, δίκην ὀφθαλμοῦ ἐν τῇ ἀσπίδι ἔχουσα.

Ib. Ἀδάμαστος θεὰ] παρθένος, ἄζυγος.

452. Ἔσφηλεν] σφαλῆναι ἐποίησεν.

455. Ἐμοῦ μὲν οὐχ ἑκόντος] γράφεται οὐκ ἔχοντος. Τὸ ἔγκλημα τῆς φυγῆς αὐτῶν. Πάνυ δὲ γενναίως ἐμμένει τῷ λήματι· τὸ γὰρ ἐφ᾽ ἑαυτῷ ἀνῃρηκέναι φησὶ τοὺς Ἕλληνας, καὶ ἡττῆσθαι οὐχ ὑπ᾽ ἐκείνων, ἀλλὰ διὰ τὴν ἐπήρειαν τῆς θεοῦ.

456. Φύγοι γ᾽ ἂν] φεύγει τις διωκόμενος ὑπό τινος· φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος· καὶ φεύγει κατηγορούμενος· ἐξέφυγε δὲ, ἀντὶ τοῦ ἐξελύσατο ἑαυτόν· διαφεύγει δέ τι ὅταν παραδράμῃ διωκόμενον, ἢ ὅταν παροραθῇ λαθόν, ἢ ὅταν κρατηθὲν διολισθήσῃ.

457, 458. Θεοῖς—ἐχθαίρομαι] διὰ τὸ πεπλανῆσθαι ὑπὸ τῆς θεοῦ. Ἀπὸ τοῦ ἔχθω τὸ μισῶ, ἔχθος τὸ μῖσος, καὶ ἐχθαίρω, τὸ μισῶ, καὶ ἐχθαίρομαι, τὸ μισοῦμαι.

460. Ναυλόχους ἕδρας] τὸν ναύσταθμον ἔνθα αἱ νῆες ἵστανται κατὰ λόχον· τουτέστι κατὰ τάξιν.

461. Μόνους τ᾽ Ἀτρείδας] τὸ μόνους μὴ οὕτω νόει ὡς ἀπελθόντος αὐτοῦ μόνοι οἱ Ἀτρεῖδαι καταληφθήσεσθαι ἔμελλον (ἀνόητον γὰρ, τοῦ ἄλλου παρόντος αὐτοῖς στρατοπέδου) ἀλλὰ τοῦτο λέγει, ὡς μόνους αὐτοὺς καταλείψει μὴ τοῦτον ἔχοντας.

Ib. Περῶ] ἀντὶ τοῦ περάσω.

462. Καὶ ποῖον ὄμμα] αἰσχύνεται ἄνευ ἀριστείων φανῆναι τῷ πατρὶ, καὶ φυγὰς ἀκούειν. Δαιμονίως δὲ ἀνθυπάγει αὐτῷ καὶ τὰ τῆς ἀπαλλαγῆς· καὶ τοῦτο ἀναλύει, ἵνα μὴ λυθῇ ἡ ὑπόθεσις.

464. Γυμνὸν

Γυμνὸν φανέντα τῶν ἀριςείων ἄτερ,
Ὧν αὐτὸς ἔσχε ςέφανον εὐκλείας μέγαν;
Οὐκ ἔςι τοὔργον τλητόν· ἀλλὰ δῆτ᾽ ἰὼν
Πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
Καὶ δρῶν τὶ χρηςὸν, εἶτα λοίσθιον θάνω;
Ἀλλ᾽ ὧδέ γ᾽ Ἀτρείδας ἂν εὐφράνοιμί που.
Οὐκ ἔςι ταῦτα· πεῖρά τις ζητητέα
Τοιάδ᾽, ἀφ᾽ ἧς γέροντι δηλώσω πατρὶ,
Μήτοι φύσιν γ᾽ ἄσπλαγχνος ἐκ κείνου γεγώς·
“ Αἰσχρὸν γὰρ ἄνδρα τοὺς μακροῦ χρήζειν βίου,
“ Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
“ Τί γὰρ παρ᾽ ἦμαρ ἡμέρα τέρπειν ἔχει,
“ Προςθεῖσα, κἀναθεῖσα τοῦ γε κατθανεῖν;
“ Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,

464. Γυμνὸν φανέντα] ἀντὶ τοῦ ἔρημον. Μεγαλοφυῶς δὲ οἴεται ἑαυτὸν τὸ πᾶν εἶναι. Τὸ δὲ γυμνὸν καὶ τὸ ἄτερ, ἐκ παραλλήλου, ἀντὶ τοῦ μεμονωμένον καὶ κεχωρισμένον τῆς ἀριςείας, ἤγουν τῶν ἕνεκα ἀριςείας γερῶν.

465. Ὧν αὐτὸς] μὴ λάβῃς εἰς τὸ ὧν ἔξωθεν τὸ ἀπὸ, ἀλλ᾽ οὕτω λέγε, τῶν ἀριςείων ςέφανον μέγαν ἔσχεν αὐτὸς εὐκλείας καὶ δόξης. Ἔςι δὲ τὸ εὐκλείας πρὸς τὸ ςέφανον συναγόμενον. Οὐ γάρ ἕτερός ἐςιν ὁ τῶν ἀριςείων ςέφανος ἀλλ᾽ ἢ εὐκλείας ςέφανος.

467. Πρὸς ἔρυμα] πρὸς τὸ τεῖχος, ἢ πολίχνιον. Ἔρυμα γὰρ, καὶ φρούριον, καὶ πολίχνιον, ταυτόν.

Ib. Πρὸς ἔρυμα Τρώων] μέρος ἦν τι τοῦ τῆς Τροίας τείχους σαθρὸν, ὃ φοβούμενοι Τρῶες μὴ πορθηθεῖεν ἐκεῖθεν, ἄνδρας πρὸς τοῦτο συνεχεῖς κατέςησαν φυλακῆς ἕνεκα, ὃς νῦν καλεῖ ἔρυμα.

Ib. Ξυμπεσὼν] συμπεσεῖν τὸ συνελθεῖν εἰς μάχην· προσπεσεῖν, τὸ ἐξαίφνης μὴ εἰδότα τινὰ ἀποκτεῖναι.

469. Ἀλλ᾽ ὧδέ γ᾽ Ἀτρείδας] ἀλλ᾽ ἐφησθήσονται οἱ Ἀτρεῖδαι ἐάν τι γενναῖον δράσας πρὸς τοὺς Τρῶας ἀποθάνω, ἀγνοοῦντες ὅτι ἑκουσίως γέγονέ μοι ὁ θάνατος. Καλῶς δ᾽ οὐκ ἐπήνεγκε τὴν ἀληθῆ δόξαν, ἕως ἂν δράσῃ ἅπερ αὐτὸς ὑπονοεῖ.

470. Οὐκ ἔςι ταῦτα] οὐδέν εἰσι ταῦτα, ἤγουν οὐδὲ τὸ μὴ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα, οὔτε μὴ εἰς μάχην συνελθεῖν, εἶτα τελευταῖον ἀποθανεῖν.

471. Οὐκ ἔςι ταῦτα] ἤγουν οὔτε τὸ τὰς ἕδρας τὰς ναυλόχους λιπεῖν, καὶ ἀπιέναι πρὸς τὸν πατέρα· οὔτε μὴν τὸ εἰς μάχην συνελθεῖν εἶτα τελευταῖον ἀποθανεῖν.

472. Μήτοι φύσιν γ᾽ ἄσπλαγχνος] τουτέςιν ἀσθενῆ, καὶ ἀλλοίαν παρὰ τὴν τοῦ πατρός. Ἄσπλαγχνος δὲ, ἄτολμος, ταπεινὸς, δειλός· ψυχρὸς· σπλαγχνὶς γὰρ, ἡ καρδία. Ἀφ᾽ οὗ καὶ εὔσπλαγχνος ὁ εὐκάρδιος καὶ ἀνδρεῖος· ἄσπλαγχνος δὲ, ὁ ἀκάρδιος καὶ δειλός.

473. Τοῦ μακροῦ χρήζειν βίου] τῆς ἐπὶ πολὺ ἐκτεινομένης ζωῆς. Αἰσχροῦ δὲ εἴδη δ᾽, ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον.

474. Αἰσχρὸν γὰρ] γνωμίκον.

Ib. Ἐξαλλάσσεται] ὅστις διαλλαγὴν οὐ δέχεται, ἀεὶ ἐν κακοῖς ἐξετάζεται.

475. Τί γὰρ παρ᾽ ἦμαρ] τί γὰρ ἡμέρα μία

ἔχει

" "Ος τις κεναῖσιν ἐλπίσιν θερμαίνεται·
" Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
" Τὸν εὐγενῆ χρή. Πάντ' ἀκήκοας λόγον."
ΧΟΡ. Οὐδεὶς ἐρεῖ ποθ', ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
Παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
Γνώμης κρατῆσαι, τάςδε φροντίδας μεθείς.
ΤΕΚ. Ὦ δέσποτ' Αἴας, " τῆς ἀναγκαίας τύχης
" Οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν."
Ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
Εἴπερ τινος, σθένοντος ἐν πλούτῳ Φρυγῶν·
Νῦν δ' εἰμὶ δούλη· θεοῖς γὰρ ὧδ' ἔδοξέ που,

ἔχει (προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν) τέρπειν τὸν ἄνθρωπον;

478. Θερμαίνεται] χλιαίνεται, θάλπεται· τὸ γὰρ τοιοῦτον ἐξαπατᾷν ἐστιν ἑαυτὸν, ἐν ψευδολογίᾳ διάγοντα. Ἄλλως· Θερμαίνεται, ἤγουν θαῤῥεῖ, καθ' ὃ λέγεται θάλπον παρ' Ὁμήρῳ τὸ θάρσος, κατ' ἐναντιότητα τοῦ δέους, ὃ ψυχρὸν αὐτὸς λέγει, ψυχρὸν δέος εἷλεν.

479. Ἀλλ' ἢ καλῶς ζῆν] φιλοσοφος τὸ καλὸν ἐν ἀμφοτέροις.

480. Τὸν εὐγενῆ] τὸν μεγαλοπρεπῆ καὶ γενναῖον· εὐγενεῖς γὰρ, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. Καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς, καὶ γενναιος· καὶ εὐγενὲς ἦθος, τὸ ἀστεῖον, καὶ πεπαιδευμένον, καὶ ὄγκον ἔχων· καὶ εὐγενὴς ψυχη καὶ εὐγενὴς λογος.

481. Οὐδεὶς ἐρεῖ] παραμυθία τῶν φίλων Αἴαντος καὶ τῆς αὐτοῦ γυναικός.

Ib. Ὡς ὑπόβλητον λόγον] γνήσια τῆς διανοίας τὰ εἰρημένα, καὶ οὐχ ὑπόβλητα οἰκεια οὖν σαυτῷ εἶπας· ὅμως γε μὲν παῦσαι, τὸ παν ἀναθεὶς ἡμῖν.

Ib. Ὑπόβλητον λόγον] ὑπόβλητα καλεῖται τὰ νόθα τῶν παιδων, διὰ το ὑπ' αὐτὰς τιθέναι τὰς πλείστας των γυναικῶν ἑτέρων τέκνα μητέρων, ὥς τε καταπεῖσαι τοὺς ἑαυτων ἄνδρας, γνήσια ἑαυτῶν εἶναι τὰ ὑπ' αὐτὰς κλαυθμυρίζοντα βρέφη.

485. Ὦ δέσποτ' Αἴας] Τέκμησσης ὁ λόγος· οὐ γὰρ δεῖ τὸν χορὸν μηκύνειν τὸν λόγον. μικτὸς δὲ ὁ λόγος· τὸ μὲν γὰρ αὐτοῦ, γενναῖον καὶ ἐλευθέριον διὰ τὴν παῤῥησίαν τῆς φύσεως (δούλη γὰρ ἐπάναγκες γέγονε) τὸ δὲ, συναρμόζον τοῖς καιροῖς. Διόλου τὴν φιλοστοργίαν ἐμφαῖνον· καὶ ὅταν τὰ ἑαυτῆς καταβάλῃ, τεχνικῶς ἐπιχειρεῖ, μελθακώτερόν πως καθιστᾶσα τὸν Αἴαντα. Δεῖ οὖν αὐτῆς εἶναι τοὺς λόγους, ὅτι διὰ τὴν ἐλευθερίαν παῤῥησιάζεται.

Ib. Ὦ δέσποτ' Αἴας] ταῦτα ἐκ τῶν Ὁμήρου μεμίμηται, ὅτε Ἀνδρομάχη πρὸς τὸν ἴδιον ἄνδρα Ἕκτορα εἰς πόλεμον ἐξερχόμενον δεινοπαθοῦσα ἐπεχείρει κάμπτειν εἰς ἔλεον, καὶ τῆς ὁρμῆς ἐπισχεῖν.

Ib. Τῆς ἀναγκαίας τύχης] τῆς δυστυχίας. Τεχνικῶς ὁ λόγος ἐκ προοιμίου, καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπάσασθαι διπλῶς δέ φησιν τὸ ἀναγκαῖον, ποτὲ μὲν, ἐπὶ τῶν κατὰ φύσιν ἀκολουθίαν τινὰ ἐχόντων· (ὡς ἂν εἴποιμεν ἀναγκαίως τὸ πῦρ θερμὸν, καὶ τὸ γάλα λευκὸν) ποτὲ δὲ ὡς ἐπὶ τοῦ ἐξ ἀνάγκης γιγνομένου, ὡς καὶ νῦν ἀναγκαίας τύχης τοῦ βίου φησί.

488. Σθένοντος ἐν πλούτῳ, εἴπερ τινός τῶν Φρυγῶν] ἀντὶ τοῦ, ὡς οὐκ ἄλλου τινός.

489. Θεοῖς γὰρ] συνίζησις. Τὸ δὲ που περιαγόν.

490. Καὶ

Καὶ σῇ μάλιςα χειρί. Τοιγαρῦν, ἐπεὶ
Τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σὰ,
Καί σ' ἀντιάζω πρός τ' Ἐφεςίȣ Διὸς,
Εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοὶ,
Μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
Τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἀφείς τινί.
Ἢν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς,
Ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
Βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
Ξὺν παιδὶ τῷ σῷ δȣλίαν * ἕξειν τροφήν.

* Ald. δȣ́λιον.

490. Καὶ σῇ μάλιςα χειρὶ] τῇ αἰχμαλωτισάσῃ με.

491. Τὸ σὸν λέχος ξυνῆλθον] τὸ ξυνῆλθον ἀπορίαν τινὰ ἔχει, διὰ τὸ δοκεῖν πρὸς αἰτιατικὴν συντάσσεσθαι· τὸ δ' ȣ̓κ ἔςι τοιȣ̃τον, ἀλλ' ὥςπερ φαμὲν, συνῆλθον τὴν σὴν οἰκίαν, ἀντὶ τȣ̃ σὺν σοὶ τὸν οἶκον ᾤδευσα· ἔννοιαν γὰρ κοινωνίας ἡ σὺν παρίςησιν. Εἰ καὶ μὴ τὸ τὴν κοινωνίαν ποιοῦν δείκνυσι πρόσωπον· ȣ̔́τω δὴ κἀνταῦθα, συνῆλθον τὸ σὸν λέχος, ἤγȣν, μετὰ σοῦ τὴν σὴν κοίτην ἔβην, καὶ κοινωνόν με ταύτης πεποίησαι. Ἢ τὸ κατὰ πρὸς τὸ λέχος ἔξωθεν λάμβανε, ȣ̔́τω, συνῆλθόν σοι κατὰ τὸ σὸν λέχος, ἤγȣν, ἐν σοὶ κατέςην ȣ̓ δȣ́λη, ἀλλὰ γυνὴ εἶναί σοι. Τὸ δὲ τοιγαροῦν ἀντὶ τȣ̃ ἀληθῶς, τό σοι ἁρμόττον σπȣδάζω, καὶ κάλλιςα τῶν σῶν φροντίζω.

Ib. Εὖ φρονῶ τὰ σὰ] εὔνȣς σοι καθίςαμαι, εὖ νοῶ τοῖς σοῖς· φρονῶ αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐςί· τὸ δὲ εὐφρονῶ, δοτικῇ ἐνίοτε καὶ αἰτιατικῇ.

492. Καί σ' ἀντιάζω] ἀντὶ τȣ̃ παρακαλῶ, κάλλιςα δὲ ἀμφοτέροις τοῖς ὅρκοις ἐχρήσατο. Μέγιςον γὰρ δικαίωμα τὸ τῆς αὐτῆς ἑςίας ἐπιτυχεῖν, ὁπότε καὶ τῶν πολεμίων φειδόμεθα διὰ ταῦτα, καὶ τὸ σεμνὸν τῆς κοίτης χρήχρήσιμον, ὅπȣ γε καὶ τὸ σεμνότατον τῶν προσώπων περὶ δικαιωμάτων τῶν πρὸς ἄνδρα καὶ γυναῖκα διαλεγόμενον, αὐτὸ τȣ̃το ὄμνυσι, Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος. ὅρα δὲ ὅτι ἑκατέρωθεν θηλείαις ὁ τοιȣ̃τος λόγος πρόςκειται. Ἐπὶ δὲ τȣ̃ Ὀδυσσέως καὶ ἄλλο τι οἰκειότερον ὄνομα ἐξεῦρεν· Ἀσπάσιοι λέκτροιο παλαιȣ̃ θεσμὸν ἵκοντο, τὴν εὔνοιαν δηλῶν τῶν ȣ̔́τως συνιόντων ἐπιμονῇ παιδοποιΐας.

Ib. Ἐφεςίȣ Διὸς] ἀντὶ τȣ̃ συνοίκȣ· οἱ μὲν γὰρ συνοικοῦντες τὸν Ἐφέςιον Δία προτείνȣσιν· οἱ δὲ φίλοι, τὸν φίλιον, οἱ δὲ ἐν τῇ μιᾷ τάξει καταλεγόμενοι καὶ μιᾷ συμμορίᾳ, ἑταιρεῖον. Οἱ δὲ ξένοι ξένιον, οἱ δὲ ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον· οἱ δὲ δεόμενοι ἱκέσιον· οἱ δὲ ἀδελφοὶ, ὁμόγνιον.

493. Συνηλλάχθης] συναλλαγὰς ἔχεις. γάμῳ συνεζεύχθης, συνηρμόσθης· ὅθεν καὶ συνάλλαγμα.

495. Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν] ἡ ὑπὸ πρὸς τὸ χειρίαν· ὑποχειρίαν δȣ́ς τινι τῶν ἐχθρῶν σȣ. Εἰδυῖα δὲ ἀγριαίνοντα τὸν Αἴαντα πρὸς τὰς ἐπιτιμήσεις, διαῤῥήδην μὲν ȣ̓ φησι. Μὴ διάφθειρε σαυτόν. Στοχαζομένη δὲ τȣ̃ καιρȣ̃, ἔξωθεν περιέρχεται, τὰ ἐπακολȣθοῦντα λέγȣσα ὅτι ὑποχειρίαν με τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψεις.

496. Τελευτήσας] τὸν βίον δηλονότι. Τελευτῶ τὸ ἔργον, καὶ τελευτῶ ἀντὶ τȣ̃ ἀποθνήσκω, ἐφ' ᾧ συνυπακȣ́εται τὸν βίον, ἵν' ᾖ τελευτῶ τὸν βίον, ἤγουν τελευτῶ καὶ καταςρέφω τὸ αὐτό. Ἔςι δὲ τὸ τελευτῶ καὶ τὸ καταςρέφω, ἔςι δὲ καὶ τὸ μεταλλάττω τὰ αὐτά· Δηλοῖ γὰρ τὸ ἀποθνήσκειν.

497. Ταύτῃ] ἀντὶ τȣ̃ ȣ̔́τως, κατὰ τȣ̃τον τὸν τρόπον.

499. Δȣ́λιον ἕξειν τροφὴν] ȣ̓ ψιλὸν τὸ τῆς

δȣλείας

Καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ,
Λόγοις ἰάπτων, Ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
Οἵας λατρείας, ἀνθ᾽ ὅσου ζήλου τρέφει.
Τοιαῦτ᾽ ἐρεῖ τις· κἀμὲ μὲν δαίμων ἐλᾷ,
Σοὶ δ᾽ αἰσχρὰ τἄπη ταῦτα, καὶ τῷ σῷ γένει.
Ἀλλ᾽ αἴδεσαι μὲν πατέρα τὸν σὸν, ἐν λυγρῷ
Γήρᾳ προλείπων· αἴδεσαι δὲ μητέρα
Πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
Θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
Οἴκτειρε δ᾽, ὦ ᾽ναξ, παῖδα τὸν σὸν, εἰ νέας
Τροφῆς στερηθεὶς, σοῦ διοίσεται μόνος
Ὑπ᾽ ὀρφανιστῶν, μὴ φίλων. Ὅσον κακὸν

δουλείας εἶπεν, ἀλλὰ καὶ ὅσα ἔνεστιν εἰπεῖν τινὰ ἰδόντα αὐτὸν ἐν δουλείᾳ. Καὶ ἡ τοιαύτη δὲ διδασκαλία, Ὁμήρου·

« Μὴ παῖδ᾽ ὀρφανικὸν θείης, χήρην τε γυ-
« ναῖκα. »

Ἀποστρέψαι δὲ βούλεται αὐτὸν διὰ τῶν τοιούτων λόγων.

Ib. Δουλίαν] τὸ δουλίαν διὰ τὸν τοῦ μέτρου κανόνα ἰωτογραφεῖται, καὶ ἔστιν Ἰωνικῆς διαλέκτου, ὡς καὶ τὸ προμηθίαν, καὶ ἀληθίαν, καὶ τὰ τοιαῦτα· οἱ δὲ διὰ διφθόγγου αὐτὸ γράφοντες, καὶ ἔτι οἱ δούλειον λέγοντες, οὐ καλῶς γράφουσιν.

501. Λόγοις ἰάπτων] γράφεται ἀτίζων, ὑβρίζων, παρὰ τὸ Ὁμηρικόν·

« Ἕκτορος ἥδε γυνή. »

503. Τρέφει] αὔξει· ἔχει.

504. Δαίμων ἐλᾷ] δαίμων νῦν, ἡ δουλεία. Ἢ ἡ δυστυχία· ἐλᾷ δὲ ἀντὶ τοῦ ἐλάσει, εἰς ταῦτα δηλονότι.

505. Σοὶ δ᾽ αἰσχρὰ τἄπη] καὶ διὰ τὴν εὐγένειαν καὶ διὰ τὴν ἀνδρίαν· διὰ μὲν τοῦ σοὶ, τὴν ἀνδρίαν· διὰ τοῦ τῷ σῷ γένει. Τὴν εὐγένειαν, τοὺς προγόνους. Θαυμαστῶς δὲ ἡ προσθήκη τοῦ γένους. Αἶσχος γὰρ προστρέψη καὶ τῷ υἱῷ, ἐπὶ τοιούτοις αὐτὸν καταλείπων.

506. Ἀλλ᾽ αἴδεσαι μὲν] καλῶς ἐπὶ τοῦ πατρὸς, ἐν γήρᾳ μακρῷ· ἐπὶ δὲ τῆς μητρὸς, πολλῶν ἐτῶν κληροῦχον. Ὁ γὰρ ἐπ᾽ ἀμφοτέρων ἑνὶ χρησάμενος ὀνόματι, ἐπιτεμνόμενός ἐστι τὸν λόγον. Τὸ δὲ ἐγχρονίζειν ταῖς διηγήσεσιν, ἀνυστικώτερον. Θαυμαστῶς δὲ, ἐπὶ μὲν ἑαυτῆς οὐδαμοῦ τοῖς τοιούτοις ὀνόμασι χρῆται, οὔτε αἰδέσθητι, οὔτε οἴκτειρε, ἐπὶ δὲ τῶν γονέων καὶ τοῦ παιδός.

508. Κληροῦχον] μέτοχον. Κεκληρωμένην. Κλῆρον ἐσχηκυῖαν. Κληρούχους καὶ τοὺς γεωργοὺς φησὶν Ἡρόδοτος, κληροῦχοι καὶ οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστῳ διανέμοντες.

Ib. Ἥ σε πολλάκις] τοῦτο οἰκείως ἐκ τῆς φύσεως στοχαζομένη παρέλαβεν.

510. Εἰ νέας] εἰ τῆς νέας τροφῆς σοῦ χωρὶς διάξει καὶ βιώσεται. Τροφῆς δὲ, ἀντὶ τῆς ἀνατροφῆς. Λέγει δὲ ἀνατροφὴν ἣν ἀνατρέφουσιν αὐτὸν ἄλλοι.

512. Ὑπ᾽ ὀρφανιστῶν] ὀρφανισταί εἰσιν οἱ τοὺς ὀρφανοὺς τρέφοντες. Ἕλληνας οὖν φησὶν

Κείνῳ τε κἀμοὶ τᾶθ', ὅταν θάνῃς, νεμεῖς;
Ἐμοὶ γὰρ ἐκέτ' ἐςὶν εἰς ὅ,τι βλέπω,
Πλὴν σᾶ. Σὺ γάρ μᾶ* πατρίδ' ἠΐςωσας δορὶ,
Καὶ μητέρ', ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με
Καθεῖλεν ᾅδα θανασίμας οἰκήτορας.
Τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντί σα πατρίς;
Τίς πλᾶτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι·
Ἀλλ' ἴσχε κἀμᾶ μνῆςιν· "ἀνδρί τοι χρεὼν
"Μνήμην προσεῖναι, τερπνὸν εἴ τί πα πάθοι·
"Χάρις χάριν γάρ ἐςιν ἡ τίκτασ' ἀεί."
Ὅτα δ' ἀπορρεῖ μνῆςις εὖ πεπονθότος,
Οὐκ ἂν γένοιτό ποθ' ὗτος εὐγενὴς ἀνήρ.

* ALDUS, γάρ μοι.

ἐ πίλας ὀρφανιςὰς, καθὸ δυςμενεῖς. Ἢ, ὀρφανςαὶ, ἀρχὴ Ἀθήνησιν τὰ τῶν ὀρφανῶν κρίνασα. Ἢ, ὀρφανιςῶν, τῶν τῆς ὀρφανίας ἐπιτρόπων· ὀρφανὸς δὲ ὁ ὅρον ἔχων τὸ ἐ φαίνεσθαι· ὁ ἄσημος καὶ μηκέτι ἐμφανής. ἀμέλει καὶ ὑπὸ τῶν ἀμφιθαλῶν ὡς ἐμφανῶν ἐλαύνεται· χηρωςαὶ δὲ οἱ τῶν χηρῶν ἐπίτροποι.

513. Ὀρφανιςῶν] ἤγαν κακῶν ὧς ἀδεὶς ἂν φιλήσῃ, καὶ μάλιςα ὁ ἐπιτροπευόμενος, ως μὴ προσηκόντως ἐπιμελομένας.

514. Ἐμοὶ γὰρ ἐκ ἔτι] καὶ τᾶτο Ὁμηρικὸν,

"Οὐδέμοι ἐςὶ πατὴρ καὶ πότνια μήτηρ."
—Εἰ τὰ ἑξῆς,
"Ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια
"μήτηρ."

515. Ἠΐςωσας] ἠφάνισας. Ἀνιςῶ, τὸ πεπτωκὸς ἐγείρω· αἰςόω, δὲ αἰςῶ, τὸ ἀφανίζω, ἀπὸ τᾶ ςερητικᾶ α, καὶ τᾶ ἴσημι, ποιητικῶς τὸ γινώσκω. Ἄϊςος, ἀφανὴς γεγονὼς καὶ ἐκπεπτωκὼς τῆς μνήμης, καὶ ἀπὸ τᾶτο αἰςόω, αἰςῶ, ῥῆμα.

516. Ἀλλ' ἡ μοῖρα] ὡς τάτα ἰδίῳ θανάτῳ τετελευτηκότος· τὸ δὲ ἄλλα, ἀντὶ τᾶ δέ.

517. Θανασίμας] ἀντὶ τᾶ νεκρὰς, ἢ ποιητικῶς θανάτα.

519. Ἔγωγε σώζομαι] ὥσπερ ἐὰν ἐσωζόμην ἐν πᾶσι, σώζομαι ἐν σοί. σώζεται δὲ τις ἔν τινι, ὅταν ἐν αὐτῷ ἡ σωτηρία αὐτᾶ ᾖ, ὡς σωζομένα αὐτὸν σώζεσθαι, ἀπολωλότος, δὲ συναπόλλυσθαι.

520. Ἀλλ' ἴσχε κἀμᾶ] καλῶς τὸ κἀμᾶ οἷον, μετὰ τὸν πατέρα καὶ τὸν υἱὸν, κἀμὲ ἔν τινι μοίρᾳ κατάθα· αἰσθάνεται γὰρ τῆς τύχης ἐν ᾗ νῦν ἐςιν· αἰδημόνως δὲ αὐτὸν ὑπομιμνήσκει τὰ τῆς εὐνῆς· διὰ τᾶτο γὰρ μάλιςα δοκεῖ αὐτὸν πείσειν. Ὁ δέ γε Εὐριπίδης μαςρωπικώτατα εἰσάγει την Ἑκάβην λέγασαν,

"Πᾶ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις ἄναξ,
"Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασματῶν
"Χάριν τιν' ἕξει παῖς ἐμὴ κείνης δ' ἐγώ;"

521. Τερπνὸν] τὸ τέρψιν ποιοῦν· χαροποιὸν δὲ τὸ χαρὰν ἔχον, οἷον χαροποιὸν ὄμμα.

522. Χάρις χάριν γάρ ἐςιν] ἡ φύσα γὰρ τὴν χάριν χάρις, ἐςὶ προυπάρξασα.

523. Ὅτα δ' ἀπορρεῖ μνῆςις] ἡ μνήμη τᾶ εὖ πεπονθέναι, ὗτοι ἐκ ἂν εἶεν εὐγενεῖς. Σχεδὸν δὲ διὰ τούτων τῶν ἰάμβων ἤρτηται τὸ περὶ εὐχαριςίας καὶ ἀχαριςίας.

525. Ἔχειν

ΧΟΡ. Αἴας, ἔχειν σ᾽ ἂν οἶκτον ὡς κἀγὼ φρενὶ,
Θέλοιμ᾽ ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ᾽ ἔπη.
ΑΙΑ. Καὶ κάρτ᾽ ἐπαίνȣ τεύξεται πρὸς γȣ̃ν ἐμȣ̃,
Ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
ΤΕΚ. Ἀλλ᾽, ὦ φίλ᾽ Αἴας, πάντ᾽ ἔγωγε πείσομαι.
ΑΙΑ. Κόμιζε νῦν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.
ΤΕΚ. Καὶ μὴν φόβοισί γ᾽ αὐτὸν ἐξελυσάμην.
ΑΙΑ. Ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
ΤΕΚ. Μή σοι γέ πȣ δύστηνος ἀντήσας θάνοι.
ΑΙΑ. Πρέπον γέ τ᾽ ἦν ἂν δαίμονος τȣ̃ ᾽μȣ̃ τόδε.
ΤΕΚ. Ἀλλ᾽ ȣ̃ν ἐγὼ φύλαξα τȣ̃τό γ᾽ ἀρκέσαι.
ΑΙΑ. Ἐπήνεσ᾽ ἔργον καὶ πρόνοιαν, ἣν ἔθȣ.
ΤΕΚ. Τί δῆτ᾽ ἂν ὡς ἐκ τῶνδ᾽ ἂν ὠφελοῖμί σε;
ΑΙΑ. Δός μοι προσειπεῖν αὐτὸν, ἐμφανῆ τ᾽ ἰδεῖν.
ΤΕΚ. Καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
ΑΙΑ. Τί δῆτα μέλλει μὴ ȣ̓ παρȣσίαν ἔχειν;

525. Ἔχειν σ᾽ ἂν οἶκτον] ἔλεον δυσωπητικὰ δὲ τὰ τοιαῦτα. Εἰ γὰρ ὁ ξένος ᾤκτειρε, πόσω μᾶλλον ὁ Αἴας.

Ib. Οὐκ ἂν] ἤγȣν ȣ̓κ ἂν εἰς τὸ ἑξῆς ȣ̃τος γενναῖος νομισθείη· ἔςι γὰρ τȣ̃το ἀγνώμονος.

526. Αἰνοίης γὰρ ἂν] ἤγȣν ἐπαινοίης ἄν, εἰ συμπαθῶς καὶ μετὰ τȣ̃ πράȣ οἷς λέγει προσενεχθείης, τȣ̃ σκληροῦ καὶ ἀνενδότȣ χαλάσας.

527. Καὶ κάρτ᾽ ἐπαίνȣ] ȣ̓χὶ καθ᾽ ἃ εἶπεν. Ἀλλ᾽, ἐὰν πείθηται κατὰ πάντα ἐμοί. Ὁ γὰρ Αἴας, ἐγνωκὼς ἑαυτὸν ἀποσφάττειν, ἐβȣ́λετο πρὸ τȣ̃ θανάτȣ τὸν παῖδα ἰδεῖν. Εἰκότως οὖν τȣ̃το πάλιν λέγει, ὅτι ἄριςόν ἐςι την γυναῖκα πειθαρχεῖν εἰς ἅπαντα τῷ ἀνδρί. Ἔοικε γὰρ ὑφορᾶσθαι ὅτι ὀκνηρῶς ἐκδώσει τὸ παιδίον.

531. Καὶ μὴν φόβοισί γ᾽ αὐτὸν] τȣ̃ φόβȣ χαριν, ῥύσασθαι θέλȣσα ἐξήγαγον. Οὐκ ἄντικρυς μὲν ἀντιλέγει, ἀναβολὰς δὲ πλάττεται, ὡς ὑποκεκινηκότι μὴ πιςεύȣσα. Λέγει δὲ, καὶ μὴν ἐξελυσάμην αὐτὸν, εἰς τȣ̃το δηλονότι ἵνα σὺ ὁρᾷς αὐτόν.

534. Πρέπον γέ τ᾽ ἦν ἂν] ἦν καὶ τȣ̃το τȣ̃ ἐμοῦ δαίμονος, τὸ ὑπ᾽ ἐμοῦ τὸν παῖδα ἀναιρεθῆναι. Ἀντὶ τȣ̃, ἔπρεπε τῇ παρȣ́σῃ μȣ τύχῃ καὶ τὸ αὐτόχειρά με τȣ̃ παιδὸς κατασκευάσαι.

535. Τȣ̃τό γ᾽ ἀρκέσαι] εἰς τȣ̃το ἀρκέσαι τῷ παιδὶ ὑπηρετῆσαι, καὶ ἀποσοβῆσαι τὸ θανεῖν.

536. Ἐπήνεσα] ἀντὶ τȣ̃ ἐπαινῶ.

537. Τί δῆτ᾽ ἂν] τί σε (φησὶν) ἐκ τῶν παρόντων ὠφέλησα; καὶ τί βȣ́λει σοι γενέσθαι; ὠφελοίην ἔδει εἰπεῖν· ποιητικῇ δὲ ἀδείᾳ ȣ̃τος ȣ̃τω χρῆται τοῖς εὐκτικοῖς.

Ib. Ἐκ τῶνδε] κατὰ τὰ μετὰ ταῦτα.

Ib. Ὠφελοῖμί σε] ὠφελοίην ἔδει εἰπεῖν· ποιητικῇ δὲ ἀδείᾳ ȣ̃τω χρῆται τοῖς εὐκτικοῖς.

538. Προσειπεῖν] προσφθέγξασθαι ἀσπάζεσθαι λόγοις.

539. Ἐμφανῆ τ᾽ ἰδεῖν] ἐμφανῶς δέον εἰπεῖν, πρὸς τὸ αὐτὸν ἤγαγεν.

540. Μὴ ȣ̓ παρουσίαν ἔχειν] ἤτοι παρεῖναι.

ΤΕΚ. Ὦ παῖ, πατὴρ καλεῖ σε· δεῦρο προσπόλων
Ἄγ' αὐτὸν, ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙΑ. Ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
ΤΕΚ. Καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
ΑΙΑ. Αἶρ' αὐτὸν, αἶρε δεῦρο· ταρβήσει γὰρ οὒ
Νεοσφαγῆ τοῦτόν γε προσλεύσσων φόνον,
Εἴπερ δικαίως ἔς' ἐμὸς τὰ πατρόθεν.
Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
Δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν.
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέςερος,
Τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
Καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
Ὁθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
" Ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιςος βίος.
" Τὸ μὴ φρονεῖν γὰρ, κάρτ' ἀνώδυνον κακὸν,

542. Εὐθύνων κυρεῖς] ἤγουν διδάσκεις, παιδεύεις, κυβερνᾷς. Δεῦρο ἄγε αὐτὸν ὅστις ἀπὸ τῶν προσπόλων κυβερνᾷς αὐτὸν ταῖς χερσίν.

543. Ἕρποντι φωνεῖς] ἐγγὺς ὄντι, ἢ ἀπολιμπανομένῳ τῆς κλήσεως, ἤγουν οὐκ ἀκούοντι.

545. Αἶρε δεῦρο] ἀντὶ τοῦ πρόσφερε· ὡς τὸ, " Μή μοι οἶνον ἄειρε."

546. Φόνον] τὰ πτώματα τῶν πεφονευμένων.

547. Εἴπερ δικαίως ἔς' ἐμὸς] εἴπερ ἐςιν ἐμοῦ, οὐκ εὐλαβηθήσεται τὸν φόνον τῶν ποιμνίων.

Ib. Τὰ πατρόθεν] ἤγουν τὰ ἐκ πατρὸς ἰδιώματα λέγω δὲ ἀνδρίαν καὶ φρόνησιν, καὶ τὸ γενναῖον ἐν συμφοραῖς· ἤγουν, εἴπερ οὐ μόνον κατὰ τὴν σπορὰν ἐμὸς ἐςὶν υἱὸς, ἀλλὰ καὶ κατὰ τὰ φυσικὰ πλεονεκτήματα ἐμοὶ ἔοικεν ἀληθῶς.

548. Ἀλλ' αὐτίκ' ὠμοῖς] νῦν τὸ ὠμοῖς ὡς κατὰ τῶν καρπῶν· ὅτε εἰσὶν ὠμοὶ, σκληρότεροί εἰσι καὶ ἰταμοί. Μεγαλοφρονῶν δὲ, νόμους τὴν φύσιν ὠνόμασε καὶ τὸ ἔθος τοῦ γεγεννηκότος.

549. Πωλοδαμνεῖν] ὡς πῶλον γυμνάζειν. Πωλοδαμνεῖν ἐπὶ τῶν ἀλόγων λέγεται κυρίως· ἐπὶ δὲ ἀνθρώπων, τὸ παιδαγωγεῖν καὶ παιδοτριβεῖν· ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης, ὁ λεγόμενος βαΐουλος.

550. Ὦ παῖ, γένοιο] μέτριος ὁ λόγος. Ἡ δὲ ὁμοία εὐχὴ καὶ παρ' Ὁμήρῳ,

" Ζεῦ ἄλλοι τε θεοὶ δότε δὴ καὶ τόν δε γενέσθαι
" Παῖδ' ἐμὸν ὡς καὶ ἐγώ."

551. Ὦ παῖ, γένοιο] παραίνεσις Αἴαντος πρὸς τὸν ἑαυτοῦ παῖδα, καὶ λόγοι συντακτήριοι πρὸ τῆς αὐτοῦ τελευτῆς.

552. Καίτοι σε καὶ νῦν] ἐπειδὴ κατεύχεται αὐτῷ εὐτυχίαν, φησὶν ὅτι, καὶ νῦν σε μακαρίζω ὅτι μικρὸς ὢν οὐκ αἰσθάνῃ τῶν ἐμῶν κακῶν.

Ib. Ζηλοῦν] μακαρίζειν.

554. Ἐν τῷ φρονεῖν γὰρ μηδὲν] ἐν τῷ μηδενὸς αἰσθάνεσθαι, μήτε λυπηροῦ, μήτε ἡδέος. Ἤτοι, ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν. Ἐπεὶ ἔςαι γελοιότατον δόγμα ὡς τιμῶντος τὴν ἀφροσύνην.

555. Ἐν τῷ φρονεῖν] γνωμικόν.

Ib. Τὸ

« Ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
Ὅταν δ᾽ ἵκῃ πρὸς τȣ̃το, δεῖ σ᾽ ὅπως πατρὸς
Δείξῃς ἐν ἐχθροῖς οἷος ἐξ οἵȣ τράφης.
Τέως δὲ κȣ́φοις πνεύμασιν βόσκȣ, νέαν
Ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
Οὔτοι σ᾽ Ἀχαιῶν οἶδα μήτις ὑβρίσῃ
Στυγναῖσι λώβαις, ȣ̓δὲ χωρὶς ὄντ᾽ ἐμȣ̃.
Τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
Λείψω, τροφῆς ἄοκνον ἔμπακ᾽· εἰ τανῦν
Τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
Ἀλλ᾽ ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,

Ib. Τὸ μὴ φρονεῖν γὰρ] δεῖ λαβεῖν τȣ̃το ὡς ἐπὶ παιδίȣ· ȣ̓ γὰρ καθόλȣ τὴν ἀφροσύνην προκρίνει· Ὁ δὲ νȣ̃ς, ἐν τῷ νηπίῳ κακὸν μὲν τὸ μὴ φρονεῖν, κακὸν δὲ ὅμως ἀνώδυνον. Καὶ Εὐριπίδης,

« Νέα γὰρ φροντὶς ȣ̓κ ἀλγεῖν φιλεῖ.»

Τάχιστα δὲ διὰ τῶν ἑξῆς ἐσήμανε τὸ συνεκτικὸν καὶ ὡσπερεὶ σύμβολον τῆς φρονήσεως· τὸ γὰρ διακριτικὸν τῶν χαρτῶν καὶ τῶν λυπηρῶν, συνετοῦ ἐστι.

556. Κάρτ᾽ ἀνώδυνον] κακὸν μὲν, διὰ τὸ δίκην ἀλόγȣ ζώȣ τὰ νήπια ζῆν, καὶ τὸ οἰκεῖον κακὸν ὡς ἥδιστον πολλάκις αἱρεῖσθαι, ξίφος λέγω καὶ πῦρ, καὶ κρημνὸν, καὶ τὰ τοιαῦτα· ἀνώδυνον δὲ, διὰ τὸ μηδενὸς δυσχερȣ̃ς ἐπαισθάνεσθαι, καὶ τῇ ἐντεῦθεν τήκεσθαι λύπῃ.

557. Δεῖ σ᾽ ὅπως] ἀντὶ τȣ̃, δεῖ σὲ ἐκδικῆσαι τὸν πατέρα. Τὸ ὅπως ἐπὶ παραγγελίας κείμενον, ȣ̓δέποτε κατὰ τȣ̀ς Ἀττικȣ̀ς ὑποτάσσεται.

558. Οἷος ἐξ οἵȣ τράφης] ȣ̓ πρὸς τὸ ἐξ οἵου λέγεται τὸ ἐτράφης, ἀλλὰ πρὸς τὸ οἷος ἐτράφης. Τὸ δὲ ἐξ οἵου, ἀντὶ τȣ̃ ἐξ οἵου πατρὸς, δηλονότι γεγονώς. Τὸ πᾶν, οἷος ἀνετράφης ἐξ οἵου πατρὸς ὤν.

559. Κȣ́φοις πνεύμασι] κούφῃ καὶ ἁπαλῇ ζωῇ. Τῇ μεταφορᾷ δὲ τῶν μικρῶν φυτῶν ἐχρήσατο, ἅτινα ȣ̓δὲν σφοδρὸν δύναται ὑποφέρειν, ȣ̓ καύσωνα, ȣ̓κ ἄνεμον.

560. Ψυχὴν ἀτάλλων] ζωὴν βρεφικῶς διαβιβάζων καὶ τρέφων· ἀτάλλειν γὰρ τὸ νηπιάζειν καὶ σκιρτᾷν.

561. Οὔτοι σ᾽ Ἀχαιῶν] ἤγουν, οἶδα ὅτι οὐ μὴ ὑβρίσῃ σέ τις τῶν Ἀχαιῶν.

562. Οὐδὲ χωρὶς ὄντ᾽ ἐμοῦ) διὰ τί (φησὶν) ἐνταῦθα τρανῶς ἐκφέρει τὴν ἑαυτοῦ γνώμην ὁ Αἴας, ὅτι δεῖ ἑαυτὸν ἐξάγειν τȣ̃ βίου; ῥητέον οὖν ὅτι ἐν ἤθει· οἷον εἰ γένοιτό τίς περὶ ἐμὲ συμφορὰ μὴ δείδιθι· ἕξεις γὰρ τὸν προνοοῦντα ἀντὶ ἐμοῦ· Ἢ ὅτι ἐκφέρει ταῦτα ὑπὸ τȣ̃ πάθους προαγόμενος.

563. Πυλωρὸν] ἀπὸ μεταφορᾶς τῶν φυλασσόντων τὰς πύλας, λέγει νῦν τὸν ἀποσοβοῦντα, καὶ μὴ ἐῶντα προσβάλλειν κακόν τι.

564. Τροφῆς ἄοκνον ἔμπακ᾽) ἀνατροφῆς πρόθυμον φροντιστήν.

Ib. Εἰ τανῦν τηλωπὸς οἰχνεῖ] καὶ εἰ ἔκδημος νῦν ἐστι. Τηλωπός· ἔκδημος· γράφεται καὶ τηλȣργός.

565. Δυσμενῶν θήραν ἔχων] φυλακὴν ἔχων τῶν ἐχθρῶν. Λέγοι δ᾽ ἂν τῶν Θρακῶν· περὶ γὰρ τὰ τελευταῖα τȣ̃ Τρωϊκοῦ πολέμȣ ἐσυμμάχουν τοῖς Τρωσὶν οἱ Θρᾶκες. Γνόντες δὲ τȣ̃το οἱ Ἕλληνες, φρουροὺς ἔταξαν προμηνύσοντας αὐτοῖς τὴν ἐκείνων ἔφοδον· ἵνα οὕτως ἐπελθόντων, κατὰ τὴν ὁδὸν συμβάλωσιν αὐτοῖς, πρὶν ἐλθεῖν εἰς Ἴλιον. Καὶ πρέσβεις δὲ ἀποστείλαντες, ȣ̓κ ἔπεισαν. Τὸ δὲ θήραν γράφεται καὶ φρουράν.

566. Ἀλλ᾽ ἄνδρες ἀσπιστῆρες] τὸ φροντίδα ποιεῖσθαι

Ὑμῖν τε κοινὴ * τήνδ' ἐπισκήπτω χάριν,
Κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολὴν, ὅπως
Τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,
Τελαμῶνι δείξῃ, μητρί τ', Ἐριβοίᾳ λέγω,
Ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεὶ,
Μέχρις ἂν μυχοὺς † κίχωσι τοῦ κάτω θεοῦ.
Καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
Θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός.
Ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων

* Aldus, κοινὴν. † Aldus, Μέχρις οὗ.

ποιεῖσθαι τοῦ οἰκείου παιδὸς τὸν χορὸν, καὶ ἀπελθόντα εἰς Σαλαμῖνα μετὰ τοῦ Τεύκρου παραδιδόναι Τελαμῶνι τὸν παῖδα, χάριν αὐτῷ λογίζεται Αἴας. Τὸ δὲ Ἐριβοίᾳ λέγω, εἶπεν, ἵν' ἐπειδὴ τοῦτο ἀόριστον ἦν, μή τινες πλανῶνται, ἀγνοοῦντες ὁποίαν λέγει, εἴτε Ἡσιόνην, εἴτε Ἐρίβοιαν. Ἀμφότεραι γὰρ ἔζων τότε, ἡ μὲν οὖσα Τεύκρου μήτηρ, ἣν Τελαμὼν παρ' Ἡρακλέους γέρας εἰλήφει, ὁπότε εἰς Τροίαν ἐστράτευσεν· Ἐρίβοια δὲ, Αἴαντος.

567. Ὑμῖν τε κοινὴν] προθυμοτέρους αὐτοὺς καθίστησι· κοινὴν γὰρ καὶ ἴσην φησὶ χάριν ὁμολογεῖν ἐκείνῳ τε τῆς ὑπουργίας, καὶ τούτοις τῆς ἐπαγγελίας περιπαθῶς δὲ εἰς ἔσχατον περιεστώσης τῆς ἐλπίδος, ἐμφρόνως τὰ σπουδαιότατα τοῖς ἑταίροις ἐπισκήπτει, οὐ τῇ γυναικί. Ἐπισκήπτω δὲ τήνδε τὴν ἐντολὴν, ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει, τήνδε τὴν χάριν, ἐπεὶ ὅπερ ἐντέλλεται, ὡς χάριν τοῦτο αἰτεῖ παρ' αὐτῶν.

571. Ὥς σφιν γένηται] πάνυ περιπαθῶς, τὸ ἐπὶ γονεῦσι καὶ παιδὶ διαθήκας ποιῆσαι. Θαυμαστῶς δὲ πρὸς ἅπαντας τοὺς λόγους τῆς Τεκμήσσης ἀντιθέσεις ἐποιήσατο, οὐκ ἄντικρυς τοῦτο ὑπισχνουμένου τοῦ ποιητοῦ τοῦ μὲν μὴ ὑβρισθῆναι τὸν παῖδα ὑπὸ τῶν Ἑλλήνων, τὴν ἀπὸ τοῦ Τεύκρου φυλακὴν προβαλλόμενος. Τοῦ δὲ μὴ γελασθήσεσθαι ὑπ' ἐκείνων, τὴν τοῦ παιδὸς ἀρετὴν, ὅν φησι καὶ ἐκδικήσειν αὐτὸν ἐν ἡλικίᾳ γενόμενον· πρὸς δὲ τὰ περὶ τῶν γονέων, ὅτι ἀντ' αὐτοῦ καταλείπεται ὁ Εὐρυσάκης. Τὸ δὲ γηροβοσκοῦ γράφεται καὶ μικρὸν, ἀπὸ τοῦ γῆρος (ἔστι γὰρ ἡ εὐθεῖα τὸ γῆρας) καὶ μέγα, ἀπὸ τῆς γενικῆς τοῦ γέρως.

572. Μέχρις οὗ μυχοὺς κίχωσι] περιφραστικῶς, ἤγουν, ἕως τελευτήσωσι.

273. Καὶ τἀμὰ τεύχη] πιθανῶς τὸν Αἴαντα ἐπὶ τὸν περὶ τῶν ὅπλων λόγον ἰέναι συνεχῶς. Ἅπτεται γὰρ αὐτοῦ μάλιστα. Ἀνθρώπινον δὲ καὶ μάλα φυσικὸν, τὸ συνεχέστερον μεμνῆσθαι περὶ ὧν ἐν νῷ ἔχομεν. Τεῦχος μὲν τὸ ἀγγεῖον. Τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα.

575. Ἀλλ' αὐτό μοι σύ παῖ] πέπεισται ὡς οὐδὲν ἀπολειψομένου τοῦ παιδὸς τῆς αὐτοῦ ἀρετῆς. Τὸ δὲ σάκος, διὰ τὸ ἐξαίρετον, τῷ παιδὶ φυλάσσειν κελεύει· τὰ δὲ ἄλλα τεύχη συνθάψαι φησίν. Ἐπίσταται γὰρ καὶ αὐτὰ περιμάχητα ἐσόμενα. Οἶδεν Ὅμηρος ὅπλα συγκαιόμενα·

“ Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδα-
“ λέοισι.”

Τὸ δὲ πᾶν, ἀλλὰ σὺ εὐρύσακες παῖ ἐμοὶ λαβὼν αὐτὸ τὸ σάκος τὸ ἑπτάβοιον, τὸ ἄῤῥηκτον, τὸ ἐπώνυμον σοὶ δηλονότι, ἔχε στρέφων διὰ τοῦ πολυῤῥάφου πόρπακος. Ἔστι δὲ πόρπαξ ὁ λῶρος διὰ οὗ κατέχουσι τὴν ἀσπίδα, ὃς λέγεται καὶ ὄχανον. Σάκος δὲ οὐδετέρως, ὅπλον, ἀσπίς. Σάκος δὲ ἀρσενικῶς, καὶ αὐτὸ δι' ἑνὸς κ', ὁ θύλακος· καρυκὸν δὲ, πλέγμα δεκτικὸν ἄρτων.

577. Ἀρ-

Πόρπακος ἑπτάβοιον ἄῤῥηκτον σάκος.
Τὰ δ᾽ ἄλλα τεύχη, κοίν᾽ ἐμοὶ τεθάψεται.
᾽Αλλ᾽ ὡς τάχος τὸν παῖδα τόνδ᾽ ἤδη δέχου,
Καὶ δῶμ᾽ ἀπάκτου· μηδ᾽ ἐπισκήνους γόους
Δάκρυε· " κάρτα τοι φιλοίκτιστον γυνή."
Πύκαζε θᾶσσον· " οὐ πρὸς ἰατροῦ σοφοῦ
" Θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι."

ΧΟΡ. Δέδοικ᾽ ἀκούων τήνδε τὴν προθυμίαν·
Οὐ γάρ μ᾽ ἀρέσκει γλῶσσά σου τεθηγμένη.

ΤΕΚ. Ὦ δέσποτ᾽ Αἴας, τί ποτε δρασείεις φρενί;

ΑΙΑ. Μὴ κρῖνε, μὴ ᾽ξέταζε· σωφρονεῖν καλόν.

ΤΕΚ. Οἴ μ᾽ ὡς ἀθυμῶ, καί σε πρὸς τοῦ σοῦ τέκνου
Καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.

ΑΙΑ. Ἄγαν γε λυπεῖς· οὐ κάτοισθ᾽ ἐγὼ θεοῖς

577. Ἄῤῥηκτον σάκος] στεῤῥὸν καὶ μὴ ῥηγνύμενον, ὑπερβολικῶς δὲ τοῦτο λέγει.

580. Καὶ δῶμ᾽ ἀπάκτου] κατὰ τῶν σκηνῶν ἄπαγε. Τὸ δὲ ἀπάκτω, ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦχθαι, ἀκτὸν ὄνομα· καὶ ἀπὸ τούτου, ἀπακτόω ἀπακτῶ ῥῆμα.

Ib. Ἐπισκήνους γόους] ἐπισκήνους λέγει, ἐπεὶ καὶ ἐπιτάφιοι εἰσι καὶ ἐξόδιοι· ἐπίσκηνοι δὲ θρῆνοι, οἱ ἐπὶ τῆς σκηνῆς.

582. Πύκαζε] ἀσφαλίζου.

Ib. Οὐ πρὸς ἰατροῦ σοφοῦ] οὐκ ἔστιν ἰατροῦ σοφοῦ.

583. Θροεῖν ἐπῳδὰς] ὃ λέγει, τοιοῦτόν ἐστιν, Οὐκ ἔστιν ἀγαθοῦ ἰατροῦ, ἐάν τις ἀνιάτως ἔχῃ χειρὸς, ἢ σκέλους, μὴ τομὴν ἐπισπεύδειν τούτου, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ λοιπὸν σῶμα συνυποσταίη φθοράν· ἀλλὰ παραμυθεῖσθαι λόγοις πειρᾶσθαι, ὡς προσδοκᾷν χρὴ τὴν ἴασιν. Ὥστε καὶ αὐτὴ μή με δακρύοις ἐπιχείρει μαλάσσειν, καὶ ὃν προὐθέμην σκοπὸν ἀποστερεῖν· λέγω δὴ, τὸ τεθνάναι· τοῦτο γὰρ ἐμοὶ νῦν οὕτως ἔχοντι κρεῖττον ἢ ζῇν.

Ib. Θροεῖν ἐπῳδάς] ἀντὶ τοῦ ἐπιφωνεῖν, ἐπᾴδειν, ἐπῳδαῖς χρῆσθαι.

Ib. Πρὸς τομῶντι] τομῆς δεομένῳ τομῶντι ὡς τὸ θανατῶντι, βασιλεῶντι· τὰ γὰρ τοιαῦτα, δευτέρας συζυγίας ὡς ἐπίπαν ἐστίν. Ἔστι δὲ γλυκύτατον λέγειν τὸ τραῦμα τομῆς ἐπιθυμεῖν, ὥσπερ εἰ αἴσθησιν εἶχεν.

Ib. Πήματι] γράφεται τραύματι.

585. Οὐ γάρ μ᾽ ἀρέσκει] οὐκ ἀρέσκουσιν ἐμοὶ οἱ λόγοι σου θρασεῖς ὄντες· τὸ ὄργανον γὰρ λέγει τῶν λόγων ἀντὶ τοῦ λόγου.

586. Δρασείεις] ἤγουν ἐπιθυμεῖς δρᾶσαι.

587. Μὴ κρῖνε] ἤγουν ἀνάκρινε.

Ib. Σωφρονεῖν] νῦν τὸ μὴ περιεργεῖν, ἐν τούτῳ γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, εἰ μὴ περιεργάζοιντο ὅ, τι πράττει ὁ ἀνήρ.

589. Καὶ θεῶν ἱκνοῦμαι] συνίζησις. Τὸ δὲ ἱκνοῦμαι, τὸ παρακαλῶ· ἀφικνοῦμαι δὲ, τὸ παραγίνομαι.

Ib. Προδοὺς] προδίδωμι, ἐπὶ προδοσίας, ἀφ᾽ οὗ προδότης· προδίδωμι τὸ καταλιμπάνω ὡς ἐνταῦθα.

590. Οὐ κάτοισθ᾽ ἐγὼ θεοῖς ὡς οὐδ᾽] οὐκ ἔτι (φησὶν) ἐν τούτῳ εἰμὶ ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῇν. Ὡς οὐκ ἔτι τοῖς θεοῖς ὀφείλω λέγειν ἐγὼ ἐπαρκεῖν ἀντὶ τοῦ οὐδὲν ἐπὶ τιμῇ πράττειν τῶν θεῶν· Πρὸς ὃ καὶ ἡ Τέκμησσα ἐπάγει, Εὔφημα φώνει.

591. Ὡς

Ὡς οὐδὲν ἀρκεῖν εἴμ᾽ ὀφειλέτης ἔτι;
ΤΕΚ. Εὔφημα φώνει.
ΑΙΑ. Τοῖς ἀκούουσιν λέγε.
ΤΕΚ. Σὺ δ᾽ οὐχὶ πείσῃ;
ΑΙΑ. Πόλλ᾽ ἄγαν ἤδη θροεῖς.
ΤΕΚ. Ταρβῶ γάρ, ὦ ᾽ναξ.
ΑΙΑ. Οὐ ξυνέρξεθ᾽ ὡς τάχος;
ΤΕΚ. Πρὸς θεῶν μαλάσσου.
ΑΙΑ. Μῶρά μοι δοκεῖς φρονεῖν,
Εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ κλεινὰ Σαλαμὶς, σὺ μέν που
Ναίεις ἁλίπλαγκτος, εὐδαίμων,

591. Ὡς οὐδὲν] ὃ λέγει, τοιοῦτόν ἐστιν, οὐκ εἰμὶ ὀφειλέτης ἀρκεῖν τοῖς θεοῖς, ἤγουν ἀρκετὸς καὶ ἀνελλιπὴς αὐτοῖς εἶναι, τοῦτ᾽ ἔστι τιμᾷν καὶ θεραπεύειν, ὡς δεῖ καὶ μηδὲν ἐλλείπειν τῶν δεόντων εἰς αὐτοὺς γίνεσθαι, ὡς τῆς ζωῆς ἀνθρώποις αἰτίους, καὶ πάντα τἄλλ᾽ ἀγαθὰ παρέχοντας. Ἢ τὸ θεοῖς πρὸς τὸ, εἰμὶ ὀφειλέτης, σύναπτε. Τὸ δὲ ἀρκεῖν ἀντὶ τοῦ διαρκεῖν καὶ εἰς τὸ ἑξῆς ζῇν, λέγε, οὕτως, οὐκ ὀφείλω τοῖς θεοῖς ζῇν εἰς τὸ ἑξῆς. Εἰ μὲν ἐφρόντιζον ἐμοῦ καὶ ἐπεμελοῦντο, ἀνάγκην ἂν εἶχον καὶ αὐτὸς ζῇν, ἐφ᾽ ᾧ τούτους τῆς φροντίδος ἀμείβεσθαι τιμαῖς καὶ θυσίαις· ἐπεὶ δὲ ἠμελήκασι, καὶ οὕτως ἀτιμασθῆναι παρεῖσαν, οὐδέν με τὸ ἀναγκάζον ἐστὶ τοῦ ζῇν ἔτι ποιεῖσθαι λόγον. Ἢ οὕτως ἐρεῖς, οὐ κάτοισθα καὶ οὐ γινώσκεις ὡς οὐδαμῶς εἰμὶ ὀφειλέτης τοῖς θεοῖς εἰς τὸ ἑξῆς ἀρκεῖν καὶ βοηθεῖν τινί. Ἤγουν, ἐπεὶ οἱ θεοὶ οὕτω με εἴασαν ἀτιμασθῆναι, οὐ χρεωστῶ διὰ τούτους ἔτι βοηθεῖν ἢ σοι, ἢ ἑτέρῳ. Τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἡ Τέκμησσα Πρὸς θεῶν ἱκνοῦμαι μὴ προδοὺς ἡμᾶς γένῃ, αὐτῷ εἰρήκει· ὅθεν καὶ βλασφημίαν ἡγησαμένη τὸν αὐτοῦ λόγον, Εὔφημα φώνει, λέγει.

593. Τοῖς ἀκούουσιν] τοῖς πειθομένοις.

597. Οὐ ξυνέρξεθ᾽] οὐ συγκλείσετε· κελεύει δὲ τοῖς θεράπουσιν αὐτὴν ἀποκλείειν.

598. Μαλάσσου] μεταβάλλου.

599. Μῶρά μοι δοκεῖς] εὐήθης εἶ, νῦν βουλομένη μεμαλάσσειν ἐξακμάσαντος τοῦ καιροῦ.

601. Ὦ κλεινὰ Σαλαμὶς] συγκέκλεισται ὁ Αἴας διαχρησόμενος ἑαυτὸν, ἐπειδὴ οἱ ἀπὸ τοῦ χοροῦ λόγον περιπαθῆ διεξιᾶσι. Πρὸς μὲν γὰρ αὐτὸν λέγειν οὐκ ἦν, εἰσελθόντα ἤδη· γέγονε δὲ αὐτοῖς ἀπολόφυρσις ἐπὶ τὰ οἰκεῖα. Καὶ ἔχει ἀκολουθίαν τὰ χορικά· ἀπεστερημένοι γὰρ τοῦ ἄρχοντος, καὶ ἄλλην ἀποστροφὴν οὐκ ἔχοντες, περὶ τῆς πατρίδος τὸν λόγον ποιοῦνται, ἐκτιθέμενοι ἐν οἷς εἰσὶ χαλεποῖς, καὶ ἐν οἷς ἔσονται οἱ γονεῖς αὐτοῦ πυθόμενοι ταῦτα.

Ib. Σὺ μέν που ναίεις] τὸ ποῦ ἀποδίδοται πρὸς τὸ εὐδαίμων, καὶ πρὸς τὸ ἑξῆς, οὐ πρὸς τὸ ἁλίπλαγκτος. Οὐ γὰρ ἐδεῖτο εἰκασμοῦ εἰ ἔστιν ἁλίπλαγκτος, ἀλλ᾽ εἰ ἔστιν εὐδαίμων. Τὸ δὲ ἁλίπλαγκτος πρὸς τὸ Σαλαμὶς σύναπτε. Τόγε μὴν ναίεις ἀντὶ τοῦ οἰκῇ ἐνταῦθα λέγε, ἢ ἀπὸ τοῦ οἰκοῦντος τὸ οἰκούμενον, ὥσπερ ἐστὶ καὶ τὸ ὄργανον ἀντὶ τοῦ ἔργου, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς τὸ Λαϊνέοισιν Ἀμφίονος ὀργάνοις, παρ᾽ Εὐριπίδῃ. Ἄλλως δ᾽ ὅτι καὶ ἡ τῶν ἐνοικούντων οἴκησις, αὐτοῦ ἐστὶν οἴκησις.

602. Ναίεις ἁλίπλαγκτος] ἐνεργήτικον ἀντὶ παθητικοῦ ναίῃ. Τὸ δὲ ἁλίπλαγκτος, ἤγουν ἐν θαλάσσῃ οὖσα, ἀτακτούσῃ περὶ σέ.

605. Παλαιὸς

Πᾶσιν* περίφαντος αἰεί†·
Ἐγὼ δ᾽ ὁ τλάμων,
Παλαιὸς ἀφ᾽ οὗ χρόνος
Ἰδαίᾳ μίμνω
Λειμωνίᾳ μήλων πόᾳ‡
Ἀνήριθμος, αἰὲν εὐνώμᾳ
Χρόνῳ τρυχόμενος,
Κακὰν ἐλπίδ᾽ ἔχων
Ἔτι με πότ᾽ ἀνύσειν
Τὸν ἀπότροπον
Ἀΐδηλον § ᾅδαν.

* Ald. Πᾶσι. † Ald. αἰεί. ‡ Ald. πόᾳ μήλων. § Ald. αἴδαν.

605. Παλαιὸς ἀφ᾽ οὗ χρόνος] ἐκ πολλοῦ χρόνου.

606. Ἰδαίᾳ] τῇ Τρωϊκῇ, οἷον ἐν τῷ τῆς Ἴδης χωρίῳ. Τοῖς χλωροῖς καὶ λειμῶνας ἔχουσι διάγων.

607. Λειμωνίᾳ πόᾳ] ὅμοιον τῷ, Τελαμώνιε παῖ· λειμωνία γὰρ ἡ ἐν λειμῶνι χλόη.

Ib. Μήλων] γενικὸν ὄνομα τοῦτο παρ᾽ Ὁμήρῳ· εἰπὼν γὰρ οὗτος μῆλα, ἐπάγει, ὄϊές τε καὶ αἶγες.

Ib. Μήλων πόᾳ] μήλων πόᾳ γράφε, καὶ μὴ ποίᾳ μήλων, διὰ τὸ μέτρον.

608. Εὐνώμᾳ] οἱ γράφοντες εὐνόμᾳ τὸ Νο μικρὸν, καὶ συνάπτοντες πρὸς τὸ ποίᾳ, οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· χρὴ οὖν πρὸς τὸ χρόνῳ συνάπτειν, καὶ μεγεθύνειν τὸ νω, ἵν᾽ εἴη, τῷ εὐνώμᾳ καὶ εὐκινήτῳ χρόνῳ· νωμῶ γὰρ τὸ κινῶ. Τό γε μὴν μήλων γενικὸν ὄνομα παρ᾽ Ὁμήρῳ ἐστίν. Εἰπὼν γὰρ οὗτος μῆλα, ἐπάγει ὄϊές τε καὶ αἶγες.

Ib. Ἀνήριθμος] ἐν οὐδενὶ ἀριθμῷ ταττόμενος, ἀλλὰ παρεῤῥιμμένος.

Ib. Εὐνόμᾳ] ἤτοι τῷ εὐνομουμένῳ καὶ δικαίῳ· ἢ εὐκινήτῳ· ἢ εὐνόμα λειμῶνι, τῷ καλὰς νομὰς ἔχοντι. Τὸ δὲ ἑξῆς, παλαιὸς ἀφ᾽ οὗ χρόνος αἰὲν εὐνόμᾳ χρόνῳ τρυχόμενος, Ἰδαίᾳ μίμνω λειμωνίᾳ πόᾳ μήλων, ἀνήριθμος, κακὴν ἐλπίδα ἔχων πῶς με δεῖ τὸν ᾅδην ἀνύσειν. Ἀντὶ τοῦ, οὐδὲν ἀγαθὸν προσδοκῶν, ἀλλὰ κακῶς τελευτήσειν ἐν τῷ πολέμῳ ἐλπίζων.

609. Χρόνῳ τρυχόμενος] ἤγουν, ὑπὸ τοῦ εὐκινήτου χρόνου δαμαζόμενος καὶ κακοπαθῶν.

610. Κακὰν ἐλπίδα] ἤγουν, φόβον ἔχων ἀνύσειν ἐμὲ ἔτι ποτὲ τὸν ᾅδην, τουτέστι λήψεσθαι σπεύδοντα εἰς τοῦτο.

611. Ἔτι με πότ᾽ ἀνύσειν,] τὸ ποτ᾽ ἀνύσειν, οὐκ ἔστι ποτὲ ἀνύσειν, εἰ διαλελυμένως εἴποις, ἀλλὰ ποτὲ ἀνύσειν· διὰ δὲ τὴν συναλοιφὴν μετετέθη ὁ τόνος οὕτω δὲ ἐρεῖς, ἔχων ἐλπίδα κακὴν ἀνύσαι καὶ διελθεῖν καὶ περάσειν ποτὲ ἐμὲ ἔτι καὶ εἰς τὸ ἑξῆς, τὸν ἀπότροπον καὶ μισητὸν πᾶσιν ἀΐδην, τὸν ἀΐδηλον καὶ ἀφανῆ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι, πολὺν χρόνον μίμνω ἐν τῇ Τροίᾳ ἀνήριθμος καὶ ἄτιμος, καὶ μὴ εἰς ἀριθμὸν ὢν, τρυχόμενος καὶ δαμαζόμενος τῷ τοσούτῳ χρόνῳ, ἐλπίδα ἔχων κακὴν ἀποθανεῖν ποτὲ καὶ διελθεῖν τὸν ᾅδην· οὐ γὰρ ἤλπιζον ὑποστρέφειν εἰς τὴν αὐτὴν χώραν· κακὴν δὲ τὴν ἐλπίδα εἶπε, διὰ τὸ τοῦ θανάτου ἐλπίδα εἶναι, καὶ οὐκ ἀγαθοῦ τινός.

Ib. Ἀνύσειν] ἀντὶ τοῦ ἐκπρᾶξαι. Λείπει δὲ τὸ δεῖ ἀνύω τὴν ὁδὸν ἀντὶ τοῦ τελειῶ. Καὶ, ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω· καθ᾽ ὃ λέγεται ἐνταῦθα.

612. Τὸν ἀπότροπον] τὸν ἀποτρόπαιον, ἤγουν τὸν ἀποστροφῆς καὶ ἀποτροπιασμοῦ ἄξιον.

## ΑΝΤΙΣΤΡΟΦΗ Α.

Καί μοι δυςθεράπευτος Αἴας
Ξύνεςιν ἔφεδρος, ὤ μοι*, μοι,
Θείᾳ μανίᾳ ξύναυλος,
Ὃν ἐξεπέμψω
Πρὶν εὖ ποτε † θουρίῳ
Νικῶντ' ‡ ἐιν ἄρει.
Νῦν δ' αὖ φρενός γ' οἰωβότας §
Φίλοις μέγα πένθος εὕρηται.
Τὰ πρὶν δ' ἔργα χεροῖν ||
Μεγίςας |||| ἀρετᾶς
Αφιλα παρ' ἀφίλοις
Ἔπεσ' ἔπεσεν
Μελέοις Ἀτρείδαις.

* ALDUS, Ιώ μοι, μοι. † ALD. Πρὶν δήποτε. ‡ ALD. Κρατῦντ'.
§ ALD. φρενὸς οἰοβότας. || ALD. χερσὶ. |||| ALD. Μέγις'.

Αἴδηλον δὲ αἴδην λέγει τὸ σκοτεινὸν, ἢ ὥςπερ ἂν τις εἴποι ἁλυκὸν ἅλα· ἀπὸ γὰρ τῦ αἴδης γίνεται τὸ αἴδηλον κατὰ παραγωγὴν, καθ' ὃν τρόπον ἁλυκὸν ἀπὸ τῦ ἁλός.

Ib. Καὶ μοί δυςθεράπευτος Αἴας] οἷον, πρὸς τοῖς πρώτοις κακοῖς, ὥςπερ δεύτερον ἐςί μοι κακὸν τὸ τῦ Αἴαντος συνεςηκός. Τῦτο γὰρ δηλοῖ τὸ Ἔφεδρος. Ἔφεδρος δέ ἐςιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν, ἀλλ' ὅταν δύο τινὲς παλαίωσι, παλαίσειν τῷ νικήσαντι παρεσκευασμένος. Ἐνταῦθα οὖν φησὶν, ὅτι ἔσχατος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν.

615. Ξύνεςιν ἔφεδρος] ἔφεδρος κυρίως. Ὁ παρεσκευασμένος, ὅταν δύο τινὲς παλαίωσιν, παλαίσειν τῷ νικήσαντι.

617. Ἐξεπέμψω] ἀντὶ τῦ ἔπεμψας ὧδε.

618. Πρὶν εὖ] πρὶν εὖ ποτὲ γράφε, καὶ νικῶντ' εἰν ἄρει· καὶ φρενός γ' οἰωβότας. Οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὰ τῆς ςροφῆς κῶλα. Εἰ δ' ἄλλως γράφεις, ὐκ ὀρθῶς ἔχει.

620. Οἰωβότας] μεμονωμένος, πεπλανημένος ἐκ μεταφορᾶς τῶν θρεμμάτων τῶν τῆς ἀγέλης κεχωρισμένων, καὶ καθ' ἑαυτὰ φερομένων.

Ib. Νῦν δ' αὖ φρενὸς οἰωβότας] αὐθαίρετος, ὡς ἂν εἴποι τις αὐτὸς, ἑαυτῦ διάνοιαν βόσκων, καὶ μηδενὶ πειθόμενος. Ἢ, μονωθεὶς ἐκ τῆς φρενός. Ἢ, μονότροπος, μεμονωμένος τῷ λογισμῷ. Ἢ, ποιμαίνων τὴν ἑαυτῦ διάνοιαν, καὶ μόναρχος ὢν τῷ λογισμῷ. Ἢ, οἷον διεσθίων αὐτῦ τὴν φρένα· παρὰ τὴν βόσιν. Ἢ, ὁ βαίνων ἐν ἐρημίᾳ, διὰ τὸ συγκεκλεικέναι ἑαυτὸν. Καὶ ὅμοιόν ἐςι τῷ, Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων· ἤ, φρενός οἰωβότας, ὐ σὺν φρεσὶν, ἀλλ' ἐκτὸς φρενῶν διάγων. Ἢ, ἀποπλανηθείς· ἀπὸ μεταφορᾶς τῶν πλανηθέντων προβάτων, καὶ μόνων βοσκομένων.

621. Εὕρηται] γράφεται γεγένηται.

622. Τὰ πρὶν δ' ἔργα χεροῖν] λείπει γιγνόμενα. Τὰ δὲ πρότερα μέγιςα τῆς ἀρετῆς τῶν χειρῶν αὐτῦ ἔργα ἐν ὀλιγωρίᾳ ἐςὶ παρὰ τοῖς Ἀτρείδαις.

624. Ἄφιλα] ἀχάριςα παρὰ τοῖς πρώην

## ΣΤΡΟΦΗ Β.

Ἦ που παλαιᾷ μὲν
Ἔντροφος ἁμέρᾳ,
Λευκῷ δὲ γήρᾳ
Μάτηρ, νιν ὅταν νοσοῦντα
Φρενομόρως * ἀκούσῃ,
Αἴλινον, αἴλινον,
Οὐδ' οἰκτρᾶς γόον
Ὄρνιθος ἀηδοῦς
Ἥσει δύσμορος·
Ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς
Θρηνήσει· χερόπληκτοι
Δ' ἐν στέρνοισι † πεσοῦνται
Δοῦποι, καὶ πολιᾶς
Ἀμύγματα χαίτας.

## ΑΝΤΙΣΤΡΟΦΗ Β.

Κρείσσων γὰρ ᾅδᾳ ‡ κεύ-

* ALDUS, Φρενομώρως. † ALD. στέρνοις. ‡ ALD. ἅδα.

αὐτοῦ φίλοις, νῦν δὲ πάντων ἐπιλελησμένοις. Ἦ, ἄφιλα παρ' ἀφίλος, ἐχθρὰ παρ' ἐχθροῖς.

627. Παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ] παλαιὸν, τὸ πάλαι ἀρξάμενον, ᾧ ἀντίκειται τὸ νέον· νέον γὰρ, τὸ νεωστὶ ἀξάμενον. Ἐνταῦθα οὖν, ἔντροφος παλαιᾷ ἡμέρᾳ, ἡ ἐντεθραμμένη παλαιῷ χρόνῳ· οἷον τῇ ἡλικίᾳ ἀντὶ τοῦ πολυετής. Ὁ δὲ νοῦς, ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος. Τὸ δὲ λευκῷ γήρᾳ, κατὰ κοινοῦ, τὸ ἔντροφος ἡ μήτηρ αὐτοῦ.

629. Λευκῷ δὲ γήρᾳ] ἐπειδὴ τὸ γῆρας λευκαίνει τὰς τρίχας, διὰ τοῦτο εἶπε τῷ λευκῷ, ἀπὸ τοῦ ποιουμένου τὸ ποιοῦν.

631. Φρενομόρως] ἀντὶ τοῦ εἰς τὴν μοῖραν τῶν φρενῶν νοσοῦντα. Ὅ ἐστι φρενοβλαβῶς, μανικῶς.

632. Αἴλινον] εἶδος θρήνου.

633. Οὐδ' οἰκτρᾶς γόον] οἷον οὐ μέτριον· ἀναστρεπτέον δέ· ἄρχει γὰρ τοῦ λόγου τὸ οὐ ἵν' ᾖ, οὐκ αἴλινον, οὐδ' οἰκτρᾶς γόον ἀηδοῦς ἥσει, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς, καὶ τὰ ἑξῆς.

633, 634. Γόον ὄρνιθος] τοῦτο εἶπε διὰ τὸ ἀεὶ θρηνεῖν τὴν ἀηδόνα τὸν υἱὸν Ἴτυν. Παραβάλλει δὲ τὸν τῆς ἀηδόνος θρῆνον καὶ τῆς Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

635. Ἥσει δύσμορος] ἥσε γόον οὐ μέτριον, κατὰ τὴν ἀηδόνα, ἀλλ' ὀξύν· Ἡ ἀηδὼ δὲ, κατὰ Μιτυληναίους. Ἀηδόνος δὲ λέγει τῆς ἀφροσύνης ἐστερημένης διὰ τὸ ἀεὶ θρηνεῖν τὸν υἱὸν Ἴτυν. Παραβάλλει δὲ τὸν ἀηδόνος θρῆνον καὶ τὸν Ἐριβοίας, καὶ εἰκάζει μείζω ἐκεῖνον ἔσεσθαι τοῦ τῆς ἀηδόνος.

636. Ὀξυτόνους] ὀξυφώνους. Τίνος, ὁ κοινῶς ἦχος, καθ' ὃ λέγεται Λύδιος τόνος, καὶ Φρύγιος.

639. Καὶ πολιᾶς] περιπαθῶς ἡ πρόθεσις τῆς πολιᾶς.

641. Κρείσσων γὰρ ᾅδᾳ κεύθων] κρείσσων γάρ ἐστιν ὁ τεθνηκὼς ἢ ὁ ζῶν καὶ νοσῶν μάτην,

θων, ἢ νοσῶν μάταν,
Ὃς ἐκ πατρῴας
Ἥκων γενεᾶς ἄριϛος
Πολυπόνων Ἀχαιῶν,
Οὐκέτι συντρόφοις
Ὀργαῖς ἔμπεδος,
Ἀλλ᾽ ἐκτὸς ὁμιλεῖ.
Ὦ τλάμων πάτερ,
Οἵαν σε μένει πυθέσθαι
Παιδὸς δύϛφορον ἄταν;
Ἃν ὔπω τὶς ἔθρεψεν
Αἰὼν Αἰακιδᾶν
Ἄτερθέ γε τῦδε.

ΙΑΜΒΟΙ.

ΑΙΑ. " Ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος
" Φύει τ᾽ ἄδηλα, καὶ φανέντα κρύπτεται.

ὅ ἐϛι μεμηνώς. Μάτην γὰρ νοσεῖν, τὸ ἀθεραπεύτως μαίνεσθαι. Οὐ λέγει δὲ ὅτι ὅταν αὐτὸν πύθηται τετελευτηκότα. Ὁ γὰρ μεμηνὼς καὶ τὰς φρένας διεφθαρμένος, κρείσσων ἀΐδᾳ κεύθων· οἷον, ἄμεινον τῷ μεμηνότι ἐξεῖναι τῦ βίυ οἷον. Ἡγέσεται κρείσσονα τὸν θάνατον τῆς τῦ Αἴαντος μανίας. Μάτην δὲ, ἀντὶ τῦ ἀψευδῶς, καὶ ἀντὶ τῦ ματαίως, ὡς ἐνταῦθα.

643. Ὃς ἐκ πατρῴας] ὡς ἄνωθεν κατὰ πατρῴας γενεᾶς ἄριϛα ἥκων. Λείπει γὰρ τὸ ἄριϛος. Ὥϛτε προέχειν ἁπάντων τῶν Ἑλλήνων κατὰ γένος, νῦν ὐκέτι ἤθεσιν ἐμμένει.

644. Ἥκων γενεᾶς ἄριϛος] ὕτω γράφε, ἵν᾽ ᾖ ὅμοιον τῷ τῆς ϛροφῆς κώλῳ· ὕτω γὰρ εὑρέθη καὶ ἔν τινι τῶν παλαιῶν πάνυ.

645. Πολυπόνων] πολυμόχθων τὰ ἐς πόλεμον. Ἤγυν, ἐκ πατρὸς ἔχων τὸ πρὸς πολέμυς καὶ μάχας ἀνδρείως ὁρμᾷν, τύτυ μὲν τῦ ἐκ φύσεως προσόντος αὐτῷ ἀπέϛη, πρὸς δὲ τὰ παρὰ φύσιν ὥρμησεν ὑπὸ τῆς μανίας.

647. Ὀργαῖς] ὁρμαῖς, τρόποις.

648. Ἀλλ᾽ ἐκτὸς] τῦ προσήκοντος δηλονότι.

649. Ὦ τλάμων πάτερ] ἀπέϛρεψε τὸν λόγον πρὸς τὸν Τελαμῶνα, οἵαν σε μένει πυθέσθαι, τοιαύτην ἄτην οἵαν ὐδεὶς πέπονθε τῶν Αἰακιδῶν. Παραμυθία γάρ ἐϛι τὸ μετέχειν τινὰ τῶν τῦ γένυς τῶν αὐτῶν κακῶν.

652. Ἔθρεψεν] ἔσχεν.

654. Ἄτερθέ γε τῦδε] χωρὶς τύτυ τῦ Αἴαντος. Ἤτοι τῦ χρόνυ.

655. Ἅπανθ᾽ ὁ μακρὸς] ἐξέρχεται ὁ Αἴας ὡς δὴ κατακηληθεὶς ὑπὸ Τεκμήσσης μὴ σφάττειν ἑαυτόν. Καὶ προφάσει τῦ δεῖν εἰς ἐρημίαν ἐλθεῖν καὶ κρύψαι τὸ ξίφος, ἐπὶ τύτων ἀναχωρεῖ καὶ διαχρῆται ἑαυτόν. Παρίϛησι δὲ ὁ λόγος ὅτι καὶ οἱ ἔμφρονες καὶ παρακολυθοῦντες τῇ φύσει τῶν πραγμάτων, ὅμως ὑπὸ τῶν τοιύτων παθῶν ἐπὶ τὸ χεῖρον ἀπολισθαίνυσιν. ὡς ἐν Τραχινίαις ἡ Δηϊάνειρα περὶ τῦ ἔρωτος διαλεγομένη καὶ τῦ ἀνδρὸς, ὅτι αὐτῷ ὐκ ἀντιϛήσεται, ὐδὲ λυσιτελεῖ αὐτῇ ἀντιπράττειν τῇ ἐπιθυμίᾳ τῦ ἀνδρὸς, πράττει μετὰ ταῦτα ἅπερ αὐτὴν ἀνέπεισεν ἡ ζηλοτυπία· ἤτοι δὲ σχῆμά ἐϛιν. Ἅπαντα ὁ χρόνος φύει, φησίν· εἶτα ἐξαλλαγῇ, καὶ ταῦτα φανέντα κρύπτεται. Ἢ τὸ κρύπτεται ἐπὶ τῦ χρόνυ, ἀντὶ τῦ κρύπτει·

“ Κοὐκ ἔς' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται
“ Χ' ὡ̣ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες.”
Κἀγὼ γὰρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
Βαφῆ σίδηρος ὡς, ἐθηλύνθην ςόμα
Πρὸς τῆςδε τῆς γυναικός· οἰκτείρω δέ νιν
Χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.
'Αλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
Λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
Μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς.
Μολὼν δὲ χῶρον ἔνθ' ἂν ἀςιβῆ κίχω,
Κρύψω τόδ' ἔγχος τοὐμὸν, ἔχθιςον βελῶν,

του· τοῦτο δέ φησιν ὡς μεταβεβλημένος ὑπὸ τῶν προτέρων νοημάτων.

657. 'Αλίσκεται] ἐξελέγχεται· φωρᾶται· ἀπὸ μεταφορᾶς τῶν ἁλισκομένων θηρίων ὑπὸ θηρατῶν.

658. Χὠ δεινὸς ὅρκος] ὅτι καὶ ὀμόσαντες πολλάκις τινὲς, ἐν μεταβολῇ γίνονται τῷ χρόνῳ.

Ib. Περισκελεῖς φρένες] αἱ ἄγαν σκληραὶ ψυχαί.

659. Ὃς τὰ δείν' ἐκαρτέρουν τότε] γράφεται ἐπηπείλης' ἔπη· ἢ λείπει τὸ ἔπη, ἵν' ᾖ ὅστις τὰ δεινὰ ἔπη ἐκαρτέρουν λέγειν τότε, ὡςανεὶ πρώτου.

660. Βαφῆ σίδηρος ὡς] ἢ πρὸς τὸ ὡς ςικτέον· ἵν' ᾖ οὕτως, ὃς ἐκαρτέρουν τὰ δεινὰ, ἤτοι σκληρὸς καὶ ἀνένδοτος ἦν, καθάπερ βεβαμμένος σίδηρος. Ἢ πρὸς τὸ τότε, ἀντὶ τοῦ ἐθηλύνθην τὸ ςόμα ὑπὸ τῆςδε τῆς γυναικὸς, ὥςπερ ἐν βαφῆ σίδηρος, ἤτοι βεβαμμένος ὑπὸ ἐλαίου, θηλύνεται· ἔςι δὲ κρεῖττον τὸ πρῶτον· εἰκότως δὲ εἶπε τὸ ςόμα, ἐπειδὴ καὶ τὰ σκληρὰ ἐκεῖνα διὰ τῆς γλώττης ἔφερεν.

Ib. Βαφῆ σίδηρος ὡς ἐθηλύνθην] ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ μᾶλλον σκιραίνεται· οὕτως οὖν διαςαλτέον· κἀγὼ γὰρ (φησὶν) ὃς ἠπείλουν καὶ ἔζεον καὶ ἐβόων, ὡς ἐν βαφῇ σίδηρος, ὡς Ὅμηρος·

“ Εἰν ὕδατι ψυχρῷ βάπτεται μεγάλα ἰά-
“ χοντι.”

Νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός· ἢ ὅτι διςσῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν· εἰ δὲ σκιρὸν, ὕδατι.

663. 'Αλλ' εἶμι πρός τε λουτρὰ] πιθανὴ αὐτῷ ἡ ἔξοδος, ὡς ἐπὶ καθαρμόν· μονάσαι γὰρ βούλεται χάριν τῆς ἀναιρέσεως.

664. Ὡς ἂν λύμαθ' ἁγνίσας] ἔθος ἦν τοῖς παλαιοῖς, ὅτε ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος.

Ib. Λύματα] μολυσμόν. Ἔθος γὰρ ἦν τοῖς παλαιοῖς, ὅταν ἢ φόνον ἀνθρώπου, ἢ ἄλλας σφαγὰς ἐποίουν, ὕδατι ἀπονίπτειν τὰς χεῖρας εἰς κάθαρσιν τοῦ μιάσματος.

665. 'Εξαλεύσωμαι] φυλάξωμαι, ἐκκλίνω.

666. Μολὼν δὲ χῶρον] εὑρήσω (φησὶ) τόπον οὗ οὐδεὶς ἐπιβήσεται. Τοῦτο δὲ πιθανὸν ἵνα μή τις αὐτῷ ἀκολουθήσῃ. Πιθανὸν δὲ καὶ τὸ λαβεῖν τὸ ξίφος, ἵνα εὐπορήσῃ ἑαυτὸν διαχρήσασθαι.

667. Τόδ' ἔγχος] ἀντὶ τοῦ τὸ ξίφος.

Ib. Τοὐμὸν ἔχθιςιον βελῶν] τὸ ἔχθιςον τῶν βελῶν ἐμοῦ. Βέλη δὲ ἀντὶ τῶν ἀμυντηρίων. Βέλη γὰρ τὰ πεμπόμενα.

Ib. Ἔχθιςον βελῶν] τῶν ἀμυντηρίων δηλαδή· βέλη γὰρ τὰ πεμπόμενα, κυρίως.

668. Γαίο:

Γαίας ὀρύξας, ἔνθα μήτις ὄψεται,
Ἀλλ' αὐτὸ νὺξ ᾄδης τε σωζόντων κάτω.
Ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
Παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
Οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
"Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα."
*Τοὶ γὰρ τολοιπὸν εἰσόμεσθα μὲν θεοῖς
Εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον· τι μή;
Καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
Τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
Ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος,

* Aldus, τιμῇ.

668. Γαίας ὀρύξας] μὴ λάβῃς εἰς τὸ γαίας ἔξωθεν τὸ ἐπὶ, ἀλλ' οὕτω λέγε, κρύψω δὲ τὸ ἐμὸν ἔγχος, ὀρύξας ἔνθα τῆς γαίας οὐδεὶς ὄψεται.

669. Ἀλλ' αὐτὸ νὺξ] λέγει τὸ νὺξ καὶ τὸ ᾄδης, κατὰ μὲν τὸ φαινόμενον, ἀντὶ τοῦ ἀφάνεια καὶ φθορά· τὸ δὲ ἀληθὲς, διὰ τὴν μέλλουσαν αὐτὸν καταλήψεσθαι νύκτα καὶ θάνατον, ὧν αἴτιον τὸ ξίφος.

Ib. Δυσμενεστάτου] τοῦτο λέγει, ἢ διὰ τὸ εἶναι αὐτὸν πολέμιον αὐτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησιν, ἢ (ὅπερ καὶ αὐτὸς λέγει) διὰ τὸ μηδενὸς χρηστοῦ ἀπολαῦσαι, ἐξότου εἰλήφει παρ' τὸ ξίφος.

673. Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία] ἢ διὰ μέσου συναπτέον τὸ ἀλλὰ, πρὸς τὸ ἐχθρῶν ἄδωρα δῶρα, ἢ οὕτως, ἀλλ' ἔστιν ἡ παροιμία ἀληθής. Ἀντὶ τοῦ εἰπεῖν δὲ τὸ ἐχθρῶν ἄδωρα δῶρα, χωρὶς τοῦτο ἐπήνεγκε, καὶ ἔστι τῇ μὲν ἐννοίᾳ συνημμένον, καὶ τῇ τοῦ λόγου ὁρμῇ· κατὰ δὲ τὴν φράσιν, κομματικόν.

674. Ἐχθρῶν ἄδωρα δῶρα] ὁ νοῦς, ὅτι μηδὲ τὰ μέγιστα τῶν ἐχθρῶν ἐφίεσο· τῶν δὲ φίλων, καὶ τὰ ἐλάχιστα, ἄδωρα δὲ, κακόδωρα.

675. Τοὶ γὰρ τολοιπὸν] ἐπιφθόνως ἔφρασεν ἐν εἰρωνείᾳ, ἀντιστρέψας τὴν τάξιν. Ἔδει γὰρ εἰπεῖν, θεοὺς μὲν σέβειν, εἴκειν δὲ Ἀτρείδαις, ὡς τῶν Ἀτρειδῶν οὖν ἤδη καὶ θεομαχούντων.

676. Ἀτρείδας σέβειν] αἰτιῶνται κακῶς τινὲς ἐνταῦθα τὸν ποιητὴν, ὅτι δέον τὸ σέβειν πρὸς τοὺς θεοὺς εἰπεῖν, τὸ δὲ εἴκειν πρὸς τοὺς Ἀτρείδας, ὁ δὲ ἐναλλὰξ εἴρηκεν ἀγνοοῦντες ὅτι ἀδιαφόρως εἴρηκεν, (ὥσπερ καί τινες τῶν λογοποιῶν) τῆς κυριολεξίας οὐδὲν φροντίσας· ἄλλως τε καὶ τὸ σέβειν οὐ μόνον πρὸς τοὺς θεοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀνθρώπους φαμέν.

679. Νιφοστιβεῖς] τουτέστιν οἱ χιόνας συντιθέντες· στιβάζειν γὰρ καὶ τὸ συντιθέναι.

680. Εὐκάρπῳ θέρει] διὰ τί οὐκ εἶπε τῷ ἔαρι, μετὰ τὸν χειμῶνα ὄντι, ἀλλὰ τῷ θέρει; καὶ φαμὲν ὅτι τὸ ἔαρ οὐκ ἔστιν ἄλλο ἢ χειμῶνος μέρος καὶ ἀποῤῥοή. Ἔστι γὰρ καὶ ἐν ἔαρι νιφετὸς πολὺς πολλάκις. Διὰ τοῦτο ἀμφοτέρας τὰς ὑπερβολὰς εἴρηκεν, ὡς ἐναντίας. Καὶ γὰρ τὸ μετόπωρον μέρος ἐστὶ θέρους ῥαΐζοντος.

681. Ἐξίσταται] λέγεται τοῦτο καὶ μετὰ τῆς ὑπὸ, καὶ τάσσεται ἀεὶ ἐπὶ ὁδοῦ· τὸ δὲ

ὑπανίσ-

Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
Δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
Στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
Λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
Ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
Ἐγὼ δ' ἐπίσαμαι γὰρ ἀρτίως ὅτι,
Ὅτ' ἐχθρὸς ἥμην, ἐς τοσόνδ' ἐχθραντέος
Ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλος
Τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
Ὡς αἰὲν οὐ μενοῦντα. "Τοῖς πολλοῖσι γὰρ
"Βροτῶν ἄπισός ἐσθ' ἑταιρίας λιμήν."

ὑπανίσασθαι, ἐπὶ καθέδρας· οἷον, ὑπεξίσαμαί σοι τῆς ὁδοῦ, ὑπανίσαμαι δέ σοι τῆς καθέδρας. Λευκόπωλον δὲ λέγει τὴν ἡμέραν, ἐπεὶ τὸν ἥλιον ὃς ποιεῖ τὴν ἡμέραν, ἐπὶ ἅρματος φασὶν ὀχεῖσθαι, δύο ἵππους ἔχοντα λευκοὺς, ὧν τὸν μὲν, λάμποντα, τὸν δὲ φαέθοντα ὀνομάζουσιν.

Ib. Ἀιανὴς κύκλος] τουτέσιν ὁ σκοτεινὸς, ἢ ἀδιάλειπτος.

683. Δεινῶν τ' ἄημα] λείπει ὑπὸ, ἵν' ᾖ, ὑπὸ δεινῶν μνευμάτων σένοντα πόντον, ἄημα πρᾷον ἐκοίμισεν αὐτόν· ἀὴρ μὲν οὗτος ὃν ἀναπνέομεν. Πνεῦμα δὲ ἄνεμος, ἀήτης ποιητικῶς. Καὶ αὖραι, ἀὴρ κινηθείς. Διαφέρουσι δὲ ἀλλήλων, τῷ μὲν τὴν αὔραν ἐπὶ τῶν ἐξ ὑγροῦ ἐκ πνοῶν τάττεσθαι· τὸν δὲ ἄνεμον, ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων· τὰ πνεύματα δὲ καὶ τοὺς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

Ib. Ἐκοίμισε] παυθὲν δηλονότι κατεπραΰνε· τουτέσι, καὶ ἄνεμος σφοδρὸς κυμαίνων τὴν θάλασσαν, οὐκ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ παυσάμενος, γαλήνην ἱσᾷ.

687. Ἐγὼ δ' ἐπίσαμαι] σημειωτέον ἐνταῦθα τὸ σχῆμα τοῦ λόγου. Τὸ γὰρ ἐγὼ δὲ, εἰς οὐδὲν ἀποδίδοται, ἀλλὰ τεμὼν τὸν λόγον διὰ τοῦ ἐπίσαμαι γὰρ, πρὸς τοῦτο τὴν ἀπόδοσιν ἐποιήσατο. Ἀγνοοῦντες δέ τινες, οἱ μέν φασι τὸ γὰρ ἀργὸν, οἱ δὲ τὸ ὅτι, διὰ μέσου τὸ ἐπίσαμαι γὰρ ἀρτίως, λαμβάνοντες. Καὶ μὴν καὶ ἑτέρους ψυχροτέρους ἐσὶν ἰδεῖν, τῷ ὅτι ἀντὶ τοῦ λίαν χρωμένους. Οὓς ἐάσαντες ἡμεῖς, φρονῶ μὲν ὡς ἔφαμεν. Εὕροις δὲ καὶ παρὰ λογογράφοις πόλλ' ἕτερα τοιαῦτα καὶ μαρτυρεῖ Λιβάνιος ἐν τῷ ὑπὲρ ὀρχησῶν, λέγων οὕτως, Τὸν μὲν οὖν ἐμὸν ἐς Ἀρισείδην ἔρωτα, καὶ αἱρέσεώς μοι, δοθείσης ἀπαγαγών· Τόδε, τὸν μὲν οὖν ἐμὸν ἐς Ἀρισείδην ἔρωτα, ἀναπόδοτον ἐάσας. Ἢ οὕτως, τὸ μὲν ἐγὼ δὲ πρὸς τὸ ὅτε ἀπόδος, τὸ δὲ, ἐπίσαμαι γὰρ ἀρτίως ὅτε διὰ μέσου, ὥσπερ γὰρ φησι Συνέσιος, Ἀλλ', εὖ οἶδ' ὅτι, οὐκ ἀπαγορεύσεις, τὸ ἀλλὰ πρὸς τὸ οὐκ ἀπαγορεύσεις συνάπτων, τὸ δὲ εὖ οἶδ' ὅτι, διὰ μέσου, οὕτω καὶ τοῦτο, εὕροις δὲ καὶ ἐκ ἄλλοις ἕτερα τοιαῦτα. Γίνεται δὲ ἡ ἀπάτη ἐνταῦθα διὰ τὸ γάρ.

688. Ὅτ' ἐχθρὸς] ἀποροῦσιν ἐνταῦθά τινες πῶς ὅτε ἐχθρὸς ἥμην, καλῶς εἰπὼν ἐπὶ παρῳχημένου, ἐπειδὴ τεθνήξεσθαι ἔμελλε, μὴ καὶ τὸ ὠφελεῖν ἐβουλόμην, εἶπεν, ἀλλὰ βουλήσομαι ἐπὶ μέλλοντος, οὐ γὰρ ἔμελλε ζῆν. Καὶ φαμὲν ὅτι βουλόμενος ἀπατῆσαι αὐτοὺς, ὥστε μὴ ὑποπτεῦσαι αὐτὸν τεθνήξεσθαι, τοῦτο ἐπὶ μέλλοντος εἶπεν. Καὶ ἄνω ἀπατῶν αὐτοὺς, Εἰσόμεθα θεοῖς εἴκειν, καὶ Ἀτρείδας σέβειν, ἔφη. Καὶ κατιὼν, Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.

692. Ἑταιρίας λιμὴν] καλῶς τοῦτο εἴρηκεν. Ὁ γὰρ ἀληθὴς φίλος λιμένος δίκην τοῖς αὐτὸν ἔχουσι καθίσαται, ἡνίκα ἂν ἐν συμφοραῖς περιπέσωσεν, καθάπερ ἐν θαλάσσῃ λιμὴν τοῖς χρησαμένοις χειμῶνι.

Ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
Ἔσω θεοῖς ἐλθοῦσα διατελοῦς, γύναι,
Εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
Ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
Τιμᾶτε· Τεύκρῳ τ' ἢν μόλῃ, σημήνατε,
Μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ', ὅποι πορευτέον.
Ὑμεῖς δ', ἃ φράζω, δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
Πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ἔφριξ' ἐν ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμην.
Ἰὼ, ἰὼ, Πάν, Πάν· ὦ
Πὰν, Πὰν ἁλίπλαγκτε *,

* Turn. in marg. ἁλίπλακτε.

693. Σὺ δὲ] σὺ δὲ ἐλθοῦσα εἴσω, ὦ γύναι, εὔχου τοῖς θεοῖς διατελοῦς, τελεῖσθαι ἐκεῖνα δηλονότι, ὧν ἐρᾷ τὸ ἐμὸν κέαρ. Ἤγουν ἡ ἐμὴ ψυχή.

697. Τιμᾶτε] τιμᾷ ἀρετήν τις, ἀντὶ τοῦ ἐργάζεται· καὶ ἐπαινεῖ σιωπὴν, ἀντὶ τοῦ σιωπᾷ.

698. Ὑμῖν ἅμα] γράφεται ὑπέρμεγα.

699. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ'] αἰνιγματωδῶς ὁ λόγος ἐξενήνεκται.

Ib. Ἐγὼ γὰρ] αἰνιγματωδῶς λέγει ὁ Αἴας ἐνταῦθα τὸν αὐτοῦ θάνατον.

700. Καὶ τάχ' ἄν μ' ἴσως] ὁ μὲ χορὸς ἀπαλλάττεσθαι νομίζει λέγειν τῆς νόσου· ὁ δὲ αἰνίττεται τῶν κακῶν τοῦ βίου.

701. Σεσωσμένον] ἰστέον, ὅτι ὁ Αἴας ἡγεῖτο τὸν αὐτοῦ θάνατον σωτηρίαν. Διὸ καὶ σεσωσμένον ἑαυτὸν λέγει ἐνταῦθα.

702. Ἔφριξ' ἐν ἔρωτι] ἀντὶ τοῦ ὠρθώθην τῇ ἡδονῇ. Χρείας ἕνεκα τὸ χορικὸν νῦν παρείληπται. Ἐξελθόντος γὰρ τοῦ Αἴαντος, ἔδει βραχὺ διάλειμμα γενέσαι, ἵνα μὴ καταληφθῇ ὑπὸ τοῦ ἀγγέλου. Διὸ καὶ τὴν ὄρχησιν ποιοῦνται. Ἔνθεν καὶ βραχύ ἐστι τὸ χορικὸν, ὡς πρὸς χρείαν εἰλημμένον. Ἄλλως· Τέρπεται ὁ χορὸς ἐπὶ τῷ παύεσθαι τῆς νόσου τὸν Αἴαντα, καὶ φησὶν, ὑφ' ἡδονῆς ἔφριξα. Καὶ βούλομαι χορεῦσαι. Εὐεπίφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας, ὥστε ἐντιθέναι τι καὶ τοῦ ἡδέος.

Ib. Ἀνεπτάμην] ἀνεπτερώθην, ἔστι δὲ ἀντὶ τοῦ ἀνέπτην. Οἱ εἰς ην γὰρ ἀόριστοι τῆς δευτέρας συζυγίας τῶν εἰς μι, οὐ χρείαν ἔχουσι τῶν παθητικῶν καὶ τῶν μέσων χρόνων.

703. Ἰὼ, Πὰν, Πὰν] ἐπικαλοῦνται τὸν Πᾶνα, ὡς χορῶν πρόξενον· καὶ αὐτοὶ γὰρ τοῦτο ποιεῖν βούλονται, ὡς ἐγνωκότος τοῦ Αἴαντος μηκέτι τελευτᾶν.

704. Ἁλίπλαγκτε] ἐπικαλοῦνται τὸν Πᾶνα, ἢ ὅτι ἐβοήθησε τοῖς Ἀθηναίοις ἐν τῇ ναυμαχίᾳ, ἢ ὅτι τὸν Τυφῶνα δικτύοις, ἤγρευσεν, ἢ ὅτι ἐν τοῖς ἀκρατηρίοις τιμᾶται, ἔνθα πλάζεται ἡ θάλασσα. Ἢ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν Πᾶνα ὡς νόμιμον θεόν. Ἢ ἁλίπλαγκτε, ἀντὶ τοῦ μεγαλόφωνε ἐν τῇ χορείᾳ. Ὡς ἁλίβρομε, ὅτι τῆς ἠχοῦς ἐρᾷ. Πολύηχος δὲ ἡ θάλασσα· ἁλίπλαγκτε δὲ, ἐπὶ Κυλλωνίας ὄρους Ἀρκαδίας.

706. Φάνηθ']

Κυλλανίας χιονοκτύπȣ
Πετραίας ἀπὸ δειράδος φάνηθ᾽, ὦ
Θεῶν χοροποί᾽ ἄναξ, ὅπως μοι
Νύσσια Κνώσσια
Ὀρχήματα αὐτοδαῆ
Ξυνὼν ἰάψης·
Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ᾽ ὑπὲρ πελαγέων *
Μολὼν ἄναξ Ἀπόλλων
Ὁ Δάλιος, εὔγνωςος
Ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ᾽ ὀμμάτων Ἄρης.
Ἰώ, ἰώ· νῦν αὖ, νῦν,
Ὦ Ζεῦ, πάρα λευκὸν
Εὐάμερον πελάσαι φάος

* Turn. πελαγαίων.

706. Φάνηθ᾽] φάνηθι, κανόνισον, φαίνω. ὁ μέλλων, φανῶ. ὁ αόριςος πρῶτος, ἔφηνα. Ὁ δεύτερος αόριςος, ἔφανον. Ὁ παθητικὸς δεύτερος αόριςος, ἐφάνην. Ἡ μετοχὴ, ὁ φανεὶς, τȣ̃ φανέντος. Καὶ τὸ προςακτικὸν, φάνηθι, ὁ κάνων. Πᾶσα μετοχὴ εἰς σ᾽ ὀξύτονος διὰ τȣ̃ ντς κλινομένη, εἰς θι ποιεῖ τὸ προςακτικόν.

708. Κνώσσια] ἐν Νυσίᾳ καὶ ἐν Κνωσσῷ ἐπιμελὴς ἡ ὄρχησις. Ἡ Νυσία, τὰ ἐν τῇ Νύσῃ γιγνόμενα. Ἔςι δὲ αὕτη Διονύσȣ ἱερά. Καὶ συνᾴδει τῷ Κνώσσια. Καὶ ἡ Κνωσσὸς γὰρ Διονύσȣ. Ἄλλως· τῶν ὀρχήσεων αἱ μέν εἰσι Διονυσιακαὶ, αἱ δὲ Κορυβάντιαι, καὶ ἐνόπλιοι· Νύσιαι ȣ̃ν, αἱ Διονυσιακαὶ, παρὰ τὴν Νύσην. Κνώσσιαι δὲ, αἱ Κορυβάντιαι. Καὶ Κνωσσὸς γὰρ πόλις Κρήτης. Ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς. τῶν δὲ ὀρχήσεων ἡ μὲν Βερεκυνθιακὴ λέγεται, ἡ δὲ Κρητικὴ, ἡ καὶ Πυῤῥική. Νύσιαι ȣ̃ν, αἱ Βερεκυνθιακαί· τῆς γὰρ Νυσίας ἡ Βερέκυνθος. Κνωσσία δὲ, Κρητική.

709. Αὐτοδαῆ] αὐτομαθῆ, ἃ ἐκ φύσεως ἔχεις, ȣ̓ διδακτά.

713. Μολὼν ἄναξ Ἀπόλλων] παραγένοιτο δὲ καὶ ὁ Ἀπόλλων διὰ τȣ̃ Ἰκαρίȣ πελάγȣς, τȣτέςι τῆς Δήλȣ.

716. Ἀπ᾽ ὀμμάτων Ἄρης] ἤτοι ὁ Θεός. Οὗτος γὰρ αἴτιος τῆς μανίας· ἢ τὸ Ἄρης ἀντὶ τȣ̃ ὁ πολεμικὸς Αἴας. Τὸ δὲ ὀμμάτων, ἢ τῶν ἡμετέρων, ἢ τῶν ἑαυτȣ̃.

717. Νῦν, ὦ Ζεῦ, παρα] νῦν πάρεςιν ἡμέρα λαμπρὰ ἡμῖν ὥςτε ἐγγίσαι τῶν νεῶν, πρότερον γὰρ ἐξετρεπόμεθα ἐπιμίγνυσθαι τοῖς Ἕλλησι διὰ τὴν αἰδῶ.

719. Πελάσαι] ὥςτε πελάσαι ἐπὶ τῶν νεῶν.

Θοῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
Λαθίπονος πάλιν, θεῶν δ' αὖ
Πάνθυτα θέσμια
'Εξήνυσεν, εὐνομίᾳ
Σέβων μεγίςᾳ.
" Πάνθ' ὁ μέγας χρόνος μαραίνει
" Τε καὶ φλέγει". καὶ ὐδὲν ἀναύδη-
τον, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετανεγνώσθη
Θυμῶν 'Ατρείδαις μεγάλων τε νεικέων.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ἄνδρες φίλοι, τοπρῶτον ἀγγεῖλαι θέλω'
Τεῦκρος πάρεςιν ἄρτι Μυσίων ἄπο
Κρημνῶν' μέσον δὲ προςμολὼν ςρατήγιον,
Κυδάζεται τοῖς πᾶσιν 'Αργείοις ὁμῦ.
Στείχοντα γὰρ πρόςωθεν αὐτὸν ἐν κύκλῳ
Μαθόντες, ἀμφέςησαν, εἶτ' ὀνείδεσιν
Ἤρασσον ἔνθεν κἄνθεν' κῦτις* ἔσθ' ὃς ῦ,
Τὸν τῦ μανέντος κἀπιβυλευτῦ ςρατῦ

* Aldus, ὕτις.

720. Ὅτ' Αἴας λαθίπονος] ὅτι δὴ ὁ Αἴας πάρεςιν ἐκ μετανοίας ἐπὶ τὸ σέβειν τὺς θεὺς, καὶ κατατίθεσθαι τὴν ἔχθραν τὴν πρὸς τὺς 'Ατρείδας.

721. Λαθίπονος] ἤγυν, ἐπιλελησμένος ὑπῆρξε τῶν πόνων, καὶ τῆς λύπης, ἣν ἀπὸ μανίας εἶχεν.

732. Κρημνῶν] ἤγυν, ἀπὸ τῦ κρημνώδυς τόπυ τῶν Μυσῶν.

Ib. Στρατήγιον] ςράτηγιον δὲ τὸ ςρατόπεδον, 'Αττικῶς. Κυρίως δὲ ςρατήγιον ὁ τόπος ὃς τοῖς ςρατηγοῖς ἀφιέρωται μετὰ τῶν ἄλλων τῶν πρυχόντων βυλεύεσθαι.

733. Κυδάζεται] λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων.

Καὶ 'Επίχαρμος ἐν 'Αμύκῳ,

Ἄμυκε μὴ κυδαζέ μυ τὸν πρεσβύτερον ἀδελφόν.

Καὶ Αἰσχύλος ἐν 'Ιφιγενείᾳ,

" Οὔτι γυναιξὶ κυδάζεσθαι."

Τί γάρ; ἀρσενικῶς δὲ ὁ κυδὸς ἐπὶ τῆς ὕβρεως.

734. 'Εν κύκλῳ ἀμφέςησαν] 'Αντὶ τῦ, περιεκύκλωσαν.

736. Ἤρασσον] ἔπληττον. 'Εβλασφήμυν πάντες ὁμοφωνῦντες.

Ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι*
Τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
Ὥστ' εἰς τοσοῦτον ἦλθον, ὥστε καὶ χεροῖν
Κουλεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτου,
Ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
Ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
" Τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον."
ΧΟΡ. Οὐκ ἔνδον· ἀλλὰ φροῦδος ἀρτίως, νέας
Βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
ΑΓΓ. Ἰοὺ, ἰού.
Βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
Πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς;
ΧΟΡ. Τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;

* Turn. ἀρκέσει.

738. Ἀποκαλοῦντες] Ἀττικὸν ἔθος, τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικὰ, καὶ ἀνάπαλιν· ὡς καὶ νῦν, Οὔτις ἔσθ' ὃς οὐχὶ ἔλεγε σύναιμον αὐτὸν ἀποκαλοῦντες.

Ib. Ὡς οὐκ ἀρκέσοι] ἐπὶ τοῦ Τεύκρου, ὡς οὐκ ἀρκέσοι ἑαυτῷ τὸ μὴ λιθόλευστος γενέσθαι. Ὡς οὐ κωλύσει αὐτὸν καταλιθωθῆναι.

739. Τὸ μὴ οὐ] συνίζησις.

Ib. Καταξανθεὶς] ἤγουν διαλυθεὶς ὑπὸ τῶν πετρῶν.

740. Ὥστε καὶ χεροῖν] ὥστε καὶ ξίφη διὰ τῶν χειρῶν διεπεραιώθη ἐρυστά. Ἤγουν διόλου ἐξειλκύσθη τῶν κουλῶν.

741. Διεπραιώθη] διειλκύσθη. διῆλθεν· ἐγυμνώθη. Εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

742. Λήγει δ' ἔρις] ἡ ἔρις εἰς πολὺ δραμοῦσα, καὶ προκόψασα, ἔστη τῇ συναντήσει τοῦ λόγου Νέστορος· ἐκ τῆς Ἀχιλλέως δὲ πρὸς Ἀγαμέμνονα ἀρχῆς παραγέγραπται· καὶ ὥσπερ ὁ Νέστωρ ἐκεῖ διαλλάσσει, οὕτω καὶ νῦν οἱ γέροντες. Ἡ ἔρις οὖν προκόψασα προσωτάτω, λήγει ἐκ συναλλαγῆς λόγου τῶν γερόντων, οἷον ἐκ τῆς ὁμιλίας.

Ib. Λήγει δ'] τουτέστιν, αὐξηθεῖσα ἕνεκα τοῦ ἐλθεῖν εἰς πλεῖον, ἔληξεν, ἡ ἔρις ἐν παραινέσει καὶ διδασκαλίᾳ τοῦ λόγου τῶν γερόντων ἀνδρῶν.

743. Ἐν ξυναλλαγῇ λόγου] τῇ ἀμοιβῇ τοῦ λόγου καὶ συμβιβάσει.

747. Νέοισι] καινοῖς.

Ib. Ἐγκαταζεύξας] συνθείς.

748. Ἰοὺ, ἰού] εἰδὼς ἀπὸ τοῦ μάντεως ὅτι κακὸν αὐτῷ γίνεται, τοῦτο προαναφωνεῖ.

750. Ἢ 'φάνην ἐγὼ βραδύς] ἤπερ· φησὶ δὲ ὅτι οὐκ ἐβράδυνα παραγενόμενος, ἀλλὰ βραδέως ἐπέμφθην.

751. Τί δ' ἐστὶ χρείας τῆσδ'] οἷον τί τοι λείπει ὅπερ σπανιόν ἐστι πρὸς τὴν χρείαν τὴν νῦν; ἐσπάνιζε δὲ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι· καὶ ἐν Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος, Βιότῳ καί σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

Ib. Ὑπεσπανισμένον] δεόμενον τῆς τοῦ Αἴαντος παρουσίας.

ΑΓΓ. Τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν ϛέγης
Μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
ΧΟΡ. Ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιϛον τραπεὶς
Γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλȣ.
ΑΓΓ. Ταῦτ' ἐϛὶ τἄπη μωρίας πολλῆς πλέα,
Εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
ΧΟΡ. Ποῖον; τί δ' εἰδὼς τȣ̃δε πράγματος πέρι;
ΑΓΓ. Τοσȣ̃τον οἶδα, καὶ παρὼν ἐτύγχανον.
Ἐκ γὰρ συνέδρȣ καὶ τυραννικȣ̃ κύκλȣ
Κάλχας μεταϛὰς οἶος Ἀτρειδῶν δίχα,
Εἰς χεῖρα Τεύκρȣ δεξιὰν φιλοφρόνως
Θεὶς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
Εἶρξαι κατ' ἦμαρ τȣ̓μφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾷν,
Εἰ ζῶντ' ἐκεῖνον εἰϛιδεῖν θέλοι ποτέ.
Ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ

752. Τὸν ἄνδρ' ἀπηύδα] ἀναγκαίως διηγεῖται, ὁπότ' ἔγνωκεν ἀπόντα τὸν Αἴαντα. Ἔδει γὰρ δηλωθῆναι τῷ θεάτρῳ. Λέγει δὲ ὅτι ἀπηγόρευσεν ὁ Τεῦκρος μὴ παριέναι τὸν ἄνδρα ἐκ τῆς σκηνῆς ἔξω. Τȣ̃ δὲ μὴ καὶ παρόντος καὶ ἀπόντος σώζεται ἡ ἔννοια.

753. Παρήκειν] παριέναι.

754. Πρὸς τὸ κέρδιϛον] ἤγȣν πρὸς τὴν ἐπικερδῆ καὶ ἐπωφελῆ γνώμην.

Ib. Πρὸς τὸ κέρδιϛον] πρὸς τὴν ἀμείνονα βȣλήν. Τȣ̃το γὰρ δηλοῖ τὸ κέρδιϛον τῆς γνώμης. Λέγει δὲ τὴν ἐπὶ καθάρσει ἔξοδον.

755. Ὡς καταλλαχθῇ χόλȣ] πιθανῶς, ὡς πολῖται, χόλον καὶ ȣ̓ μανίαν λέγȣσιν. Οἴχεται ȣ̃ν τραπεὶς πρὸς τὸ κέρδιϛον τῆς γνώμης, ὅπως τὴν ἔχθραν καταθῆται, καὶ διαλλαχθῇ τοῖς θεοῖς ἀπὸ τȣ̃ χόλȣ.

756. Ταῦτ' ἐϛὶ τἄπη] ἐπίϛαται γὰρ ἀκηκοέναι τὰ παρὰ τȣ̃ Κάλχαντος.

Ib. Πλέα] ἤγȣν πεπληρωμένα. πλέον, τὸ περισσότερον, μικρὸν, καὶ κλίνεται πλέονος. πλέων δε, τὸ ἀνάπλεων, μέγα.

756. Εἴπερ τι Χάλχας] ἐκ παροιμίας ὁ ϛίχος παρῆκται, ἣν καὶ Ἀριϛοφάνης ἀναγράφει.

758. Εἰδὼς τȣ̃δε πράγματος] περὶ τȣ́τȣ τȣ̃ πράγματος, ἤγȣν τῆς ἐξελεύσεως τȣ̃ Αἴαντος.

759. Καὶ παρὼν ἐτύγχανον] ἤγȣν ἃ μέλλω εἰπεῖν, ȣ̓ παρ' ἄλλȣ ἤκȣσα, ἀλλ' αὐτὸς παρὼν ἠκροώμην.

760. Κυκλȣ̃] χορȣ̃.

761. Μεταϛὰς] μεταχωρήσας. Μεθίϛασθαι τὸ εἰμείβειν ϛάσιν ἐκ ϛάσεως· καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπȣ.

Ib. Ἀτρειδῶν δίχα] πανὺ ἀξιοπίϛως· ὅτι ȣ̓κ ἄντικρυς τῶν βασιλέων ὁ μάντις διελέγετο, ἀλλ' ἐν ἀπορρήτῳ, κατ' εὔνοιαν τȣ̃ Αἴαντος.

763. Παντοίᾳ τέχνῃ εἶρξαι] ἤγȣν, κωλῦσαι διὰ παντοίας τέχνης καὶ μηχανῆς τὸν Αἴαντα ὑπὸ ταῖς σκηναῖς κατὰ τὴν παρȣ̃σαν ταύτην ἡμέραν.

765. Ἀφέντ' ἐᾷν] ἤγȣν ἀπολύσαντα. Ὅμοιον δὲ τῷ, ἔφη λέγων.

767. Τῇ σε θ' ἡμέρᾳ] λέγȣσί τινες ὡς τὸ θ' ἀντὶ τȣ̃ τε λαμβάνεται, καὶ συνάπτεται πρὸς τὸ γὰρ ȣ̔́τω, καὶ γὰρ ἐλᾷ τῇδε τῇ ἡμέρᾳ

Δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
" Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
" Πίπτειν βαρείαις πρὸς θεῶν δυςπραξίαις
" Ἔφασχ' ὁ μάντις, ὅςτις ἀνθρώπου φύσιν
" Βλαςὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ."
Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,
Ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
Ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, " Τέκνον, δορὶ
" Βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν."
Ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
Πάτερ, θεοῖς μὲν, κἂν ὁ μηδὲν ὢν, ὁμοῦ,
Κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα

μέρα τοῦτον· σὺ δὲ ἀντὶ τοῦ τοι νύει, κουφιζομένου τοῦ οι, ὥσπερ καὶ τῆς αι διφθόγγου ὡς ἔχει τὸ βούλομ' ἐγώ.

768. Ὡς ἔφη λέγων] τὸ ἔφη καὶ τὸ λέγων ἐκ παραλλήλου τινὲς οἴονται. Τὸ δ' οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φάμεν, τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο, οὕτως ἔφη καὶ οἱονεὶ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον·

769. Τὰ γὰρ περισσὰ κἀνόνητα] τὰ παρέλκοντα καὶ ἀχρήσιμα καὶ πέρα τοῦ μέτρου. Τὰ χωρὶς δικαίου.

770. Βαρείαις] ἀπὸ μεταφορᾶς τῶν βαρέων σωμάτων καὶ δυςβαςάκτων.

771. Ὅςτις ἄνθρωπου φύσιν] περιςᾶται ὁ νοῦς εἰς τὸ, γνῶθι σαυτόν. Πρὸς τὸ σημαινόμενον δὲ εἶπεν, ὅςτις τὸ ἀνθρώπου ἀποδὺς, ἅτινα δέον εἰπεῖν, εἰ καὶ μὴ πληθυντικῶς εἶπεν. Ἁπλούςερον γὰρ οἵτινες, εἰπεῖν ἔδει. Τὸ δὲ ὅλον, ὅςτις ἄνθρωπος πεφυκὼς, ἔπειτα μὴ καθ' ἄνθρωπον φρονεῖ.

Ib. Φύσιν] οὐσία φύσεως διαφέρει· Οὐσία μέν ἐςιν ἡ ὕπαρξις. Φύσις δὲ, ἡ ἐνοῦσα τινὶ δύναμις. Οἷον, φύσις ἐςὶ γῇ τὸ ἀναβλαςεῖν βοτάνας, καὶ φύσι τοῦ πυρὸς, τὸ θερμαίνειν· ἀφ' οὗ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ εὐφυΐα ἐπὶ τούτου. Εἰκότως οὖν εὐφυΐα καὶ ἐπὶ ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, καὶ τῶν τοιούτων. Λέγεται φύσις καὶ ἡ ποιότης, οἷον, περιβέβληται φύσεως οὐ μιᾶς· ἤγουν ποιότητος. Καὶ τὸ κάλλος φύσις καὶ τὸ γένος, ἀπὸ τοῦ φύειν· Οὐ μαθὼν ὃς εἶ φύσιν.

772. Ἔπειτα] τινὲς οἴονται εἰς ἀπόδοσι, μετοχῆς τιθέμενον, ἀργὸν εἶναι. Τὸ δὲ οὐκ ἔςι τοιοῦτον, ἀλλὰ τὴν αὐτοῦ, σώζει φύσιν. Ἠπάτηνται δὲ ἀπὸ τούτου, ὅτι εἰ ἀπῆν τοῦ ῥυθμοῦ, οὐδὲν ἂν τὸν λόγον ἔβλαπτε. πρὸς οὓς φήσομεν, ὅτι καὶ ἕτερα μυρία τοιαῦτά ἐςιν εὑρεῖν, ὥσπερ καὶ τὸ πρὸς κακοῦ ἐςι τὸ φρονεῖν. Τὸν γὰρ αὐτὸν λόγον ἔχει τὸ πρὸς, ἀργὸν δοκοῦν παρὰ τοῖς πολλοῖς·

Ib. Κατ' ἄνθρωπον] καθὼς ἀπαιτεῖ ἡ φύσις τῶν ἀνθρώπων·

Ib. Φρονεῖ] Διανοεῖται, πίπτει καὶ ἀπόλλυται.

773. Κεῖνος δ' ἀπ' οἴκων] τίνα πρὸς τὸν αὐτοῦ πατέρα Αἴας ἔφη, ὅτε πρὸς Τροίαν ἔμελλε πλεύσειν·

775. Αὐτὸν ἐννέπει] ποῦ μόνον πρὸς δοτικὴν τὸ ἐννέπω, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἅπαξ, ὥσπερ καὶ τὸ λέγω.

777. Ὁ δ' ὑψικόμπως] παρατήρει κἀνθάδε τὴν προσθήκην τοῦ ποιητοῦ, ὅτι προσῆψε τῷ Αἴαντ', γλωσσαργίαν, μονονουχὶ θεραπεύων τὸν θεατὴν μὴ ἄχθεσθαι τῇ συμφορᾷ τοῦ Αἴαντος. Προσῳκειωμένοι γὰρ ἤδη τῇ ἀρετῇ αὐτοῦ σχεδὸν καὶ τῷ ποιητῇ ὀργίζονται.

778. Ὁμοῦ] Τὸ ὁμοῦ ἀντὶ τῆς σύν. Τὸ δὲ ἑξῆς, θεοῖς ὁμοῦ.

780. Πέποιθα]

Κείνων, πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
Τοσόν δ' ἐκόμπει μῦθον· εἶτα δεύτερον
Δίας Ἀθάνας, ἡνίκ' ὀτρύνουσά νιν
Ηὔδατ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
Τότ' ἀντιφωνεῖ δεινὸν ἄῤῥητόν τ' ἔπος,
Ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
Ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
Τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
Ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.
Ἀλλ' εἴπερ ἐστὶ τῇδε θ' ἡμέρᾳ, τάχ' ἂν
Γενοίμεθ' αὐτοῦ σὺν θεῷ * σωτήριοι †.
Τοσαῦθ' ‡ ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
Πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. Εἰ δ' ἀπεστερήμεθα,
Οὐκ ἔστιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
ΧΟΡ. Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,

* Turn. in marg. θεοῖς. † Ald. σωτήριοι. ‡ Ald. τοιαῦθ'.

780. Πέποιθα] ὥσπερ κανονίζεται τὸ εἴκω, ὁ μέλλων εἴξω. Ὁ παρακ· εἶχα. Ὁ μέσος, οἶκα, καὶ πλεονασμῷ τοῦ ε, ἔοικα, καὶ εἴδω, εἴσω, εἶκα, οἶδα, καὶ λείπω, λείψω, λέλειφα, λέλοιπα. Οὕτω καὶ πείθω, πείσω, πέπεικα, πέποιθα.

781. Εἶτα δεύτερον] τοῦτο πρὸς, τὸ ἄνους καλῶς λέγοντος, ἀποδίδοται. Ἤγουν, τοῦ πατρὸς καλῶς λέγοντος, ἄνους ἐφωράθη. Εἶτα δεύτερον τῆς δίας Ἀθάνας λεγούσης δηλονότι, ἄνους εὑρέθη.

784. Τότ' ἀντιφωνεῖ] τὸ τότε ἐπανάληψίς ἐστι τῶν προλαβόντων· ὥστε οὐκ ἐπὶ τῆς δίας Ἀθάνας δεῖ λέγειν, ἀλλὰ λεγούσης τῆς Ἀθηνᾶς τὰ καὶ τὰ τότε, καθ' ὃν δηλονότι καιρὸν ἐκείνῳ ταῦτα ἐνετέλλετο.

786. Ἴστω] ἴστασο.

Ib. Καθ' ἡμᾶς δ'] ἡ καθ' ἡμᾶς μάχη.

Ib. Ἐκρήξει] ἤγουν, σχίσμα ποιήσει.

787. Ἀστεργῆ] ἀμάλακτον ἀδιάθετον.

788. Οὐ κατ' ἄνθρωπον] ἤγουν, κατὰ φύσιν ἀνθρώπου.

789. Ἀλλ' εἴπερ ἐστὶ] ἀντὶ τοῦ, περίεστιν, ἤγουν ζῇ.

Ib. Ἀλλ' εἴπερ ἐστὶ] εἰ παρέλθοι ταύτην τὴν ἡμέραν, σωθείη ἄν. Μέχρι γὰρ τῆς σήμερον παρατείνειν τὴν ὀργὴν τῆς θεοῦ ἔλεγεν.

790. Σὺν θεῷ] ἤγουν, μετὰ τῆς βοηθείας τοῦ θεοῦ.

Ib. Σωτήριοι] ἤγουν, σωτηριώδεις, χρήσιμοι εἰς τὴν αὐτοῦ σωτηρίαν.

791. Ὁ δ' εὐθὺς ἐξ ἕδρας] ἅμα μὲν διὰ τὸ ἀξιόπιστον τοῦ προσώπου, ἅμα δὲ ὡς μὴ δοκοίη δι' ἀπέχθειαν ταῦτα λέγειν. Διὰ πάντων καὶ διδάσκει ὅτι κρατεῖ τῶν ἀνθρωπίνων ἡ εἱμαρμένη. Καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστιν, οὐ μὴν φυλάξασθαι δυνατόν.

795. Ὦ δαΐα Τέκμησσα] δαΐον κοινῶς τὸ πολέμιον, Ἀττικῶς δὲ τὸ δύστηνον. Τίνος δὲ ἕνεκεν οὐκ ἐποίησεν ἐξιοῦσαν τὴν Τέκμησσαν; ἵνα

μετὰ

Ὅρα μολοῦσα τόνδ᾽, ὅποι᾽ ἔπη θροεῖ·
Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
ΤΕΚ. Τί μ᾽ αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
Κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
ΧΟΡ. Τοῦ δ᾽ εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ᾽ ἐγώ.
ΤΕΚ. Οἴμοι, τί φὴς, ἄνθρωπε *; μῶν ὀλώλαμεν;
ΑΓΓ. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν· Αἴαντος δ᾽ ὅτι

* Aldus, ὦ ᾽νθρωπε.

μετὰ τοῦ χοροῦ ἀκούσῃ τὰ περὶ τοῦ Αἴαντος· ὡς ἐν τοῖς ἄλλοις δράμασιν, ἔν τε Ἠλέκτρᾳ καὶ Οἰδίποδι ἅμα τῷ χορῷ τὰς τῶν γυναικῶν προόδους ποιεῖ, ἵνα μὴ δισσολογῶσιν οἱ ἄγγελοι. Ῥητέον οὖν ὅτι ὁ Αἴας ἐκέλευσεν αὐτὴν κατ᾽ οἶκον εὔξασθαι τοῖς θεοῖς, εἰπὼν, καὶ δῶμ᾽ ἀπάκτου. Οὐδὲ μὴν αἰχμαλώτου σχῆμα ἔχουσαν ἔδει συνεχῶς ἐξιέναι, μάλιστα ἐν τοιούτῳ καιρῷ ἠγρυπνηκυῖαν, καὶ παρακολουθηκυῖαν τῇ τοῦ Αἴαντος μανίᾳ. Ἔδει οὖν μέγα τι φανῆναι τὸ ἐξάγον αὐτήν. Διὸ πρὸς τὸν χορὸν ἔδεισε πρῶτον εἰπεῖν. Ἢ ὡς ἐπὶ μεγάλῃ προφάσει ἐκκαλοῦσιν αὐτήν· ἄλλως τε οἱ ἀπὸ τοῦ χοροῦ οἰκειότεροί εἰσιν, ὡς πολῖται τοῦ Αἴαντος. Ὥστε καὶ ὁ ἄγγελος καλῶς οὐκ ἐζήτησε μεῖζον πρόσωπον, ἀλλὰ τὸν Αἴαντα οὐ καταλαβὼν ἔνδον, πρὸς τὸν χορόν φησιν. Εἰς ἀνάγκην δὲ γεγονὼς ὁ ποιητὴς τοῦ διλογῆσαι, οὐδαμοῦ προσκορὴς ἐγένετο, ἀλλὰ τὰ δεύτερα διὰ βραχέων ἐξήνεγκεν. Ἄλλως· ὦ δαΐα· δηΐα πεπονθυῖα. Ἢ κατακεκομμένη καταπεπολεμημένη. κεκακωμένη. Ὦ δύστηνε. Ὦ πεπολεμημένη καὶ ἀθλία. Ἀτρεπὲς γὰρ πολεμίαν αὐτὴν ἀποκαλεῖν. Καὶ Αἰσχύλος ἀντὶ τοῦ ἀθλία κέχρηται τῇ λέξει.

796. Ὅρα μολοῦσα] ἤγουν σκόπει ἐλθοῦσα. Ὅμοιον δὲ, Ὅρα τιν᾽ ἤδη κρᾶτα καλύμμασι κρυψάμενον.

797. Ξυρεῖ γὰρ ἐν χρῷ] ἅπτεται τῶν ἀναγκαίων τοῦ χρωτός. Καὶ ἔστι παροιμία ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων, ξυρεῖ ἐν χρῷ. Ἐνίοτε γὰρ καὶ τοῦ σώματος ἐφάπτεται ὁ σίδηρος. Ἄλλως· μέχρι βάθους ἐφικνεῖται, ὥστε μὴ χαίρειν. Τὸ δὲ τινὰ παρέλκει.

Ib. Ξυρεῖ γὰρ ἐν χρῷ] παροιμία ἐπὶ τῶν εἰς βάθος ἁπτομένων λεγομένη, καὶ ἐπὶ τῶν ἐπικινδύνων πραγμάτων. Λέγεται δὲ καὶ οὕτως, Ἐν ξυρῷ ἵσταται τὸ πρᾶγμα.

798. Τί μ᾽ αὖ τάλαιναν] πρὸς τὸ Εὐριπίδειον ἐν Δίκτυι, "Τί μ᾽ ἄρτι πημάτων λελησμένην ὀρθοῖς;"

799. Ἀτρύτων] πολυτρύτων. Πάνυ καμόντων.

Ib. Ἐξ ἕδρας ἀνίστατε] ἐκεῖν διὰ τὸ κεκμηκέναι καὶ ἀναπαύσεως δέεσθαι, ἔνδον διέτριβε. Καὶ τὴν πρόφασιν τοῦ μὴ προϊέναι διασαφεῖ.

801. Ἤλγησ᾽] ἀλγεινῶς ἤκουσα.

802. Τί φὴς, ἄνθρωπε] περιπαθῶς ἀναβοᾷ πυθομένη ὅτι ἀγγέλλει τις νεώτερόν τι περὶ τοῦ Αἴαντος. Ἴδιον δὲ τῶν φίλων τὸ τὰ χείρω ἀεὶ ὑπονοεῖν.

Ib. Τῶν ὀλώλαμεν] τοιαῦτα γὰρ ἔλεγεν, ὅτι συναπολοῦμαί σοι, ἐὰν σὺ ἀποθάνῃς.

803. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν] ἀντὶ τοῦ, τὴν τύχην, ἤγουν εὐπραγίαν, ἢ δυσπραγίαν. Πρὸς δὲ τὸ μῶν ὀλώλαμεν; ἐπήγαγεν ὁ ἄγγελος περὶ τοῦ Αἴαντος μόνου. Οὐ γὰρ τοιοῦτός ἐστιν ὁ καιρὸς, ὥστε σοφίζεσθαι, καὶ τὰς φωνὰς ἐξετάζειν. Καλῶς δὲ τὸ θαρσῶ. Οὐδὲ γὰρ αὐτὸς οἶδεν, ἀλλ᾽ ἀπὸ τῶν λόγων τοῦ Κάλχαντος ἀγωνιᾷ φησίν.

803. Ὅτι θυραῖος] τοῦτό φησι διότι παρ᾽ αὐτῶν ἤκουσε. Τὸ δὲ εἴπερ ἐστιν, ἀντὶ τοῦ εἴπερ ἀληθῶς ἐστιν ἐκτός. Οὐ γὰρ οἶδε σαφῶς. Λέγει δὲ καὶ οὕτω, οὐ θαρσῶ δὲ περὶ τοῦ Αἴαντος, εἴπερ ἐστι, τουτέστιν ἐὰν ζῇ, ὅτι θυραῖός ἐστιν· ἢ (ὅπερ καὶ κρεῖττόν μοι δοκεῖ) οὕτω λέγει οὐκ οἶδα καὶ οὐ γινώσκω τὴν σὴν πρᾶξιν,

Θυραῖος εἴπερ ἐςιν, οὐ θαρσῶ πέρι.
ΤΕΚ. Καὶ μὴν θυραῖος, ὥςτέ μ' ὠδίνειν, τί φής;
ΑΓΓ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
Σκηνῆς ὕπαυλον, μηδ' ἀφιέναι μόνον.
ΤΕΚ. Ποῦ δ' ἐςὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;
ΑΓΓ. Πάρεςι κεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
Ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
ΤΕΚ. Οἴ μοι τάλαινα, τοῦ ποτ' ἀνθρώπων μαθών;
ΑΓΓ. Τοῦ Θεςορείου μάντεος καθ' ἡμέραν
Τὴν νῦν, ὅτ' αὐτῷ θάνατον ἢ βίον φέρει.
ΤΕΚ. Οἲ ἐγὼ, φίλοι, πρόςτητ' ἀναγκαίας τύχης·
Καὶ σπεύσαθ' οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν·
Οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους *

* Ald. Turn. in marg. ἀνθηλίους.

ξιν, ἤγουν ἥνπερ λέγεις σὺ πρᾶξιν τοῦ Αἴαντος. Οἶδα δὲ καὶ γινώσκω, ὅτι οὐ θαρσῶ περὶ τοῦ Αἴαντος, εἴπέρ ἐςι καὶ ὑπάρχει θυραῖος, καὶ ἐκτὸς τῆς σκηνῆς. Ἐπεὶ δὲ ἀμφιβόλως τὸ εἴπερ εἴρηκε, βεβαιοῦσα ἡ Τέκμησσα ὅτι ἔξω ἐςὶ τῆς σκηνῆς, φησὶ, καὶ μην θυραῖός ἐςι.

804. Οὐ θαρσῶ πέρι] τοῦ Αἴαντος δὲ οἶδα δηλονότι, ὅτι εἴπέρ ἐςι θυραῖος, ἤγουν ἐκτὸς, καὶ δηλοῖ ςάσιν. Θύραζε δὲ, ἀντὶ τοῦ εἰς τὸ ἔξω· Θύραθεν ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τῶν ἐκτὸς εἰς τὰ ἔσω.

805. Ὠδίνειν] ἀντὶ τοῦ ὀδυνᾶσθαι, ἀλγεῖν. Ἐμφατικῶς δὲ τὸ ὠδίνειν· Οἰκεῖον γὰρ γυναικί· χαλεπώτατον δὲ τῶν γυναικείων πόνων ἡ ὠδίς.

806. Ἐξεφίεται] ἀντὶ τοῦ ἐφίεται, ἤγουν ἐντέλλεται.

807. Ὕπαυλον] ἐνδόμυχον. Ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς.

810. Ὀλεθρίως] ἀντὶ τοῦ ὀλεθρίαν, τὸ δὲ φέρειν τουτέςι δέχεσθαι.

811. Οἴ μοι τάλαινα] ἐρώτησις. Παρὰ τίνος τῶν ἀνθρώπων μαθὼν ὁ Τεῦκρος, ἐλπίζει φέρειν καὶ δέχεσθαι τὴν ἔξοδον τήνδε τοῦ Αἴαντος ὀλεθρίαν; Ἀπόκρ. Παρὰ τοῦ υἱοῦ τοῦ Θέςορος, κατὰ τὴν παροῦσαν ἡμέραν. Ἥτι ἡ παροῦσα, ἡμέρα δηλονότι, φέρει θάνατον αὐτῷ τῷ Αἴαντι, ἢ ζωήν.

812. Καθ' ἡμέραν τὴν νῦν] ἀμφιβόλως, ἤτοι μαθὼν τὴν νῦν ἡμέραν, ἢ ὅτι κατὰ τὴν νῦν ἡμέραν τεθνήξεται.

813. Ὅτ' αὐτῷ θάνατον ἢ βίον] εἰ μὲν ἔνδον μένει, σωθήσεται· εἰ δὲ μὴ ἀπόλλυται. Διὰ τοῦτο δὲ τὸ διττὸν τοῦ μοιριδίου δηλοῖ· ὡς καὶ Ὅμηρος·

“ Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέ-
“ λοσδε.”

814. Πρόςτητ' ἀναγκαίας τύχης] ἤγουν τοῦ παρόντος καιροῦ, οὗ ἀναγκαῖόν ἐςι προςτῆναι. Διὰ τὸ ἐπὶ ξυροῦ ἡμῖν τὰ πράγματα ἵςασθαι.

815. Οἱ μὲν Τεῦκρον] πιθανῶς καὶ Τεῦκρον μεταπέμπεται, ἵνα μὴ δεήσῃ ἄγγελον πέμπειν, ὅτ' ἐντύχωσι τῷ σώματι.

Ib. Ἐν τάχει] ἀντὶ τοῦ ταχέως· καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων. Ἐπὶ τοῦ αὐτοῦ.

816. Ἑσπέρους] δυτικούς.

Ib. Ἀνθηλίους]

Ζητεῖτ᾽ ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
Καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
Οἴμοι, τί δράσω, τέκνον; οὐχ ἱδρυτέον.
Ἀλλ᾽ εἶμι κἀγὼ κεῖσ᾽ ὅποι περ ἂν σθένω.
Χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
Σώζειν θέλοντες ἄνδρα γ᾽ ὃς σπεύδει θανεῖν.
ΧΟΡ. Χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον·
Τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ᾽ ἕψεται.
ΑΙΑ. Ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος

Ib. Ἀγκῶνας] τὰς ἄκρας τῶν ὀρῶν τὰς πρὸς δύσιν.

Ib. Ἀνθηλίους] ἐῴους, τοὺς ἀντικρὺ τῆς ἀνατολῆς τοῦ ἡλίου.

Ib. Οἱ δ᾽ ἀντηλίους] τὸ ἀντηλίους ἀπὸ τοῦ ἀντολίους γέγονε, κατὰ τροπὴν τοῦ ο εἰς η, ὥσπερ καὶ τὸ φυτοκόμος φυτηκόμος. Τοῦτο δὲ διὰ τὸ μέτρον οὕτω γέγονεν. Οὐ χρὴ τοίνυν ἀντολίους γράφειν· μακρὰ γὰρ ὀφείλει εἶναι ἡ συλλαβὴ αὕτη. Ἀλλ᾽ οὐδὲ πάλιν ἀνθηλίους, ὡς ἐν τισὶ τῶν βιβλίων εὕρηται, οὐ γὰρ ἀπὸ τοῦ ἥλιος γίνεται, ἀλλ᾽ (ὡς εἴρηται) κατὰ τροπὴν τοῦ ο εἰς η.

818. Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη] οἶδα, δι᾽ ὧν εὐνοϊκῶς ἔπραξα εἰς αὐτὸν, καταφρονήσας ἠπάτησέ με.

819. Τῆς παλαιᾶς] ἤγουν τῆς τῶν πολλῶν ἐτῶν ἀποδοχῆς.

820. Οἴμοι, τί δράσω] περιπαθῶς ἐφάψασθαι τῆς ζητήσεως καὶ τῷ τέκνῳ κελεύει, καὶ ὥσπερ ἀπολογουμένη ὅτι καταλιμπάνει αὐτόν· φησὶν οὖν, ἐν ἀπόρῳ γενομένη, τί δράσω; οἷον, πῶς μόνον σε καταλίπω.

Ib. Οὐχ ἱδρυτέον] οὐκ ἄξιον καθέζεσθαι.

821. Ὅποι πὲρ ἂν σθένω] οἷον, τῆς προθυμίας οὐδὲν ἐλλείψω, καὶ εἰ τῷ σώματι ἀδυνατῶ.

822. Ἐγκονῶμεν] ἤγουν σπεύδωμεν. Τὸ ἐγκονεῖν λέγουσιν ἀντὶ τοῦ σπεύδειν, ἐπεὶ οἱ μετὰ σπουδῆς πορευόμενοι κόνιν ἐγείρουσιν.

Ib. Οὐχ ἕδρας ἀκμὴ] ἤγουν καθέδρας, ἀναπαύσεως καιρός ἐστιν.

823. Σώζειν θέλοντες ἄνδρα γ᾽] τουτέστιν, θέλοντες φυλάξαι ἐκ τοῦ κινδύνου τὸν Αἴαντα.

824. Χωρεῖν ἕτοιμος] μετακινεῖται ἡ σκηνὴ τοῦ χοροῦ ἐξελθόντος· ἀναγκαία δὲ ἡ ἔξοδος, ἵνα εὕρῃ καιρὸν ὁ Αἴας χειρίσασθαι ἑαυτόν.

825. Τάχος γὰρ ἔργου] ἤγουν, ἅμα γὰρ ἕψεται, ἀντὶ τοῦ συνδραμεῖται τάχος ἔργου καὶ ποδῶν· ἤγουν πορείας, Τουτέστι καὶ ταχέως ἅψομαι τοῦ ἔργου, καὶ ταχέως ἐργάσομαι αὐτό.

826. Ὁ μὲν σφαγεὺς ἕστηκεν] μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος, ῥῆσιν τινὰ πρὸ τοῦ θανάτου προφέρεται. Ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. Ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια. Εἰώθασι γὰρ τὰ πεπραγμένα δι᾽ ἀγγέλων ἀπαγγέλλειν. Τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρήσσαις "τὴν "ἀναίρεσιν Αἴαντος δι᾽ ἀγγέλου ἀπαγγείλας." Ἴσως οὖν καινοτομεῖν βουλόμενος, καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέροις, ὑπ᾽ ὄψιν ἔθηκε τὸ δρώμενον. Ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος. Εἰκῆ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον. Πήξας δὲ τὸ ξίφος ταῦτά φησι. Σφαγέα δὲ λέγει, ἢ τὸν καιρὸν τοῦ ἀποθανεῖν, ἢ τὸ εἰς σφαγὴν ξίφος.

Ib. Ἢ τομώτατος] ἀντὶ τοῦ ὅπου. Πρέπον γὰρ ἂν εἴη τῷ ἀπηυδηκότι, ἀλογίστως ἰέναι ἐπὶ τὸ προκείμενον. Ἕπεται δὲ τῷ λόγῳ, ὅτι τοῖς καρτερικοῖς καὶ ἅπαξ κρίνασι περί τινος, οὐ γίνεται ἀναβολὴ, οὐδὲ μετάνοια. Ὥσπερ δὲ ἀποδίδοται τὸ ὡς πρὸς τὸ οὕτω καὶ τὸ ἐπίρρημα πρὸς τὸ ταύτῃ ἐπίρρημα.

Γένοιτ' ἂν, εἴτῳ καὶ λογίζεσθαι σχολή.
Δῶρον μὲν ἀνδρὸς Ἕκτορος, ξένων ἐμοὶ
Μάλιϛα μισηθέντος ἐχθίϛȣ θ' ὁρᾷν·
Πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρωάδι,
Σιδηροϐρῶτι θηγάνῃ νεηκονής.
Ἔπηξα δ' αὐτὸν εὖ περιϛείλας ἐγὼ
Εὐνȣ́ϛατον τῷδ' ἀνδρὶ διὰ τάχȣς θανεῖν.
Οὕτω μὲν εὐσκευȣ̃μεν· ἐκ δὲ τῶνδέ μοι
Σὺ πρῶτος, ὦ Ζεῦ (καὶ γὰρ εἰκὸς) ἄρκεσον.
Αἰτήσομαι δέ σ' ȣ̓ μακρὸν γέρας λαϐεῖν,
Πέμψόν τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαϛάσῃ
Πεπτῶτα τῷδε περὶ νεοῤῥάντῳ ξίφει,
Καὶ μὴ πρὸς ἐχθρῶν τȣ κατοπτευθεὶς πάρος
Ῥιφθῶ κυσὶ πρόϐλητος, οἰωνοῖς θ' ἕλωρ.

827. Εἴτῳ καὶ λογίζεσθαι] ὅμοιον τῷ, ἵνα τὶ καὶ παραθεωρήσω, καὶ εἰ δεῖ τȣ̃το εἰπεῖν, καὶ τοῖς τοιȣ́τοις, ἃ λέγεται ὅτε ἀνακύψει τὶ καὶ προαρπάσει τȣ̃το ὁ νȣ̃ς. Εὐθὺς γὰρ ἐπάγεται ταῦτα, ἵνα δηλώσῃ ὅτι καὶ ἕτερόν τι ἀνέκυψεν, ὅπερ ȣ̓κ ἦν ἐν τῇ γνώμῃ τȣ̃ προκειμένȣ σκοπȣ̃· Ἐμφαίνει δὲ ταῦτα εὐπορίαν τȣ̃ λέγοντος, ὡς μεταξὺ δύνασθαι σχεδιάζειν παρέργως καὶ ἑτέρας ἐπιϐολάς.

829. Μάλιϛα μισηθέντος] μεγαλόφρων ὁ Αἴας, καὶ μέχρις ἐσχάτης ὥρας μισῶν τȣ̀ς βαρϐάρȣς. Ὅτι δὲ δῶρον εἶπεν, ξένιον ἐπήνεγκε. Ξένιον γὰρ λέγομεν τὸ δῶρον τὸ παρὰ ξένων διδόμενον. Εἶτα προσέθηκεν, ἐμοὶ μάλιϛα μισηθέντος.

Ib. Ἐχθίϛȣ θ' ὁρᾷν] ἐμοὶ δῆλον εἰς τὸ ὁρᾷν, ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν, ἤγȣν εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτȣ̃.

830. Πέπηγε δ' ἐν γῇ] πρόδηλον μὲν, ὅμως διὰ τὸ περιπαθὲς, ὅτι ἐν πολεμίᾳ γῇ ὑπὸ δυσμενȣ̃ς ἀπόλλυμαι.

831. Θηγάνῃ] ἀκόνῃ. Ὅθεν καὶ θήγειν, τὸ ἀκονᾷν.

832. Περιϛείλας] εὐτρεπίσας. διαχειρισάμενος. Περισφίγξας ἐν τῇ γῇ.

833. Εὐνȣ́ϛατον τῷδ' ἀνδρὶ] οἱ μὲν τὸ εὐνȣ́ϛατον πρὸς τὸ σφαγεα φασίν· οἱ δὲ ϛίζȣσιν εἰς τὸ ἐγὼ, καὶ τὸ ἑξῆς κομματικὸν ἐκφέρȣσιν, ȣ̓δέτερον τὸ εὐνȣ́ϛατον νοȣ̃ντες πρὸς τὸ θανεῖν.

836 Οὐ μακρὸν γέρας λαχεῖν] ȣ̓ μεγάλȣ δώρȣ τυχεῖν, λαχεῖν κυρίως τὸ ἀπὸ κλήρȣ τυχεῖν. Ἐνταῦθα δὲ ἁπλῶς ἀντὶ τȣ̃ τυχεῖν. Συντάσσεται δὲ τὸ μὲν λαχεῖν αἰτιατικῇ, τὸ δὲ τυχεῖν γενικῇ.

838. Φέροντα] ἀντὶ τȣ̃ οἴσοντα. Φάτιν δὲ, τὴν ἀγγελίαν.

839. Πεπτῶτα] περιπεπτωκότα, κατὰ συγκοπὴν ἀπὸ τȣ̃ πεπτωκότα.

Ib. Νεοῤῥάντῳ] προσφάτῳ. Ἢ τῷ δι' ὀλίγȣ ῥαντισθησομένῳ ὑπὸ τȣ̃ αἵματος.

839. Περὶ νεοῤῥάντῳ ξίφει] ἤγȣν τῷ νεωϛὶ ὑφ' αἵματος ῥανθέντι. Λέγει δὲ τȣ̃το ὅσον πρὸς τὸν καιρὸν καθ' ὃν ἔμελλε Τεῦκρος αὐτὸν βαϛάσειν. Τότε γὰρ νεόῤῥαντον ἦν.

841. Ῥιφθῶ] ἀντὶ τȣ̃ ῥιφῶ· Ὡς ἐπιτοπλεῖ-

ϛον,

Τοσαῦτά σ', ὦ Ζεῦ, προτρέπω*· καλῶ δ' ἅμα
Πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
Ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
Πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
Καλῶ δ' ἀρωγὲς τὰς ἀεί τε παρθένες,
Ἀεί θ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
Σεμνὰς Ἐρινῦς, τανύποδας· μαθεῖν ἐμὲ
Πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
Καί σφας κακὲς κάκιςα καὶ πανωλέθρες
Ξυναρπάσειαν· ὥσπερ εἰσορῶσ' ἐμὲ

* Turn. in marg. προστρέπω.

ςον, ὅτε εἰσὶν οἱ εἰς ην παθητικοὶ δεύτεροι ἀόριςοι ἐν χρήσει, οἱ παθητικοὶ πρῶτοι ἀόριςοι ἄχρηςοι εἰσὶν, εἰ μὴ παρὰ ποιηταῖς. Οἷον ῥίπτω, ῥίψω, ἔῤῥιψα, ἐῤῥίφην, ἐῤῥίφθην. Φαίνω ἐφάνην, ἐφάνθην.

Ib. Οἰωνοῖς] ὄρνισιν. Κυρίως δὲ οἱ γῦπες.

842. Τοσαῦτά σ', ὦ Ζεῦ] γράφεται τοιαῦτα.

Ib. Προτρέπω] κατευτικῶς λέγω. Προστρόπαιοι γὰρ οἱ ἱκέται.

843. Πομπαῖον] τὸν ψυχοπομπόν.

Ib. Εὖ με κοιμίσαι] θαυμαςῶς καὶ γενναίως κοιμίσαι εἶπεν ὡς ἐπὶ ὕπνε τὸν θάνατον. καὶ Ὅμηρος·

"Κοιμίσατο χάλκεον ὕπνον."

844. Ξὺν ἀσφαδάςῳ] ἀσκαρίςῳ καὶ σπασμὸν μὴ ἔχοντι· ἀντὶ τῷ συντόμῳ. Ὅπως καιρίας τῆς πληγῆς γιγνομένης, μὴ προσγενέσθαι σπασμὸν, μηδὲ πολλὴν ἐν τῷ θανάτῳ διατριβήν. Καὶ παρ' Εὐριπίδῃ,

"Ὁ δ' ἐσφάδαζεν, ὐκ ἔχων ἀπαλλαγάς."

Σφαδάζειν ἔλεγον τὸ σπᾶσθαι καὶ σφακελίζειν. Παραδεδομένε δὲ κατὰ ἱςορίαν, ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτὸς, διὰ τὸ τὴν Ἡρακλέα, τῇ λεοντῇ αὐτὸν σκεπάσαντα, κατὰ τῦτο τὸ μέρος ἀσκέπαςον ἐᾶσαι, διὰ τὸν γωρυτὸν, ὃν περιέκειτο. Φησὶ δὲ περὶ αὐτῦ Αἰσχύλος, ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο ὐδαμῆ ἐνδιδόντος τῦ χρωτὸς τῇ σφαγῇ, Τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησὶ, παρῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. Ὁ δὲ Σοφοκλῆς, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρῳ μὴ βελη θεὶς, ὐ μὴν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησὶ πλευρὰν ἀναῤῥήξαντα τῷδε φασγάνῳ, κατὰ τί τὴν πλευρὰν, μὴ εἰπών.

846. Τὰς ἀεί τε παρθένες] μυθικόν ἐςι τὸ λέγειν τὰς Ἐριννύας ἀεὶ παρθένες. Νῦν δὲ τὰς ἀδωροδοκήτες, καὶ ὐχὶ κρανθῆναι δώροις δυναμένας ὑπὸ τῶν ἀδικέντων.

847. Ἀεί θ' ὁρώσας] ἀντὶ τῦ ἐφορώσας ἐκδικέσας τὰ ἀνθρώπινα πάθη.

848. Τανύποδας] τὰς ἀκοπιάςως ἐπιέσας. Συναπτέον δὲ τῷ μαθεῖν τὸ τανύποδας. Οἷον ταχέως μαθεῖν τὸ κατ' ἐμὲ, καὶ μὴ ἀμελῆσαι, ἐπεξελθεῖν τὸν ἐμὸν φόνον· τὸ γὰρ τεῖναι τὲς πόδας, ἐςὶ τὸ βαδίσαι. Ἢ καθ' ἑαυτὸ τὸ τανύποδας λεκτέον, τὰς πανταχῦ τεινέσας τὲς πόδας.

850. Πανωλέθρες] ἀντὶ τῦ πανολεθρίες, τετέςι παντελεῖ καὶ καθολικῷ ὀλέθρῳ.

851. Συναρπάσειαν] ἀντὶ τῦ ἀναρπάςες ὁμῦ ποιήσειαν. Ἀναρπάςος δὲ ὁ αἰφνιδίως ἀποθανών.

Ib. Ξυναρπάσειαν] ἡ ἀκολεθία τῦ λόγε συναρπάσαι ἀπῄτει πρὸς τὸ μαθεῖν· ἀλλ' ἐπειδὴ εὐχῆς ἐςιν ὁ λόγος, εἰς εὐκτικὸν ἔφερε. Διὰ

Αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
Πρὸς τῶν φιλίϛων ἐκγόνων ὀλοίατο.
Ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες,
Γεύεσθε, μὴ φείδεσθε πανδήμȣ ϛρατȣ̃.
Σὺ δ' ὦ τὸν αἰπὺν ȣ̓ρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
Ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
Γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
Ἦ πȣ τάλαινα τήνδ' ὅταν κλύῃ φάτιν,
Ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
Ἀλλ' ȣ̓δὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
Ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
Ὦ θάνατε, θάνατε, νῦν μ' ἐπίσκεψαι μολών.
Καίτοι σὲ μὲν κἀκεῖ προϛαυδήσω ξυνών·

τȣ̃το δὲ καὶ κομματικὸν καὶ ἀσύνδετον ἐποίησε τȣ̃το, διὰ τὸ εἶναι εὐχήν· τὰς γὰρ εὐχὰς ȣ̃τω ποιεῖσθαι εἰώθαμεν ἀπορȣ̃σι δὲ πῶς αὐτοσφαγεῖς εἰπὼν, εἶτα ἐπιφέρει, πρὸς τῶν ἐκγόνων· καὶ φαμὲν ὅτι ȣ̓δέν ἐϛιν ἐναντίωμα τῷ λόγῳ· εἴγε ἐκεῖνοι μὲν τȣ̀ς παῖδας ἔσπειραν, ȣ̃τοι δὲ αὐτȣ̀ς ἀναιρήσȣσιν.

852. Αὐτοσφαγῆ] αὐτοχειρίᾳ σφαγῆ. Ἔϛι δὲ ἀντὶ τȣ̃ ἐπιῤῥήματος.

Ib. Τὼς αὐτοσφαγεῖς] τȣ̃το ἀπέβη τῷ Ἀγαμέμνονι. Ὑπὸ γὰρ τῶν φιλτάτων ἀπώλετο. Ταῦτα δὲ νοθεύεσθαί φησιν, ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων.

853. Πρὸς τῶν φιλίϛων] παρὰ τῶν φιλτάτων· ἢ πρὸ τῶν φιλίϛων, ἤγȣν ἔμπροσθεν.

Ib. Ὀλοίατο] ὄλοιντο· ἀφανισθεῖεν.

854. Ἴτ', ὦ ταχεῖαι] τὸ ὦ πρὸς τὸ Ἐριννύες συντακτέον. Κρεῖττον γὰρ τȣ̃το, εἰ καὶ δοκεῖ τινὰ ἔχειν λόγον καὶ πρὸς τὸ ταχεῖαι συντάσσεσθαι.

855. Γεύεσθε] τὸ ἑξῆς, γεύεσθε πανδήμȣ ϛρατȣ̃, μὴ φείδεσθε.

856. Σὺ δ' ὦ τὸν αἰπὺν ȣ̓ρανὸν] ὑπερβολικῶς· εἰώθασι γὰρ περὶ τῶν δεινῶν λέγειν, ὅτι ἐπικαλυψάμενος ὁ ἥλιος τὰ τοιαῦτα παρέρχεται. Ὁ δὲ πρὸς τὸν ἥλιον φησὶ, καὶ ἀπάγγειλον ἐποπτεύσας τοῖς γονεῦσι τὰ πεπραγμένα.

858. Ἐπισχὼν] κωλύσας, τῆς πορείας. Τὴν ἡνίαν δὲ ἀντὶ τȣ̃ ἅρμα.

860. Τῇ τε δυϛήνῳ τροφῷ] καὶ ταῦτα περιπαθῆ καὶ ἀνθρώπινα· ὅρα γὰρ ὅτι καὶ Ἡρακλῆς ἐπὶ τȣ̃ θανάτȣ τὴν μητέρα μεταπέμπεται, ὅπȣ καὶ πάνυ οἰκτρῶς αὐτὴν ἀνακαλεῖ. Καλεῖ δὲ τὴν τάλαιναν· ὡς ἀντιλαμβανόμενος δὲ ἑαυτȣ̃, ἐπάγει. Ἀλλ' ȣ̓δὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην. Ἄλλως· οἱ μὲν, τῇ θρεψαμένῃ, οἱ δὲ καὶ ἐπὶ τὸ σαφέϛερον.

861. Ἦ πȣ] ὄντως.

862. Ἥσει] ἀφήσει. Ὁ δὲ κωκυτὸς καὶ ὁ γόος, ποιαὶ φωναί.

864. Ἀρκτέον] ἤτοι ἄξιον ἀρχὴν λαβεῖν τὸ πρᾶγμα· Ἔϛι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' ȣ̓κ ἐπίῤῥημα· τὰ μὲν γὰρ ȣ̃τω προφερόμενα ἐπιῤῥήματα, ἐνεργητικὴν ἔχȣσι τὴν σημασίαν. Τὰ δὲ ὀνόματα, παθητικήν.

Σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
Καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω
Πανύςατον δὴ, κἄποτ' αὖθις ὕςερον.
Ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑςίας βάθρον,
Κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
Κρῆναί τε, ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
Πεδία προσαυδῶ· χαίρετ', ὦ τροφεῖς ἐμοὶ,
Τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕςατον θροεῖ·
Τὰ δ' ἄλλ' ἐν ᾅδου τοῖς κάτω μυθήσομαι.
ἩΜΙ. Πόνος πόνῳ πόνον φέρει.
Πᾶ πᾶ γὰρ οὐκ ἔβαν ἐγώ;
Κοὐδεὶς ἐπίςαταί με συμμαθεῖν τόπος.
Ἰδοὺ, ἰδού· δοῦπον γὰρ κλύω * τινά.

* ALDUS, δοῦπον αὖ κλύω.

869. Πανύςατον] ἀντὶ τοῦ ὕςατον· τῶν ποιητῶν ἐςὶ τὸ προςτιθέναι τοῖς ὑπερθετικοῖς ἑτέρας ἐπιτάσεις, οἷον ὕςατον, πανύςατον. ἄριςον, πανάριςον.

870. Ὦ γῆς ἱερὸν πέδον] τῆς οἰκείας γῆς τῆς Σαλαμῖνος.

871. Πατρῷον] ἀντὶ τοῦ πατρῴας, ἤγουν κρηπὶς τῆς πατρῴας οἰκίας.

Ib. Ἑςίας βάθρον] δύναται καὶ τὸ κράτος νοεῖσθαι καὶ ὁ τόπος, καὶ ἡ βάσις τῆς ἑςίας.

872. Κλειναί τ' Ἀθῆναι] τῶν Ἀθηναίων μέμνηται διὰ τὴν συγγένειαν. Καὶ ὅτι ἐν Ἀθήναις ὁ ποιητὴς ἠγωνίζετο, ταῦτά φησιν, ἐπισπώμενος αὐτοὺς εἰς εὔνοιαν.

Ib. Σύντροφον γένος] οἱ ὁμήλικες.

873. Κρῆναί τε, ποταμοί θ' οἵδε] καὶ ἐν ἀρχῇ ἔφη, ἐν γῇ πολεμίᾳ τῇ Τρωάδι. Ἐπὶ δὲ τῷ τέλει, καὶ τὰς κρήνας καὶ τοὺς ποταμοὺς καλεῖ, παρ' οἷς μέλλει τελευτᾷν. Καὶ ἔςιν εὐσεβοῦς ἀνδρὸς ἐξευμενίζειν πρὸ τοῦ θανάτου θεοὺς, τόπους, χώραν, πατρίδα, ἀδελφοὺς, ὥςτε μετ' εὐμενείας ἀποθανεῖν. Ἴσως δὲ καὶ ἐπιμαρτυρόμενος λέγει.

874. Ὦ τροφεῖς ἐμοὶ] ἤγουν, ἀναθρεψάμενοί με, τουτέςιν οἱ γονεῖς.

875. Τοῦθ' ὑμὶν Αἴας] περιπαθῶς καὶ τὸ ὄνομα ἀνακαλεῖται· δεῖ δὲ ὑπονοῆσαι ὅτι περιπίπτει τῷ ξίφει, καὶ δεῖ καρτερόν τινα εἶναι τὸν ὑποκριτὴν, ὡς ἄξαι τοὺς θεατὰς εἰς τὴν τοῦ Αἴαντος φαντασίαν. Ὁποῖα περὶ τοῦ Ζακυνθίου Τιμοθέου φασὶν, ὅτι ἦγε τοὺς θεατὰς, καὶ ἐψυχαγώγει τῇ ὑποκρίσει, ὡς σφαγέα αὐτὸν κληθῆναι.

Ib. Θροεῖ] λέγει.

877. Πονὸς πόνῳ] βουλόμενος ὁ χορὸς δεῖξαι τὴν ὑπερβολὴν τοῦ κόπου ὃν ἔσχεν ἐπὶ ζητήσει τοῦ Αἴαντος, φησὶν ὅτι πόνον ἐπὶ πόνῳ προςτίθημι, καὶ οὐδαμῶς ὃ σπεύδω γίνεται. Λέγω δὴ, τὸ εὑρεῖν Αἴαντα.

879. Συμμαθεῖν τόπος] τὸ συμμαθεῖν ἀντὶ τοῦ σὺν ἐκείνῳ γνῶναι, τουτέςιν οὐδεὶς τόπος ἔχει τὸν Αἴαντα (τοῦτο γάρ ἐςι τὸ ἐπίςαται) ὥςτε ἐν τούτῳ εὑρεῖν με αὐτὸν κείμενον. Οἱ δὲ λέγοντες τὸ συμμαθεῖν ἀντὶ τοῦ διδάξαι, οὐκ ὀρθῶς λέγουσιν.

880. Ἰδοὺ, ἰδού] πιθανὰ ταῦτα, καὶ σχεδὸν τῆς ἀληθείας ἐγγύς. Τὸ δὲ δοῦπον, ἐλπίζοντες τῷ σώματι περιπεσεῖν.

ἩΜΙ. Ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
ἩΜΙ. Τί οὖν δή;
ἩΜΙ. Πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
ἩΜΙ. Ἔχεις οὖν;
ἩΜΙ. Πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
ἩΜΙ. Ἀλλ' οὐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου μολὼν
Κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τίς ἂν δή μοι, τίς ἂν
Φιλοπόνων ἁλιαδᾶν,
Ἔχων ἀΰπνους ἄγρας *,
Ἢ τίς Ὀλυμπιάδων
Θεῶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν
Ἴδρις, τὸν ὠμόθυμόν γε,
Εἴποθι πλάζοιτ', ἂν
Προσβλέπων ἀπύοι;
Σχέτλια γὰρ ἐμοὶ, τῶν

* Aldus, ἕδρας.

881. Κοινόπλουν ὁμιλίαν] ἢ συνναῦται, ἐπὶ τῆς αὐτῆς νηὸς πλεύσαντες. Ἢ τροπικῶς τὸν αὐτὸν ἡμῖν πλοῦν ἐσταλμένοι πρὸς τὴν ζήτησιν. ὁμιλίαν κλύη δηλονότι ἡμῶν τῆς κοινόπλου νηὸς, ἤγουν τοῦ ναυτικοῦ λαοῦ τοῦ ὁμοῦ ἡμῖν πλεύσαντος.

883. Πᾶν ἐστίβηται] ἤγουν, ὅλον τὸ ἑσπέριον μέρος τῶν νεῶν διώδευται.

886. Ἀλλ' οὐδ' ἐμοὶ δὴ] ἡ σύνταξις, ἀλλ' οὔ μοι δηλοῖ καὶ φαίνεται ὁ ἀνὴρ, ἤγουν ὁ Αἴας, μολὼν καὶ ἐλθὼν τὴν ἐφ' ἡλίου κέλευθον καὶ ὁδὸν, φανεὶς οὐδαμοῦ. Τοῦτ' ἔστιν, ἐπειδὴ οὐκ ἐνταῦθα εὕρηται, δείκνυται, ὡς οὐδ' ἐν τοῖς μέρεσι τούτοις ὥρμηται. Ἢ καὶ οὕτως, ἀλλ' οὐδ' ἐμοὶ δὴ, μολὼν (ἤγουν ἐλθὼν) ὁ ἀνὴρ τὴν ὁδὸν τὴν ἀπὸ τοῦ ἡλίου ἄγουσαν δηλονότι, φαίνεται οὐδαμοῦ. Τουτέστιν, ἐν οὐδενὶ τόπῳ φαίνεται.

887. Δηλοῖ] ἀντὶ παθητικοῦ δηλοῦται.

888. Τίς ἂν δή μοι] ἡ σύνταξις, τίς ἁλιεὺς, ἢ θεὸς, ἢ διατριβὴν περὶ τοὺς ποταμοὺς ποιούμενος, καὶ ἔμπειρος ὢν αὐτῶν, βλέπων τὸν Αἴαντα εἴπου πλάζοιτ', ἀπύοι ἂν καὶ φωνήσοι, καὶ εἴποι ἐμοὶ εἰ ἄρα πλάζεται καὶ οὐκ ἀπόλωλεν.

895. Εἴποθι] εἴποθι πλάζοιτ' ἂν, ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς κώλῳ.

896. Προσβλέπων ἀπύοι] λεύσσων ἀπύοι μοι, ἤγουν ἰδὼν εἴποι μοι καὶ μηνύσοι μοι, τὸν ὠμόθυμον Αἴαντα πλαζόμενον εἴποθι, ἤγουν πουποτε.

897. Σχέτλια γὰρ ἐμέ γε] δεινὰ γὰρ πράγματα

Μακρῶν πόνων οὐρίῳ
Μὴ πελάσαι δρόμῳ.
Ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

ΣΥΣΤΗΜΑ Α.

ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
ΤΕΚ. Ἰὼ τλήμων.
ΧΟΡ. Τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν οἴκτῳ τῷδε συγκεκραμένην.
ΤΕΚ. Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
ΧΟΡ. Τί δ' ἐστίν;
ΤΕΚ. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
Κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὤ, μοι * ἐμῶν νόσων·

ALDUS, Ἰώ μοι.

πράγματα ἐμὲ τὸν ἐπιπόνως πλανηθέντα, μὴ εὐθυδρομῆσαι εἰς τὸ τῆς ζητήσεως μέρος, καθὸ ὁ Αἴας ἐποιήσατο τὴν ἔφοδον. Τοῦτο γὰρ ἂν εἴη οὔριον.

898. Μακρῶν πόνων] περισσὸν ἦν κἀνταῦθα εἰς τὸ μακρῶν πόνων τὸ ἀλάταν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς. Σύντασσε δὲ οὕτω, σχέτλιόν ἐστιν ἐμοὶ (ἤγουν χαλεπὸν) μὴ πελάσαι καὶ πλησιάσαι δρόμῳ οὐρίῳ, τοῦτ' ἔστι τέλει εὐοδουμένῳ τῶν μακρῶν πόνων. Τέλει δὲ ὀφείλων εἰπεῖν, δρόμῳ εἶπεν, ἐπεὶ καὶ τὸ τέλος τοῦ δρόμου δρόμος ἐστί.

900. Ἀλλ' ἀμενηνὸν] ἐφ' ἑαυτοῦ, οὐκ ἐπὶ τοῦ Αἴαντος. Σχέτλια ἂν εἴη μὴ ἐπιτετυχηκέναι αὐτῷ, ἀλλ' ἠσθενηκέναι με τῇ ζητήσει.

901. Ἰώ μοι, μοι] εἰκότως οὐκ ἄλλον τινὰ ἢ τὴν Τέκμησσαν πεποίηκεν εὑρεῖν τὸν Αἴαντα, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς ἕτερος τοσοῦτον φροντίζει, ὅσον ἡ γυνὴ τοῦ ἰδίου ἀνδρος.

902. Πάραυλος] παρατεταμένη ἐγγὺς παρὰ τὴν αὐλήν. Ἢ θρηνητικὴ, παρὰ τοὺς αὐλούς.

903. Ἰὼ τλήμων] τοῦτο ἐν τῷ ἐμφανεῖ γενόμενον, ὅπερ δηλοῖ ὁ χορός. Ἄλλως· Τέκμησσα βοᾷ ἐπιτυχοῦσα τῷ σώματι. Φαίνεται δὲ οὐδέπω ἔνοπτος οὖσα τῷ χορῷ.

905. Οἰκτῷ] τῷ ὀδυρμῷ, ἤγουν σχετλιασμῷ.

Ib. Συγκεκραμένην] συμμεμιγμένην.

906. Διαπεπόρθημαι] ἤγουν, ἐκπεπολιόρκημαι. ἀπὸ μεταφορᾶς τῶν ἑαλωκότων φρουρίων.

907. Τί δ' ἐστίν] Πρὸς ὃ βλέπουσα θρηνεῖς καὶ πενθεῖς.

908. Νεοσφαγὴς] Ἤγουν πρὸ ὀλίγου ἐσφαγμένος.

909. Κρυφαίῳ] ἤγουν, λαθραίῳ· λάθρα ἐργασαμένῳ τὸν φόνον τῶν φίλων τοῦ Αἴαντος.

Ib. Κρυφαίῳ] τῷ λαθραίως τῶν φίλων γεγονότι· ἢ ἀποκεκρυμμένῳ εἰσδεδυκότι εἰς τὸ σῶμα· τὸ δὲ περιπτυχὴς, κυριώτατα μὲν ὠνόμασαι, ἡμῖν δὲ δυσμετάβλητον, τινὲς δὲ περικεκυλισμένως.

910. Ὤ, μοι ἐμῶν νόσων] ἐν πρώτοις περὶ ἑαυτῶν ὀλοφύρονται.

912. Τόνδε

Ὤ, μοι κατέπεφνες,
Ἄναξ, τόνδε τὸν συν-
ναύταν. Ὦ τάλας,
Ὦ ταλαῖφρον * γύναι.

ΣΥΣΤΗΜΑ Β.

ΤΕΚ. Ὡς ὧδε τῦδ' ἔχοντος, αἰάζειν πάρα.
ΧΟΡ. Τίνος πότ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;
ΤΕΚ. Αὐτὸς πρὸς αὐτῦ δῆλον· ἐν γάρ οἱ χθονὶ
Πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.

ΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Ὤ, μοι † ἐμᾶς ἄτας.
Οἶος ἄρ' ἡμάχθης,
Ἄφρακτος τῶν φίλων.
Ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάν-
τ' ἄϊδρις, κατημέλησα.

* ALDUS, Ἰὼ, ταλαίφρων. † ALDUS, Ἰώ μοι.

912. Τόνδε συνναύταν] ἀντὶ τῦ, ἐμὲ τὸν χορὸν, συνήθως.

916. Τίνος πότ' ἄρ' ἔπραξε] ἤγυν διὰ χειρὸς τίνος ἄρα ἔπραξε τὸν φόνον; οἱ Ἀττικοὶ τὸ ἆρα, ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφυσιν· ὅταν δὲ ὡς σύνδεσμος συναπτικὸς λέγηται, ἀδιαφόρως, ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυῤῥιχαικῶς.

917. Ἐν γάρ οἱ χθονὶ] αὐτὸ τὸ σχῆμα (φησὶ) δηλοῖ ὅτι ὑφ' ἑαυτῦ ἀνῃρέθη. Πᾶν δὲ ἀμυντήριον, καὶ δόρυ καὶ ἔγχος καλῦσιν οἱ νεώτεροι.

917. Ἐν γάρ οἱ χθονὶ] ἡ σύνταξις, τὸ γὰρ ἔγχος τὸ περιπετὲς οἱ καὶ αὐτῷ, τὸ ἐν τῇ χθονὶ πηκτὸν καὶ πεπηγμένον, κατηγορεῖ αὐτῦ δηλονότι τὴν πρᾶξιν. Ἤγυν παρίςησιν ὡς αὐτὸς τὴν σφαγὴν εἰργάσατο, καὶ αὐτόχειρ αὐτῦ γέγονεν. Ἔςι γὰρ καὶ κατηγορῶ ὐ μόνον τὸ τινὸς καταφέρομαι λόγοις, ἀλλὰ καὶ τὸ ἐπάνω τινὸς ἀγορεύω, ὥςπερ ἔχει καὶ ἡ παρὰ φιλοσόφοις κατηγορία· Δηλοῖ δὲ καὶ Φιλόςρατος ἐν τῷ Ἰσοκράτυς βίῳ, λέγων, Ἡ δὲ Σειρὴν ἡ ἐφιςηκυῖα τῷ Ἰσωκράτυς σήματι εὐμυσίαν κατηγορεῖ τῦ ἀνδρός.

918. Πηκτὸν] περιπεπηγὸς αὐτῷ.

Ib. Περιπετὲς] ᾧ περιέπεσε· τῦ δὲ θεατῦ εἰδότος τὸν τρόπον τῆς ἀναιρέσεως, ἔδει καὶ τὸν χορὸν καὶ τὴν Τέκμησσαν πολυπραγμονῆσαι.

Ib. Κατηγορεῖ] σημαίνει, λέγει. Τὸ δὲ ὅλον ὕτως, πηκτὸν γὰρ ὂν (δηλονότι ἐν τῇ χθονὶ) τόδε τὸ περιπετὲς ἔγχος αὐτῦ, κατηγορεῖ (ἤγυν παριςᾷ) ὅτι ὑφ' ἑαυτῦ δηλονότι ἐφονεύθη. Κατηγορῶ σῦ ἀγαθὰ ἢ φαῦλα, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Κατηγορεῖν δὲ τὸ παριςᾷν καὶ δεικνύειν, μετὰ αἰτιατικῆς μόνης λέγεται.

920. Οἶος ἄρ' ἡμάχθης] μόνος ἡματώθης.

921. Ἄφρακτος τῶν φίλων] ἀφύλακτος· ὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπατηθέντας καταλιπεῖν σε.

922. Ὁ πάντα κωφὸς] τὰ πάντα εἰς τὴν ἀπάτην· ἐγὼ δὲ (φησὶν) ὁ ἀναίσθητος κατημήλησα.

Πᾶ, πᾶ
Κεῖται ὁ δυςτράπελος, ὁ
Δυςώνυμος Αἴας;

ΣΥΣΤΗΜΑ Γ.

ΤΕΚ. Οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
Φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
Οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
Φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
Πληγῆς, μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
Οἴμοι, τί δράσω; τίς σε βαςάσει φίλων;
Πῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι;
Πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
Ὦ δύςμορ' Αἴας, οἷος ὤν, οἵως ἔχεις;
Ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

924. Πᾶ, πᾶ] τῦτο κατ' ἄλλης ἀρχῆς· Βυλόμενοι τὸ σῶμα θεάσασθαι, τῦτο λέγυσιν. Ὃ διακωλεύει ἡ Τέκμησσα.

925. Ὁ δυςτράπελος] δύςκολος, δυςκίνητος, ἀμετάτρεπτος, ὃς ὐχ εὗρεν ἐκφυγὴν τῷ πάθει. Οὕτω λέγυσι καὶ δυςτράπελον τὸ ὄργημα, τὸ ὐκ εὐδιάλλακτον. Ἄλλως· δυςτράπελον, φασὶν Ἀττικῶς τὸν ἀμετακίνητον ἐν ὀργῇ ἢ διαθέσει, ἢ φιλαργυρίᾳ. Τὸν αὐτὸν δὲ καὶ ἀτράπελον.

926. Ὁ δυςώνυμος Αἴας] ὡς καὶ αὐτὸς λέγει ὁ Αἴας. Λέγεται δυςώνυμος καὶ ὖ τὸ ὄνομα ἐπαχθῶς οἱ ἄνθρωποι δέχονται διὰ τὸ μῖσος, ὅπερ ἔχυσι πρὸς αὐτὸν, καθ' ὃ λέγεται δυςώνυμος ὁ Ἰῦδας.

929. Οὐδεὶς ἂν ὅστις καὶ φίλος] ἤγυν, ὐ μόνον ἐχθρὸς βδελύξεται αὐτὸν ἰδεῖν (ὐ γὰρ μέλοι αὐτῷ τύτυ) ἀλλὰ καὶ ὐδεὶς φίλος τλαίη ἂν καὶ ὑπομένοι αὐτὸν ἀπὸ τῆς οἰκείας σφαγῆς φυσῶντα καὶ ἀναπέμποντα ἄνω πρὸς τὰς ῥῖνας τὸ μελανθὲν αἷμα καὶ ἐκ τῆς φοινικῆς πληγῆς. Ἀμφοτέρωθεν γὰρ τὸ αἷμα ἐξήρχετο, καὶ ἐκ τῆς πλευρᾶς πρὸς ἣν ἡ πληγὴ γέγονε, καὶ ἐκ τῆς ῥινῶν διὰ τοιαύτην αἰτίαν. Περιπεσόντος γὰρ αὐτῦ τῷ ξίφει ἐν γῇ ςεῤῥῶς πεπηγμένῳ, καὶ διὰ τῦτο πρὸς τὸν τόπον ἔνθα ἡ λαβὴ τῦ ξίφυς ἐπέπηκτο, ἐκ βάρυς πελάσαντος, ὐκ εἶχεν διέξοδον ῥᾳδίαν, καὶ διὰ τῦτο εἰργόμενον, καὶ ζητῦν διέξοδον, ἐκ τῶν ῥινῶν ἀνεδίδοτο, φοινίαν δὲ πληγὴν ἴσως λέγει, ὐ τὴν πρώτην ἐν τῇ πλευρᾷ τομὴν ἀλλὰ τὴν ἑτέραν τῦ ξίφυς διέξοδον.

931. Μελανθὲν αἷμα] χυθὲν ὤφειλεν εἰπεῖν, ἢ γεγονὸς ἀπὸ τῆς οἰκείας σφαγῆς· ὁ δὲ, διὰ τὸ μέλαν εἶναι τὸ αἷμα μελανθὲν αἷμα λέγει.

932. Τίς σε βαςάσει φίλων] πάντα τὰ ἀπορηματικὰ, καὶ μάλιςα ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν, ὑποτακτικῷ γράφεται.

933. Ὡς ἀκμαῖος] καίριος, κατὰ καιρόν. Παρὰ τὴν ἀκμὴν τῦ καιρῦ· Καλῶς δὲ ζητεῖ τὸν Τεῦκρον, ἵν' ἡ κηδεία γένηται ἀπὸ τῦ συγγενῦς.

934. Συγκαθαρμόσαι] περιςεῖλαι.

936. Ὡς καὶ παρ' ἐχθροῖς] αὔξησις περὶ τὸ πάθος, ὡς καὶ τὺς δυςμενεῖς ἐλθεῖν.

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἔμελλες δὴ τάλας,
Ποτὲ χρόνῳ ϛερεόφρων
Ἄρ᾽ ἐξανύσειν κακὰν
Μοῖραν ἀπειρεσίων
Πόνων· τοῖά μοι
Πάννυχα καὶ φαέθον-
τ᾽ ἀνεϛέναζες ὠμόφρων
Ἐχθοδόπ᾽ Ἀτρείδαις
Οὐλίῳ σὺν πάθει.
Μέγας ἄρα γ᾽ ἐκεῖνος
Ἄρχων χρόνος πημάτων,
Ἦμος ἀριϛόχειρ
Ἀχιλλέως ὅπλων ἔπειτ᾽ ἀγὼν πέρι.

### ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Χωρεῖ πρὸς ἧπαρ (οἶδα) γενναία δύη.
ΤΕΚ. Ἰώ μοι, μοι.
ΧΟΡ. Οὐδέν σ᾽ ἀπιϛῶ καὶ δὶς οἰμῶξαι, γύναι,
Τοιȣ̃δ᾽ ἀποβλαφθεῖσαν ἀρτίως φίλȣ.

937. Ἔμελλες τάλας] Ἰακῶς. Ἐῴκεις ἄρα καὶ δῆλος ἦς.

938. Στερεόφρων] οἷον, ἐφ᾽ οἷς ἐνόησας καὶ ἤλγεις περιυβρισμένος ὑπὸ τῶν Ἀτρειδῶν, ἔμελλες πληρώσειν κατὰ τὰς φρένας τὴν μοῖραν.

942. Πάννυχα καὶ φαέθοντ᾽] κατὰ νύκτα καὶ ἡμέραν. Φαέθων, ὁ Ἥλιος, καὶ ὁ υἱὸς τȣ̃ Ἡλίȣ.

943. Ὠμόφρων] Ἀττικῶς μέγα. Οὗτοι γὰρ τὰς αὐτὰς ἔχȣσιν ὀρθὰς καὶ κλητικάς· ȣ̔́τω καὶ, ὦ δύσμορ᾽ Αἴας, ἀντὶ τȣ̃ Αἶαν.

947. Ἄρχων χρόνος] ἀρχηγός. Γενναία δὲ ἡ ἰσχυρά.

948. Ἦμος ἀριϛόχειρ] ἤγȣν ἀγὼν ἀρίϛων καὶ ἀνδρείων δεόμενος, δυναμένων βαϛάσαι τὸν Ἀχιλλέα. Ἵνα τὰ αὐτȣ̃ λάβῃ ὅπλα τȣ́τȣ ἕνεκα.

949. Ἀχιλλέως] ἴαμβος ὀφείλει εἶναι τέλειος ὁ παρὼν ϛίχος, ἵν᾽ ᾖ ὅμοιος τῷ τῆς ἀντιϛροφῆς. Διὸ τὸ Ἀχιλλέως προσετέθη παρ᾽ μȣ̃, ἁρμοδίως οἶμαι.

953. Οὐδέν σ᾽ ἀπιϛῶ] εἰώθασιν ἐν τοῖς πάθεσι καρ συγχωρεῖν τοῖς ἀλγȣ̃σι. Φέρει γὰρ τȣ̃το καὶ κόρον τȣ̃ θρήνȣ καὶ παραμυθίαν.

954. Τοιȣ̃δ᾽ ἀποβλαφθεῖσαν] ϛερηθεῖσαν. Ὅταν γὰρ τὶς τινὸς ϛερηθῇ, ἀπ᾽ ἐκείνȣ οὗ ἐϛέρηται βέβλαπται, αὐτῷ τῷ ἐϛερῆσθαι.

ΤΕΚ. Σοὶ μὲν δοκεῖν ταῦτ᾽ ἔϛ᾽, ἐμοὶ δ᾽ ἄγαν φρονεῖν.
ΧΟΡ. Ξυναυδῶ.
ΤΕΚ. Οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
Χωροῦμεν᾽ οἷοι νῷν ἐφεϛᾶσι σκοποί.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὦ, μοι ἀναλγήτων
Δισσῶν ἐθρόησας
Ἄναυδόν γ᾽ Ἀτρειδῶν
Ἔργον τῷδ᾽ ἄχει.
Ἀλλ᾽ ἀπείργοι θεός.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΤΕΚ. Οὐκ ἂν τάδ᾽ ἔϛη τῇδε, μὴ θεῶν μέτα.
ΧΟΡ. Καὶ μὴν ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.
ΤΕΚ. Τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ᾽ Ὀδυσσέως χάριν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Ἦ ῥὰ κελαινώπαν

955. Σοὶ μὲν δοκεῖν] σοὶ μὲν ταῦτα ἐν δόξῃ καταλαμβάνεται, ἐγὼ δὲ σαφῶς ἐπίϛαμαι. Ἔϛι μὲν γὰρ τῷ χορῷ οἰκειότης πρὸς Αἴαντα, ἀλλ᾽ οὐχ ὅσον πρὸς τὴν Τέκμησσαν.

Ib. Σοὶ μὲν] σοὶ μὲν δοξάζειν ἐϛὶ ταῦτα· μοὶ δὲ ἄγαν φρονεῖν ἐϛὶ ταῦτα δηλονότι, ἤγουν ἀκριβῶς γινώσκειν.

Ib. Δοκεῖν] δοξάζειν.

Ib. Ἄγαν φρονεῖν] τὸ αἰσθάνεσθαι τῆς λύπης.

957. Δουλείας ζυγὰ] ἀπὸ μεταφορᾶς τῶν ζυγῶν τῶν ζευγνύντων τοὺς βοῦς.

958. Σκοποὶ] ἀντὶ τοῦ, ἐπίσκοποι. Οἱ Ἀτρεῖδαι δηλονότι.

Ib. Ἤγουν, κατάσκοποι, ἵνα ποιήσωσι δούλους δηλονότι ἡμᾶς.

959. Ὦ μοι ἀναλγήτων] ἀσυμπαθῶν, εἰ τοῦτο πράξειαν. Ἢ, τῶν μηδ᾽ ὅλως ἀλγούντων ἐπὶ ταῖς συμφοραῖς τῶν Ἑλλήνων· ἢ πολυαλγήτων, τῶν εἰς πολλὰ ἄχη ἡμᾶς ἐμβεβληκότων. Ἄλλως· γράφεται ἰώ μοι. Περιπαθῶς δὲ ὁ χορὸς ἀναβοᾷ ἐπὶ τῷ Τεκμήσσης λόγῳ.

961. Ἄναυδον ἔργον] ἐπὶ τῷδε τῷ ἄχει ἐθρόησας ἔργον ἄναυδον τῶν ἀναλγήτων δύο Ἀτρειδῶν. Τουτέϛιν, ἐπαίω τῆς σφαγῆς τοῦ Αἴαντος. Εἶπας καὶ ἕτερον ἔργον ἄναυδον τῶν δύο Ἀτρειδῶν τῶν ἀναλγήτων. Ἤγουν ὅτι βουλεύονται ποιῆσαι ἡμᾶς δούλους. Τοῦτο δὲ ἐϛι τὸ ἄναυδον ἔργον.

962. Τῷδ᾽ ἄχει] τῇ παρούσῃ συμφορᾷ.

964. Οὐκ ἂν τάδ᾽ ἔϛη] οὐκ ἂν ταῦτα ἐπράχθη οὕτω, μὴ θεῶν βουλομένων. Ὥϛε καὶ ταῦτά ἐϛι προσδοκᾶν περὶ τῶν Ἀτρειδῶν. Ἄλλως· πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ θεοῦ, ἀλλ᾽ ἀπείργοι θεός, φησὶν, οὐκ εἰκὸς συλλήψεσθαι ἡμῖν τοὺς θεοὺς, ἐπεὶ οὐδ᾽ ἂν ἐπράχθη ταῦτα.

965. Ἄγαν ὑπερβριθὲς] μέγα καὶ βαρὺ ἤνυσαν οἱ πράξαντες τὰ περὶ τὸν Αἴαντα· ὅ ἐϛιν οἱ αἴτιοι τούτων.

968. Κελαινώπαν] οἷον, οὐκ ἐν τῷ φανερῷ, ἀλλ᾽

Θυμὸν ἐφυϐρίζει
Ὁ πȣλύτλας * ἀνὴρ,
Γελᾷ δὲ τοῖσι μαινομένοις
Ἄχεσιν πολὺν γέλωτα.
Φεῦ, φεῦ,
Ξὺν διπλοῖ βασιλέες
Κλύοντες Ἀτρεῖδαι.

ΑΝΤΙΣΥΣΤΗΜΑ Γ.

ΤΕΚ. Οἱ δ' ȣ̃ν γελώντων, κἀπιχαιρόντων κακοῖς
Τοῖς τȣ̃δ'· ἴσως τοι, κεὶ βλέποντα μὴ 'πόθȣν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
" Οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
" Ἔχοντες ȣ̓κ ἴσασι, πρίν τις ἐκϐάλῃ.
Ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκὺς,
Αὐτῷ δὲ τερπνός, ὧν γὰρ ἠράσθη τυχεῖν,

* ALDUS, πολύτλας.

ἀλλ' ἐν σκότῳ ἤδη βλεπόμενον, καὶ μέλανα, καὶ οἷον κεκρυμμένον καὶ δόλιον, καὶ ȣ̓χ ἁπλȣ̃ν θυμὸν ἐφυϐρίζει. Ἔξωθεν δὲ ἡ κατά· τὸ δὲ ἡμᾶς, λείπει· ἵν' ᾖ, κατὰ τὸν θυμὸν ἐφυϐρίζει ἡμᾶς. Κελαινώπαν δὲ θυμὸν, ἤγȣν βαθυγνώμονα ψυχήν.

Ib. Ἦ ῥα κελαινώπαν] ὄντως ὁ πολύτλας ἀνὴρ, ἤγȣν ὁ Ὀδυσσεὺς, κατὰ τὸν κελαινώπαν θυμόν. Τȣτέςιν, κατὰ τὴν βαθυγνώμονα ψυχὴν αὐτȣ̃ γελᾷ πολὺν γέλωτα, ἐπὶ τοῖς ἄχεσι τοῖς μαινομένοις. Τȣτέςιν, τοῖς διὰ τὴν μανίαν συμϐεϐηκόσιν· ἤγȣν ταῖς συμϐεϐηκυίαις διὰ τὴν μανίαν.

971. Τοῖσι μαινομένοις] τοῖς διὰ μανίαν συμϐεϐηκόσιν.

975. Κλύοντες Ἀτρεῖδαι] ἀκȣ́οντες τὴν θλίψιν ἡμῶν υἱοὶ τȣ̃ Ἀτρέως Ἀγαμέμνων καὶ Μενέλαος, ἐγγελῶσι δηλονότι.

976. Οἱ δ' ȣ̃ν γελώντων] ἀντὶ τȣ̃ γελάτωσαν. Τȣ̃το δ' ἔφαμεν, λαμϐάνοντες ἔξωθεν εἰς τὴν τοιαύτην γενικὴν τὸ ἔςωσαν. Ἐπὶ δὲ τῶν παθητικῶν, οἷον τυπτέσθων καὶ τῶν τοιȣ́των, ȣ̓χ ȣ̃τω λέγομεν, ἀλλὰ τὸ δυϊκὸν ἀντὶ τȣ̃ πληθυντικȣ̃ φαμὲν λαμϐάνεσθαι.

977. Ἴσως τοι, κεὶ βλέποντα] καὶ νῦν βλέποντα εἶπεν ἀντὶ τȣ̃ ζῶντα, διὸ τὸ χ πρόσκειται. Τὸ δὲ οἰμώζω, ἀμεταϐάτως, καὶ οἰμώζω τὸν τεθνηκότα.

979. Οἱ γὰρ] οἱ κακότροποι ἄνθρωποι ταῖς γνώμαις.

980. Οὐκ ἴσασι, πρίν τις ἐκϐάλῃ] ȣ̓ γινώσκȣσιν πρότερον, ἕως ἂν ἀποῤῥίψῃ αὐτὸ τὸ ἀγαθὸν δηλονότι ἀπ' αὐτῶν.

981. Ἐμοὶ πικρὸς] μᾶλλον ἐμοὶ πικρὸς τέθνηκεν, ἤπερ ἐκείνοις γλυκύς. ἐπεὶ ὧν ἐπεθύμει ἔτυχεν· ȣ̓κ ἂν ȣ̃ν ἐπεγγελῷεν αὐτῷ οἱ ἐχθροὶ, ὡς αὐτοὶ τῆς ἀπωλείας αἴτιοι γενόμενοι.

Ib. Ἐμοὶ πικρὸς τέθνηκεν] ἢ τέθνηκε γλυκὺς ἐκείνοις, ἤγȣν τοῖς Ἕλλησιν, ἑαυτῷ δὲ τερπνός. Ὧν γὰρ πραγμάτων δηλονότι ἠράσθη τυχεῖν, ταῦτα ἐκτήσατο ἑαυτῷ. Λέγω

θάνατον,

Ἐκτήσαθ᾽ αὑτῷ, θάνατον, ὅνπερ ἤθελε.
Τί δῆτα τȣ̃δ᾽ ἐπεγγελῷεν ἂν κάτα;
Θεοῖς τέθνηκεν ȣ̃τος, ȣ̓ κείνοισιν, ȣ̓.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Πρὸς ταῦτ᾽ Ὀδυσσεὺς ἐν κενοῖς ὑϐριζέτω·
Αἴας γὰρ αὐτοῖς ȣ̓κέτ᾽ ἐςὶν, ἀλλ᾽ ἐμοὶ
Λιπὼν ἀνίας τε καὶ γόȣς διοίχεται.
ΤΕΥ. Ἰώ μοι, μοι.
ΧΟΡ. Σίγησον· αὐδὴν γὰρ δοκῶ Τεύκρȣ κλύειν,
Βοῶντος ἄτης τῆσδ᾽ ἐπίσκοπον μέλος.
ΤΕΥ. Ὦ φίλτατ᾽ Αἴας, ὦ ξύναιμον ὄμμ᾽ ἐμοὶ,
Ἆρ᾽ ἠμπόληκας, ὥςπερ ἡ φάτις κρατεῖ;
ΧΟΡ. Ὄλωλεν ἀνὴρ, Τεῦκρε, τȣ̃τ᾽ ἐπίςασο.
ΤΕΥ. Ὦ, μοι, βαρείας ἆρα τῆς ἐμῆς τύχης.
ΧΟΡ. Ὡς ὧδ᾽ ἐχόντων.
ΤΕΥ. Ὦ τάλας ἐγὼ, τάλας.
ΧΟΡ. Πάρα ςενάζειν.
ΤΕΥ. Ὦ περισπερχὲς πάθος.
ΧΟΡ. Ἄγαν γε, Τεῦκρε.
ΤΕΥ. Φεῦ τάλας· τί γὰρ τέκνον

θάνατον, ὃν ἤθελεν. Εἰ ȣ̃ν ȣ̓ ἐπεθύμει, τȣ̃το ἐτέλεσε δηλονότι· πῶς ἂν, ἐπαγγελῷεν αὐτῷ οἱ ἐχθροὶ αὐτȣ̃, ὥςπερ ἂν εἰ εἶδον αὐτὸν παθόντα ὅπερ ȣ̓κ ἤθελεν; ἄλλως τε, καὶ ὑπὸ τῶν θεῶν τέθνηκεν ȣ̃τος, ȣ̓χ ὑπ᾽ ἐκείνων.

985. Θεοῖς τέθνηκεν] θεῶν βȣλομένων· ȣ̓ γὰρ οἱ Ἕλληνες τὴν τοιαύτην αἰτίαν αὐτῷ παρέσχον.

989. Ἰώ μοι, μοι] δεῖ γενέσθαι βοὴν, ἣν ἀκȣ́σας ὁ χορὸς ἐφίςησι, γνωρίζων τὸ φθέγμα τȣ̃ Τεύκρȣ βοῶντος.

991. Ἐπίσκοπον μέλος] σημαντικὸν, ἔφορον, ȣ̓χ ἡμαρτηκὸς, τῆς συμφορᾶς, ἀλλ᾽ ἐςοχασμένον.

992. Ὦ φίλτατ᾽ Αἴας] ἔρχεται μεταπεμφθεὶς ὑπὸ Τεκμήσσης.

993. Ἆρ᾽ ἠμπόληκας] ἀντὶ τȣ̃, ἀπημπόληκας, ἤγȣν πέπρακας, προδέδωκας.

Ib. Κρατεῖ] ἀντὶ τȣ̃, ἐπικρατεῖ.

996. Ἐχόντων] ἤγȣν, διακειμένων. Τῶν κατὰ τὸν Αἴαντα πράγματων δηλονότι. Τὸ ἑξῆς, ὡς ὧδ᾽ ἐχόντων, πάρα ςενάζειν.

999. Περισπέρχες] ἀντὶ τȣ̃ βαρύ. Ἤτοι ἀμηχανίαν ἐμποιȣ̃ν. Περισσῶς κατεπεῖγον. ἀπὸ τȣ̃ περισπέρχεσθαι τὸ περιςρέφεσθαι· οἱ ἐν δεινῷ τινὶ καταςάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τȣ́των, ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ᾽ ἀπορίας· ἐφ᾽ ὧν λέγεται καὶ τὸ ἀλύειν, ὃ γίνεται ἀπὸ τȣ̃ ἄλη ἡ πλάνη.

1001. Τὶ γὰρ τέκνον τὸ τȣ̃δε] καὶ πρὶν ἀκȣ̃σαι τῶν ἐντολῶν ὁ Τεῦκρος ἔδειξε τὴν περὶ τὸν παῖδα κηδεμονίαν ἀφ᾽ ἑαυτȣ̃ φρονίμως.

Τὸ τȣ̃δε; πȣ̃ μοι γῆς κυρεῖ τῆς Τρωάδος;
ΧΟΡ. Μόνος παρὰ σκηναῖσιν.
ΤΕΥ. Οὐχ ὅσον τάχος
Δῆτ' αὐτὸν ἄξεις δεῦρο, μήτις ὡς κενῆς
Σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
Ἴθ', ἐγκόνει, σύγκαμνε· « τοῖς θανȣ̃σί τοι
« Φιλȣ̃σι πάντες κειμένοις ἐπεγγελᾷν. »
ΧΟΡ. Καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τȣ̃δέ σοι μέλειν
Ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ ȣ̃ν μέλει.
ΤΕΥ. Ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
Ἄλγιςον, ὧν προςεῖδον ὀφθαλμοῖς ἐγώ·
Ὁδός τ' ἀνιάσασα δὴ πασῶν ὁδῶν
Μάλιςα τȣ̉μὸν σπλάγχνον, ἣν δὴ νῦν ἔϐην,
Ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
Μόρον, διώκων κἀξιχνοσκοπȣ́μενος.
Ὀξεῖα γάρ σȣ βάξις, ὡς θεȣ̃ τινὸς,
Διῆλθ' Ἀχαιȣ̀ς πάντας, ὡς οἴχῃ θανών.
Ἃ 'γὼ κλύων δύςτηνος, ἐκποδὼν μὲν ὢν,
Ὑπεςέναζον· νῦν δ' ὁρῶν ἀπόλλυμαι.
Οἴμοι.

1005. Μήτις] ἵνα μήτις ὑπὸ τῶν δυςμενῶν ἀναρπάσῃ αὐτὸν τὸν Εὐρυσάκην, ὥσπερ σκύμνον ἀπὸ κενῆς λεαίνης, ἤγȣν ἐςερημένης τȣ ἄῤῥενος.

1007. Ἴθ', ἐγκόνει, σύγκαμνε] ἄπελθε. Ἀπὸ τῆς σπȣδῆς ἔγειρε κονιορτόν. Καὶ συγκακοπάθει τοῖς θανȣ̃σιν.

1008. Κειμένοις] τὸ κεῖσθαι ἐπὶ τȣ̃ τεθνηκότος ἰδίως εἰώθασι ταύτην.

1012. Ἄλγιςον] ἤγȣν, ἀλγεινότατον, λυπηρότατον ἐμοὶ θέαμα δηλονότι ἁπάντων τῶν θεαμάτων, ὧν εἶδον ἐγὼ τοῖς ὀφθαλμοῖς.

1013. Ὁδός τ'] καὶ ᾧ ὁδὸς ἀνιάσασα τὸ ἐμὸν σπλάγχνον μάλιςα πασῶν τῶν ὁδῶν, ἣν νῦν ἔϐην, ὦ φίλτατ' Αἴας, διώκων. Ἤγȣν, φθάσαι ζητῶν, καὶ ἐξιχνωσκοπȣ́μενος. Τȣτέςι, κατ' ἴχνος ἀκολȣθῶν, ὡς ἐπῃσθόμην ἀντὶ τȣ̃, ἤκȣσα τὸν σὸν μόρον.

1016. Διώκων] ἤγȣν φθάσαι ζητῶν.

Ib. Κἀξιχνοσκοπȣ́μενος] κατ' ἴχνος ἀκολȣθῶν.

1017. Ὀξεῖα γάρ σȣ βάξις] ȣ̓ κοινῶς τὸ ὀξὺ ἐπὶ τῆς φήμης, ἀλλ' ἑρμὴν ἔχει, ἐπὶ τοῖς ἀξιώμασι προϐεϐηκόσι.

Ib. Ὡς θεȣ̃] ἤτοι ὡς ἀπὸ θεȣ̃, ἢ ὥσπερ θεȣ̃, τȣ̃το δὲ πρὸς τὴν φήμην μόνον, ἐπεὶ γίγνεται βλάσφημον διὰ τῆς ἑξῆς.

1020. Ὑπεςέναζον] ἴσως ἡσύχως ἐςέναζε δεδοικὼς τȣ̀ς ἐχθρȣ́ς.

Ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
Ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
Ὅσας ἀνίας μοι κατασπείρας, φθίνεις;
Ποῖ γὰρ μολεῖν μοι δυνατὸν, εἰς ποίους βροτοὺς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἦπου Τελαμὼν, σὸς πατὴρ ἐμός θ' ἅμα,
Δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως
Χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὔχ; ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι, μηδὲν ἥδιον γελᾶν.
Οὗτος, τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν;
Τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
Τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ

1022. Ἴθ' ἐκκάλυψον] πρὸς τὸν χορόν φησιν, ἤ τινα τῶν θεραπόντων· ἡ γὰρ Τέκμησσα ἐπὶ τὸν παῖδα ἀπῄει.

1023. Ὦ δυσθέατον] ὡς ἀνακαλύψας τοῦτο φησί.

Ib. Δυσθέατον] ἤγουν, δυσκόλως θεαθῆναι δυνάμενον.

Ib. Πικρᾶς] τὸ πικρὸν ἐπὶ γεύσεως λέγεται. Καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ἄλγους τῆς ψυχῆς· ὃ γὰρ πικρὸν ἐπὶ γεύσεως, τοῦτο ἀλγεινὸν ἐπὶ ψυχῆς. Λέγεται καὶ πικρὸν τὶ, ὡς πρόξενον πικρίας, οὐχ ὡς πικρὸν αὐτὸ ὄν· ὡς τὸ ξίφος ἐνταῦθα λέγει πικρόν.

1023. Ὦ δυσθέατον ὄμμα] ἰστέον ὅτι τὸ ὦ οὐ μόνον πρὸς κλητικὴν, ἀλλὰ καὶ πρὸς γενικὴν φέρεται. Ἀμφότερον οὖν ἐστιν ἐνταῦθα· Ἄλλως· ὦ δυσθέατον λέγε ὄμμα, καὶ ὦ ὄμμα τολμῆς πικρᾶς· τολμῆς γὰρ ἦν τὸ ὄμμα· πρὸς γενικὴν δὲ, τὸ ὦ συνάπτειν. Λόγον οὐκ ἔχει πρὸς εὐθεῖαν μέντοι σπανίως, ὡς τὸ ὦ οὗτος, καὶ ὦ δυστυχής.

1024. Κατασπείρας] δαιμονίως καὶ τὸ σπείρας. Οἷον ἀρχὴν κακῶν παρασχών· ἢ τὸ σπείρας ἐπὶ πλήθους κακῶν τακτέον.

1025. Ποῖ γὰρ μολεῖν] ἤγουν, ποῦ γάρ ἐστι δυνατόν μοι ἐλθεῖν με τὸν ἀρήξαντα καὶ βοηθήσαντα οὐδαμῶς τοῖς σοῖς πόνοις. Τὸ δὲ ἐν παρέλκον ἐστί.

1026. Τοῖς σοῖς ἀρήξαντ'] ἤγουν, μηδαμοῦ ἐν τοῖς σοῖς πόνοις ἀρήξαντα, ἤγουν βοηθήσαντα.

1027. Ἦπου Τελαμὼν] τὸν ἐναντίον συνάγει ὁ λόγος. Ἤγουν, οὐκ εὐμενῶς με δέξεται. Πρὸς ὃ ἐπάγεται τὸ, πῶς γὰρ οὐκ. Ἆρα ὁ Τελαμὼν ὁ σὸς πατὴρ καὶ ὁ ἐμὸς ἅμα, δέξαιτο ἐμὲ εὐπρόσωπος καὶ ἵλεως τάχα, ἐρχόμενον ἐκεῖ εἰς τὴν Σαλαμῖνα ἄνευ σοῦ; πῶς γὰρ δέξαιτο; οὐχὶ δέξαιτο· ᾧτινι Τελαμῶνι μηδὲ εὐτυχοῦντι πάρεστι τὸ γελᾶν ἥδιον. Οὗτος ὁ Τελαμὼν ἆρα κρύψει τὸ πάθος; μηδέν. Ἤγουν οὐδαμῶς. Ποῖον κακὸν οὐκ ἐρεῖ πρὸς ἐμέ;

Ib. Ἦπου Τελαμὼν] ἅμα μὲν πρὸς τῆς ἱστορίας, ὅτι ἐκβέβληται. Ἅμα δὲ καὶ πρὸς τὸ πιθανὸν τῆς ὑπονοίας.

1028. Εὐπρόσωπος] ἀντὶ τοῦ εὐπροσώπως. Τουτέστι ἱλαρῷ προσώπῳ. Εὐπρόσωπος δὲ, ὁ εὐειδής. Καὶ ἀπὸ τούτου εὐπρόσωπος αἰτία. Ἡ πιθανὴ καὶ εὐπρεπής.

1029. Πῶς γὰρ οὐχ; ὅτῳ πάρα] συνάγει τὸ ἐναντίον ὁ λόγος, ἤγουν, οὐκ εὐμενῶς με δέξεται· πρὸς ὃ ἐπάγεται, πῶς γὰρ οὐχ, ὅτῳ πάρα· ἤγουν ὅτῳ μηδὲν (τουτέστι μηδαμῶς) πάρεστιν οὐδ' εὐτυχοῦντι γελᾶν ἡδέως. Ἄλλως πῶς γὰρ οὔτις με ἡδέως δέξεται, ᾧ καὶ εὐτυχοῦντι τὸ προσηνὲς ἄπεστι καὶ ἱλαρόν. Οὐχ ὅτῳ πάρα, οὐχ ᾧ τινι οὐδ' εὐτυχοῦντι πάρεστι τὸ γελᾶν· εὐτυχοῦντι δὲ εἶπεν, οὐκ ἐπὶ τῷ υἱῷ ἐσφαγμένῳ, ἀλλ' ἐπὶ ταῖς ἀνδραγαθίαις τοῦ υἱοῦ, καὶ τῇ ἁλώσει τῆς Τροίας.

1031. Τί κρύψει] κακὸν σιγήσει, ἀπὸ κοινοῦ.

1032. Τὸν ἐκ δορὸς] ἤγουν, τὸν γεγονότα νό-

θον

Σὲ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
Κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
Τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς
Ἐρεῖ πρὸς οὐδὲν, εἰς ἔριν θυμούμενος.
Τέλος δ' ἀπωστὸς γῆς ἀποῤῥιφθήσομαι,
Δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
Τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
Πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήσιμοι.
Καὶ ταῦτα πάντα, σοῦ θανόντος, εὑρόμην.
Οἴμοι, τί δράσω; πῶς δ' ἀποσπάσω πικροῦ
Τοῦδ' αἰόλου κνώδοντος; ὦ τάλας, ὑφ' οὗ

θον ἐκ δορὸς πολεμίου, τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης.

1034. Ὡς τὰ σὰ] ὅπως τὰ σά.

1036. Ἀνὴρ δύσοργος] ὁ ἄνθρωπος ὢν ἐκ φύσεως βαρύθυμος, ὁ Τελαμὼν δηλονότι. Ἰστέον, ὅτι ἴδιόν ἐστι τοῖς γέρουσιν, ἔχειν ἀεὶ τὸ δυσάρεστον καὶ δύσκολον, καὶ τὸ βαρύνεσθαι ἐπὶ πᾶσιν. Ἦν μὲν ὁ Τελαμὼν καὶ ἀφ' ἑαυτοῦ δύσοργος, καὶ πάνυ ὀργίλος. Γέγονε δὲ καὶ βαρὺς, ἕνεκα τῶν γηράτων.

1037. Πρὸς οὐδὲν] πρὸς οὐδὲν ἀληθές· ἢ αἴτιόν μοι.

Ib. Εἰς ἔριν] εἰς μάχην· ἔρις ὁ ζῆλος καὶ ἡ μίμησις, καὶ ἔρις ἡ μάχη.

1038. Τέλος] κατὰ τὸ τέλος, ἐπιῤῥηματικῶς.

Ib. Ἀποῤῥιφθήσομαι] ἐκπεσοῦμαι τῆς γῆς τῆς πατρῴας.

1039. Δοῦλος λόγοισιν] ταῖς τοῦ πατρὸς λοιδορίαις.

1041. Πολλοὶ μὲν ἐχθροὶ] πολλοὶ ἐχθροὶ Ἑλληνές τε καὶ Τρῶες· ὀλίγοι δὲ ὠφελήσιμοι Ἕλληνες.

Ib. Παῦρα δ'] παρὰ τισὶ μὲν τῶν βιβλίων, παῦροι, παρὰ τισὶ δὲ παῦρα εὑρίσκεται· ἔστι δὲ τὸ παῦρα κρεῖττον τοῦ παῦροι, διὰ τὸ σώζειν τὸ μέτρον· τέταρτος γὰρ πούς ἐστιν· ὀφείλει δὲ οὗτος ἴαμβος εἶναι. Εἰ δέ τις εἴποι, ὅτι καὶ τὸ παῦροι τὸ ροι βραχύ ἐστι (διὰ τοῦτο γὰρ καὶ τὸ παῦ περισπῶμεν) ἴστω ὅτι οἱ ποιηταὶ τῶν εὐθειῶν πληθυντικῶν τὰ τέλη, εἴτε διὰ τοῦ αι ἐκφέρονται, ὡς τὸ μοῦσαι· εἴτε διὰ τοῦ οι, ὡς τὸ πλόοι, ἀντὶ μακρῶν δέχονται, ἐὰν μὴ ἡ ἐπαγομένη λέξις ἀπὸ φωνήεντος ἄρχηται. Τότε γὰρ αὐτὰ κοινὴν συλλαβὴν ἡγοῦνται· ἔστι δὲ τὸ παῦρα ἀντὶ τοῦ ὀλίγα καὶ οὐδαμῶς, ὥσπερ ἐστι καὶ τὸ, Τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου; τὸ γὰρ βαιὸν ἀντὶ τοῦ ὀλίγον καὶ οὐδαμῶς ἐνταυθοῖ νοητέον. Οὐ μόνον δὲ τὰ τέλη τῶν πληθυντικῶν εὐθειῶν, ἀλλὰ καὶ τὰ τῶν ὁριστικῶν ῥημάτων, καὶ ἀπαρεμφάτων, καὶ προστακτικῶν, τὰ δίφθογγον ἔχοντα ἐν τῷ τέλει, ἀντὶ μακρῶν δέχονται, συμφώνου ἐπιφερομένου· φωνήεντος δὲ, καὶ ταῦτα κοινὴν συλλαβὴν ἡγοῦνται.

Ib. Ὠφελήσιμοι] ἀντὶ τοῦ ὠφέλιμοι. Ἐπιτήδειοι εἰς ὠφέλειαν.

Ib. Ὠφελήσιμοι] Ἤγουν, ὠφέλειαν ἐμοὶ προξενήσαντες. Διὰ τὸ κοινῶς ἅπαντας ἐθελῆσαι βλάψαι τὸν Αἴαντα.

1043. Πῶς σ' ἀποσπάσω] πῶς (φησὶ) τὸ σῶμα ἀπὸ τοῦ ξίφους ἑλκύσω; συμπληρῶσαι δὲ βούλεται καὶ θάπτειν αὐτόν· καλῶς δὲ, τῇ μὲν Τεκμήσσῃ περιῆψε τὸ σκεπάσαι αὐτὸν, ὡς γυναικί. Τῷ δὲ Τεύκρῳ ὡς ἀνδρὶ καὶ ἀδελφῷ, τὰ δέοντα ποιεῖν περὶ τὸ σῶμα.

1044. Τοῦ δ' αἰόλου κνώδοντος] τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίνειν, ὡς ὀδοὺς· ὀδοῦσι γὰρ περιβάλλεται ὀξέσιν. Ἀπὸ δὲ τοῦ

ἄκρου

Φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
Ἔμελλέ σ' Ἕκτωρ, καὶ θανὼν, ἀποφθίσειν;
Σκέψασθε πρὸς θεῶν τύχην δυοῖν βροτοῖν·
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
Ζωςῆρι πρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
Ἐγνάπτετ' αἰὲν, ἔςτ' ἀπέψυξεν βίον·
Οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
Πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
Ἆρ' οὐκ Ἐριννὺς τοῦτ' ἐχάλκευσε ξίφος,
Κἀκεῖνον Ἅδης δημιουργὸς ἄγριος;
" Ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
" Φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾷν θεούς."
Ὅτῳ δὲ μὴ τάδ' ἐςὶν ἐν γνώμῃ φίλα,
Κεῖνός τ' ἐκεῖνα ςεργέτω, κἀγὼ τάδε.

ΧΟΡ. Μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ
Φράζου τὸν ἄνδρα, χ' ὤ,τι μυθήσῃ τάχα.

ἄκρου τὸ ξίφος δηλοῖ. Αἰόλου· τὴν συνεχῆ κίνησιν πάσχοντος διὰ τὴν λεπτότητα.

1047. Πρὸς θεῶν] συνίζησις.

Ib. Σκέψασθε] ἤγουν, ὦ ἄνδρες, σκοπήσατε καὶ ἴδετε, ἕνεκα τῶν θεῶν τὴν τύχην τῶν δύο ἀνθρώπων, Αἴαντός τε καὶ Ἕκτορος.

1048. Ἕκτωρ] ὁ Ἕκτωρ ἐν τῷ ζωςῆρι ᾧ ἐδωρήθη καὶ ἐφιλοφρονήθη παρὰ τοῦδε τοῦ Αἴαντος, ἐκνάπτετο, καὶ συρόμενος κατεκόπτετο ἐκ τῶν Ἱππικῶν ἀντύγων καὶ τῆς τοῦ ἅρματος περιφερείας, ἔς τε καὶ ἕως οὗ ἀπέψυξε τὸν βίον. Ἀπέψυξε δὲ εἶπεν ἀντὶ τοῦ ἀπεβάλετο τὸν βιον καὶ τὴν ζωὴν, πρισθεὶς καὶ κατακοπείς· παρ' ὅσον οἱ ἐκπνέοντες ψυχραίνονται παντὶ τῷ σώματι, τοῦ τὴν θέρμην ἐμποιοῦντος αἵματος εἰς τὴν καρδίαν εἰσδραμόντος, φυλακῆς ἕνεκα, καὶ πάντα τὰ μέρη καταλελοιπότος ψυχρά.

1049. Πρισθεὶς] ἤγουν δεθείς.

Ib. Ἀντύγων] ἤγουν ἁρμάτων.

1051. Οὗτος δ' ἐκείνου] οὗτος δὲ ὁ Αἴας ἔχων τὴν δωρεὰν ἐκείνου τοῦ Ἕκτορος, ἤγουν τόδε τὸ ξίφος, παρὰ τοῦδε ὄλωλε θανασίμῳ πτώματι.

1052. Πεσήματι] ἀντὶ τοῦ πτώματι.

1054. Κἀκεῖνον] δηλονότι τὸν ζωςῆρα.

1055. Ἐγὼ μὲν οὖν καὶ ταῦτα] καλῶς τὸ φάναι πάντα κατὰ γνώμην θεῶν γίγνεσθαι· εἰσὶ γάρ τινες ἑτεροδοξοῦντες.

1057. Ὅτῳ δὲ μὴ τάδ' ἐςὶν] τὸ ἐκ θεῶν μηχανᾶσθαι ταῦτα.

Ib. Ὅτῳ μὴ] ᾧτινι μὴ ταῦτα, ἃ λέγω καὶ φρονῶ ἐγὼ, εἰσὶν ἐν τῇ γνώμῃ αὐτοῦ ἀγαπητά.

1058. Ἐκεῖνα ςεργέτω] τὰ ἑαυτοῦ δόγματα. Γέγονε δὲ τοῦτο καὶ παροιμικόν.

1059. Μὴ τεῖνε] ἀντὶ τοῦ ἀπότεινε, λόγον δηλονότι. Τὸ ἀποτείνειν γὰρ ἐπὶ λόγου λέγεται· οἷον, ἀπέτεινε λόγον μακρόν.

1059, 1060. Ἀλλὰ—Φράζου] σκόπει ὅπως κρύψεις τὸν ἄνδρα ἐν τάφῳ. Ὅπως, ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά. Ἐνταῦθα ἀντὶ τοῦ πῶς.

1060. Χ' ὤ,τι μυθήσῃ τάχα] καὶ ὅτι μυ-

Βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
Γελῶν, ἃ δὴ κακȣ̃ργος ἐξίκοιτ' ἀνήρ.
ΤΕΥ. Τίς δ' ἐςὶν ὅντιν' ἄνδρα προςλεύσσεις ςρατȣ̃;
ΧΟΡ. Μενέλαος, ᾧ δὴ τόνδε πλȣ̃ν ἐςείλαμεν.
ΤΕΥ. Ὁρῶ· μαθεῖν γὰρ, ἐγγὺς ὢν, ȣ̓ δυςπετής.
ΜΕΝ. Οὗτος, σὲ φωνῶ· τόνδε τὸν νεκρὸν χεροῖν
Μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
ΤΕΥ. Τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;
ΜΕΝ. Δοκȣ̃ντ' ἐμοὶ, δοκȣ̃ντα δ' ὃς κραίνει ςρατȣ̃.
ΤΕΥ. Οὐκȣ̃ν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;
ΜΕΝ. Ὅθ' ȣ̔́νεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
Ἄξειν* Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
Ἐξεύρομεν ζητȣ̃ντες ἐχθίω Φρυγῶν·
Ὅςτις ςρατῷ ξύμπαντι βȣλεύσας φόνον,
Νύκτωρ ἐπεςράτευσεν, ὡς ἕλοι δορί.
Κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην,

* Aldus, Ἄγειν.

θήσῃ πρὸς τὴν ἔφοδον Μενελάȣ· τȣτέςι τὴν ἄφιξιν· ἤτοι πρὸς αὐτὸν Μενέλαον.

1062. Ἐξίκοιτ' ἀνήρ] πιθανῶς πάρεςιν, ὅτι ȣ̓ συμπαθήσων πάρεςιν. Οὐκ ἀργῶς δὲ τȣ̃το, ἀλλ' ὥςπερ προπαρασκευάζων τὸν Τεῦκρον· Λέγει δὲ, ἐξίκοιτο ἂν (ἤγȣν διεξέλθοι) ἃ ἀνὴρ κακȣ̃ργος ἐξίκοιτο ἂν δηλονότι.

Ib. Ἐξίκοιτ' ἀνὴρ] ȣ̓ μόνον διεξέρχομαι, ἀλλὰ καὶ ἐξέρχομαι χωρὶς τῆς διὰ φαμὲν, ὡς ἐνταῦθα.

Καὶ Εὐριπίδης,

"Θνητοὶ γὰρ ἐξίασι πάντα δὴ κάλων."

1063. Τίς δ' ἐςὶν] ἤγȣν, τίς ἀνήρ ἐςιν ἀπὸ τȣ̃ ςρατȣ̃, ὃν προςλεύσσεις, ἤγȣν βλέπεις;

1064. Ὧ, δὴ τόνδε πλȣ̃ν] ἀντὶ τȣ̃, δι' ὅντινα τὸν ἐπὶ Τροίαν ἐςειλάμεθα πλȣ̃ν.

Ib. Ἐςείλαμεν] ἀντὶ τȣ̃ ἐςειλάμεθα. Στέλλω, τὸ κοσμῶ· ςέλλομαι δὲ, ἐπὶ τῆς ἐν θαλάσσῃ πορείας, οἷον ἐςείλατό τις τόνδε τὸν πλȣ̃ν.

Ib. Μαθεῖν γὰρ, ἐγγὺς] ἤγȣν ἐγγὺς γὰρ ὢν ȣ̓ δυςπετής ἐςιν εἰς τὸ θεαθῆναι. Δυςπετὴς, ὁ δυσκόλως ὑπείκων, ἤγȣν ὁ δυςχερὴς, ᾧ ἐναντίον ὁ εὐπετὴς, ὁ εὐκόλως ὑπείκων. Προπετὴς, ὁ ἔμπροσθεν κείμενος· προπέτης δὲ, παροξυτόνως, προαρπάζων τὸ πρᾶγμα, καὶ παρὰ τὸν καιρὸν παῤῥησιαζόμενος· ἀπὸ τῶν ςρȣθίων τῶν πρὸ τȣ̃ καιρȣ̃ ζητȣ́ντων πέτεσθαι.

1067. Μὴ συγκομίζειν] μὴ θέλε κηδεύειν, ἀλλὰ θέλε ἀφιέναι καθὼς διάκειται.

1070. Οὐκȣ̃ν] ȣ̓κȣ̃ν, εἴποις ἂν, προςθεὶς δι' ἥντινα αἰτίαν προστάσσεις μοι μὴ συγκομίσαι τὸν νεκρὸν, ἀλλ' ἐᾷν αὐτὸν καθὼς διάκειται.

1076. Κεἰ μὴ θεῶν] καὶ ἂν μὴ τὶς ἀπὸ τῶν θεῶν ἔσβεσε τήνδε τὴν πεῖραν, ἡμεῖς μὲν ἂν θανόντες πρȣκείμεθα ἐν αἰσχίςῳ μόρῳ, κατὰ ταύτην τὴν τύχην, ἣν εἴληχεν ȣ̔̃τος, ὁ Αἴας. Ἤγȣν ἀνελπίςως ȣ̔́τω καὶ αἰφνιδίως.

1078. Πȣ̃

Θανόντες ἂν πρȣκείμεθ᾽ ἐχθίςῳ μόρῳ*·
Οὗτος δ᾽ ἂν ἔζη· νῦν δ᾽ ἐνήλλαξεν θεὸς
Τὴν τȣδ᾽ ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν·
Ὧν ȣ̔́νεκ᾽ αὐτὸν ȣ̓́τις ἐς᾽ ἀνὴρ σθένων
Τοσȣ̃τον, ὥςτε σῶμα τυμβεῦσαι τάφῳ·
Ἀλλ᾽ ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος†,
Ὄρνισι φορβὴ παραλίοις γενήσεται.
Πρὸς ταῦτα, μηδὲν δεινὸν ἐξάρῃς μένος.
Εἰ γὰρ βλέποντος μὴ ᾽δυνήθημεν κρατεῖν,
Πάντως θανόντος ἄρξομεν, κᾂν μὴ θέλῃς,
Χερσὶν παρευθύνοντες· ȣ̓ γὰρ ἐσθ᾽ ὅπȣ
Λόγων ἀκȣ̃σαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
" Καίτοι κακȣ̃ πρὸς ἀνδρὸς, ἄνδρα δημότην

* Aldus, αἰσχίςῳ μόρῳ. † Turn. ἐκβεβλημένον.

1078. Πρȣκείμεθ᾽] δέον εἰπεῖν πρὸς τὸ μόρῳ ὃν εἴληχεν, ἐπειδὴ ὁ τοιȣ̃τος δυςτυχία τὶς ἦν· Οὐ γὰρ φυσικῶς, ἀλλ᾽ οἰκτρῶς διὰ ξίφȣς γέγονεν, ὅθεν καὶ ἔχθιςον καλεῖ· πρὸς τȣ̃το καὶ τὴν σύνταξιν ἀπέτεινεν ȣ̔́τως, ἡμεῖς μὲν θανόντες ὑπ᾽ αὐτȣ̃ πρȣκείμεθα ἂν ἐν ἐχθίςῳ θανάτῳ, ἣν τύχην καὶ δυςτυχίαν εἴλεχε καὶ ἐκληρώσατο ȣ̔́τος, τὴν δὲ καὶ ταύτην ἣν ὁρῶμεν, σφαγεὶς αὐτὸς ὑπ᾽ αὐτȣ̃.

1081. Ὧν ȣ̔́νεκ᾽ αὐτὸν] ȣ̓δείς ἐςιν ἀνὴρ σθένων τοιȣ̃τον ὥςτε τυμβεῦσαι τάφῳ, ἤγȣν ἐνταφιάσαι αὐτόν. Εἶτα ἐπάγει τὸ σῶμα. Καὶ ἔςιν ὅμοιον τῷ, ποῖόν σε φύγεν ἕρκος ὀδόντων; ἐφ᾽ οἷς ὅλον τι δείκνυται καὶ μέρος. Προαρπάζει δὲ τὸ ὅλον τὴν δύναμιν τȣ̃ ῥήματος, εἶτα ὥςπερ ἐκ μεταμελείας δίδωσιν αὐτὴν τῷ μέρει. Συνυπακȣ́εται γὰρ ἐν τȣ́τοις ἐπὶ τȣ̃ μέρȣς ἡ κατὰ πρόθεσις, ἵν᾽ ᾖ ȣ̔́τως, ποῖον ἔπος ἔφυγέ σε; λέγω κατὰ τὸ ἕρκος τῶν ὀδόντων. Καὶ ȣ̓δείς ἐςιν ἀνὴρ σθένων τοσȣ̃τον, ὥςτε τυμβεῦσαι τῷ τάφῳ αὐτὸν, λέγω κατὰ τὸ σῶμα.

1083. Ἀμφὶ χλωρὰν ψάμαθον] διὰ τὰ ἐκεῖσε φυτά·

1085. Δεινὸν] δεινόν ἀντὶ τȣ̃ μέγα καὶ βαρὺ καὶ χαλεπὸν καὶ ἐπιβλαβὲς, μένος ἀντάρῃς.

1086. Μὴ ᾽δυνήθημεν] Εἰ γὰρ μὴ ἐδυνήθημεν ἄρχειν αὐτȣ̃ ζῶντος, πάντως γὰρ ἄρξομεν αὐτȣ̃ θανόντος, κᾂν σὺ μὴ θέλῃς, ὦ Τεῦκρε, βίᾳ χειρῶν νικῶντες· ȣ̓ γὰρ ἦν δυνατὸν ποτὲ, ὑπακȣ̃σαι τῶν ἐμῶν λόγων. Ἔχει δὲ ὁ λόγος ȣ̔́τως. οὐ γὰρ ἐθέλησε ζῶν αὐτὸς ὁ Αἴας ἀκȣ̃σαι τῶν ἐμῶν λόγων.

1088. Χερσὶν παρευθύνοντες] ἐκτρέποντες, ἀπὸ τῶν μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδὸν, ἀλλὰ παρακλινόντων αὐτȣ́ς.

Ib. Οὐ γάρ ἐσθ᾽ ὅπȣ] ȣ̓κ ἔςιν ὅπȣ, ἀντὶ τȣ̃ ȣ̓δαμȣ̃· τȣτέςιν ȣ̓κ ἔςι τόπος ὅπȣ. Οὐκ ἔςιν ὅτε, ἀντὶ τȣ̃ ȣ̓δέποτε· ἤγȣν ȣ̓κ ἔςι χρόνος ὅτε. ȣ̓κ ἔςιν ὅπως, ἀντὶ τȣ̃, ȣ̓κ ἔςι τρόπος ὅπως.

1090. Καίτοι κακȣ̃ πρὸς ἀνδρὸς] ἐκ γενικῆς ἀρξάμενος, αἰτιατικὴν ἐπήνεγκε πρὸς τὸ ἀπαρέμφατον· ȣ̔́τως γὰρ ἔδει εἰπεῖν, ἀνδρὸς κακȣ̃ ἐςὶ μηδὲν ἀκȣ́ειν δικαιȣ̃ν τῶν ἀρχόντων. Ἐπεὶ ȣ̓̃ν ȣ̔́τω μὴ ἀκȣ́ων τῶν ἐφεςώτων, ὡς πρὸς ἐκείνȣς ἰδιώτης ἦν, διὰ τȣ̃το εἶπε τὸ, ἄνδρα δημότην, πρὸς τὸ ἀπαρέμφατον ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν τρέψας τὸν λόγον.

Ib. Καίτοι κακȣ̃] καίτοι ἴδιόν ἐςιν ἀνδρὸς κακȣ̃, μηδὲν δικαιȣ̃ν ἀκȣ́ειν τῶν ἡγεμόνων, τȣ̀ς ἄνδρας τȣ̀ς δημότας. Τȣτέςιν, ἴδιόν ἐςιν

" Μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
" Οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
" Φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκοι δέος,
" Οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,
" Μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.
" Ἀλλ' ἄνδρα χρή, κἂν σῶμα γεννήσῃ μέγα,
" Δοκεῖν πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ.
" Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ' ὁμοῦ,
" Σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο·
" Ὅπου δ' ὑβρίζειν, δρᾶν θ' ἃ βούλεται πάρα,
" Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ,
" Ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
" Ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,

ἀνδρὶ κακῷ, μηδαμῶς ἀφιέναι ἄνδρα δημότην, κλύειν τῶν ἐφεστώτων.

1091. Δικαιοῦν] δίκαιον κρίνειν. Κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

1093. Φέροιντ' ἂν] ἤγουν διοικοῖντο·

Ib. Ἔνθα μὴ καθεστήκοι δέος] καὶ Ἐπίχαρμος, " Ἔνθα δέος, ἐνταῦθα καὶ αἰδώς."

1096. Ἀλλ' ἄνδρα] ἤγουν, ἀλλ' ἕκαστον ἄνδρα χρὴ νομίζειν πεσεῖν. Καὶ ἀπὸ σμικροῦ κακοῦ ἐνίοτε, κἂν καὶ σῶμα γεννήσῃ μέγα.

1098. Δέος γὰρ ᾧ] καὶ Ὅμηρος·

" Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ
" πέφανται."

Ib. Δέος γὰρ] ᾧτινι δὲ ἀνδρὶ πρόσεστι δέος ὁμοῦ καὶ αἰσχύνη, τοῦτον τὸν ἄνδρα γίνωσκε ἔχοντα σωτηρίαν·

Ib. Δέος γὰρ ᾧ πρόσεστιν] καλῶς εἶπεν ἀμφότερον, τὸ δέος καὶ τὴν αἰσχύνην· δέδιε γάρ τις τύραννον, οὐ μὴν αἰδεῖται. Ὡς ἦν καιροῦ τύχῃ, ἑτοίμως ἂν τοῦτον καθέλοι. Εἰ δέ τις σὺν τῷ φόβῳ καὶ αἰδῷ πρὸς τὸν οἰκεῖον ἄρχοντα φυλάττει, οὗς τε ἀεὶ πρὸς τὸ ἄρχεσθαι ἐστηρίξει, νεωτερίσας μηδέποτε, ὅ,τι ἄρχων τῆς αὐτοῦ σωτηρίας διὰ παντὸς φροντιεῖ·

1100. Ὅπου δ'] Ὅπου δὲ πάρεστιν ὑβρίζειν καὶ δρᾶν, ἅτινα ἕκαστος βούλεται, ταύτην τὴν πόλιν νόμιζε ἐν χρόνῳ ποτὲ, ἐξ οὐρίων ἀνέμων δραμοῦσαν, πεσεῖν εἰς βυθόν· ἀλλ' ἔστω ἐμοὶ καὶ παντὶ, φόβος ἀναγκαῖος.

1102. Ἐξ οὐρίων δραμοῦσαν] πνεύματι [πνευμάτων] δηλονότι. Ἀπὸ μεταφορᾶς τῆς νεὼς τῆς ἀπὸ τῆς πρύμνης ἐχούσης τὴν φοράν.

1103. Καίριον] πάνυ ἀσφαλῶς τὸ καίριον.

Ib. Ἀλλ' ἑστάτω καίριον] καὶ εἰ μὲν λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ σταθήτω, κανονίζεται οὕτως· ἵστημι, στήσω, ἕστακα, ἕστακας, ἕστακε. Καὶ τὸ προστακτικὸν ἕστακε, ἑστακέτω. κατὰ δὲ συγκοπὴν, ἑστάτω. Διὸ καὶ δασύνεται. Εἰ δὲ λαμβάνεται τὸ ἑστάτω ἀντὶ τοῦ ὑπαρχέτω, κανονίζεται οὕτως· Εἰμὶ, τὸ ὑπάρχω. καὶ τὸ πληθυντικὸν, ἐμέν· τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται· ὥσπερ τίθημι, τίθεμεν· τροπῇ δὲ τῆς μεν εἰς θι, γίνεται τὸ προστακτικὸν ἔθι καὶ, ἐπενθέσει τοῦ σ, ἔσθι. Ἀλλ', ἡνίκα πλεονάσει συμφώνων, τρέπεται τὸ ε εἰς ι. Οἷον ἕπω, ἵσπω. ἔχω, ἴσχω. Οὕτω καὶ τὸ ἔσθι ἐνήλλαξε τὸ ε εἰς ι, καὶ γέγονεν ἴσθι· τὸ τρίτον, ἔστω. Ἐφύλαξε δὲ τὸ ἔστω τὸ ὀφειλόμενον ει καὶ, κατ' ἐπέκτασιν, ἑστάτω. Διὸ καὶ χρὴ ψιλοῦσθαι.

" Καὶ μὴ δοκῶμεν, δρῶντες ἃ ἂν ἡδώμεθα,
" Οὐκ ἀντιτίσειν αὖθις, ἃ ἂν λυπώμεθα.
" Ἕρπει παραλλὰξ ταῦτα." Πρόσθεν οὗτος ἦν
Αἴθων ὑβριστής· νῦν δ᾽ ἐγὼ μέγ᾽ αὖ φρονῶ,
Καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
Μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.

ΧΟΡ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
Εἶτ᾽ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.

ΤΕΥ. Οὐκ ἄν ποτ᾽, ἄνδρες, ἄνδρα θαυμάσαιμ᾽ ἔτι,
Ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ᾽ ἁμαρτάνει,

1104. Καὶ μὴ] ὅτι ἀμφοτέρω τὸ ἂν, οὐ μόνοι σύνδεσμοί εἰσιν, ἀλλὰ δύο μέρη τοῦ λόγου, ἃ ἄρθρον, καὶ ἂν σύνδεσμος. Ὅθεν καὶ κατὰ κρᾶσιν ἃ ἂν γέγονεν, ὡς τῷ σοφωτάτῳ ἐπενοήθη Πλανούδῃ. Ὁ γὰρ ἂν σύνδεσμος βραχύς ἐστι παρὰ τοῖς μετρικοῖς· ἐνταῦθα δὲ μακρόν ἐστι τὸ ἂν· ὥστε δύο μέρη τοῦ λόγου ἐστὶ κραθέντα εἰς ἕν. Σύντασσε δὲ οὕτω, καὶ μὴ δοκῶμεν καὶ νομίζωμεν δρῶντες ἐκεῖνα, ἃ ἂν ἡδώμεθα, τοῦ α, οὐ πρὸς τὸ ἡδώμεθα ὄν, ἀλλὰ πρὸς τὴν ὄπισθεν ἔξωθεν νοουμένην αἰτιατικὴν, τὸ ἐκεῖνα· οὐκ ἀντιτίσειν καὶ οὐκ ἀντιδοῦναι αὖθις καὶ πάλιν ἐκεῖνα ἃ ἂν λυπωμέθα· τοῦ αὐτοῦ κἀνταῦθα συμβαίνοντος πρὸς τὸ ἃ ὅπερ καὶ πρώην ἔφαμεν πρὸς τὸ ἕτερον.

Ib. Καὶ μὴ δοκῶμεν] ἐὰν ποιοῦντές τι παρὰ φύσιν ἡδώμεθα, μὴ ὑπολαμβάνωμεν ὅτι οὐκ ἀντιτίσομεν. Προλαβὼν δὲ τὸ δρῶντες, λαμβάνει τὴν αἰτιατικὴν οἰκείως, εἶτα ἐπάγει τὸ ἡδώμεθα, ἀποδεδομένον πρὸς τὴν προηγησαμένην πτῶσιν. Καὶ ἐπὶ τοῦ ἐφεξῆς στίχου τὸ αὐτὸ συμβαίνει, καὶ ἐφ᾽ ἑτέρων πλείστων.

Ib. Δρῶντες] καὶ δρῶντες ὃ ἂν βουλώμεθα, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις αὐτὸ, ὁπότε ἂν λυπώμεθα καὶ βλαπτόμεθα· ἀλλὰ ταῦτα· ἢ καὶ ἄλλως. Καὶ ὁπόταν ἡδώμεθα, δρῶντες τὸ τῆς ἡδονῆς ἔργον· μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις αὐτὸ, ὁπόταν λυπώμεθα. Ἀλλὰ ταῦτα ἐπέρχονται καὶ βαδίζουσιν ἐνηλλαγμένως. Ἢ, καὶ ὁπόταν ἡδώμεθα δρῶντες ἅτινα θέλομεν, μὴ δοκῶμεν οὐκ ἀντιτίσειν αὖθις ὁπόταν λυπώμεθα, ἅτινα μὴ θέλομεν δηλονότι.

1106. Παραλλὰξ] ἤγουν κατὰ διαδοχήν. Ἀλλάττομαι τοῦδε τόδε, ἤγουν διὰ τοῦδε τόδε. Ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως· ἐξαλλάττειν, τὸ ἀμείβειν καὶ ἀλλοιοῦν· Οἷον, ἐξαλλάττεις τὸ χρῶμα. Συναλλάττειν, ἐπὶ συμφωνίας γάμου, ἀφ᾽ οὗ συνάλλαγμα, καταλλάττειν, καὶ διαλλάττειν τὸ εἰς φιλίαν συνάγειν. Καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι μεταλλάττειν, τὸ βαίνειν ἀπό τινος εἴς τι, καθ᾽ ὃ λέγεται τὸ, μετήλλαξε τὸν βίον. Παραλλάττειν, τὸ τῇ διαθέσει ἀλλοῖον δείκνυσθαι, ἀφ᾽ οὗ παραλλὰξ ἐπίρρημα, ὅταν ἐφεξῆς ἕτερον ἑτέρῳ ἀλλοῖον κέηται· καὶ ἁπλῶς τὸ ἐφεξῆς ἑτέρῳ ἕτερον κεῖσθαι. Ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ τὸ διάγειν. Ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν.

1107. Αἴθων ὑβριστής] οὐχ ἵσταται ἐπὶ τῶν αὐτῶν. Ἦν τότε ὑβριστὴς οὗτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε. Καὶ ἡμεῖς οἱ πρότερον κρατούμενοι ὑπ᾽ αὐτοῦ, νῦν κρατοῦμεν, καὶ μέγα φρονοῦμεν.

1110. Μὴ γνώμας ὑποστήσας σοφὰς] ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα ἐγνωμολόγησε. Διάκειται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον, ὑπεσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα.

1112. Οὐκ ἄν ποτ᾽, ἄνδρες] πρὸ τῆς ἀντιλογίας βούλεται μαλάξαι τὸν Μενέλαον, ὅτι εὐγενὴς ὢν, οὐκ ἄξια τῷ γένει ἐξαμαρτάνει. Ὁ δὲ λόγος παιδεύει τοὺς εὐγενεῖς μὴ ἁμαρτάνειν.

1113. Μηδὲν ὢν γοναῖσιν] οὐδαμινὸς ὢν τῷ γένει, ἤτοι δυσγενὴς ὤν.

Ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
Τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
Ἄγ' εἴπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φὴς ἄγειν
Τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
Οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
Ποῦ σὺ 'στρατήγεις τοῦδε; ποῦ δέ σοι λεῶν
Ἔξεστ' ἀνάσσειν, ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
Οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
Ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδέ σε.
Ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
Στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
Ἀλλ' ὧνπερ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν' ἔπη
Κόλαζ' ἐκείνους· τόνδε δ' εἴτε μὴ σὺ φὴς,
Εἴθ' ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
Θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
Οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
Γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ·
Ἀλλ' οὕνεχ' ὅρκων οἷσιν ἦν ἐπώμοτος,

1114. Ὅθ' οἱ δοκοῦντες] ὅτε οἱ νομίζοντες· τὸ δὲ ὅπου ἁρμόζει μετὰ τοῦ καί.

1116. Ἦ σὺ φὴς ἄγειν] κατ' ἐρώτησιν.

1119. Ποῦ σὺ 'στρατηγεῖς τοῦδε] πῶς τῷ Αἴαντι προστάσσεις ὁ μὴ τῶν ὑπὸ Αἴαντι ἔχων ἐξουσίαν.

1121. Σπάρτης ἀνάσσων ἦλθες] ὁ λόγος ἅπας, ὅτι σύμμαχος ἦλθεν, οὐχ ὑπήκοος.

1122. Οὐδ' ἔσθ' ὅπου σοι] οὐδ' ἔστιν ὅπου σοι πλέον προὔκειτο τοῦτον κοσμεῖν· ἀλλ' οὐχὶ σὲ ὑπὸ τούτου κοσμεῖσθαι.

1223. Ἢ καὶ τῷδέ σε] γράφεται ἢ καὶ τοῦδέ σοι.

1124. Ὕπαρχος ἄλλων] ἀντὶ τοῦ, καὶ αὐτὸς ἑτέροις ὑποτέταξε.

1126. Τὰ σέμν' ἔπη] διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ.

1127. Κόλαζε] ἤγουν δίδασκε. Κολάζειν τὸ παιδεύειν· ἀφ' οὗ κεκολασμένα ἤθη, τὰ πεπαιδευμένα· καὶ ἀκόλαστα, τὰ ἀπαίδευτα.

1128. Εἴθ' ἅτερος στρατηγὸς] τὸν περὶ τῆς ἐπιβουλῆς λόγον ἀποφεύγει, ὡς δυσανάτρεπτον. Ἐνδιατρίβει δὲ τῷ, ὅτι οὐ πάντων εἰσὶν ἄρχοντες.

1130. Οὐ γάρ τι τῆς σῆς] ἀντετίθει γάρ τις, ὅτι διὰ τὴν Ἑλένην ἡ στρατεία ἐγένετο· Ὅπερ οὖν ἔθλιβεν αὐτὸν, ἀνεσκεύασεν.

1131. Οἱ πόνου πολλοῦ πλέῳ] οἱ φιλοκίνδυνοι· οἱ πλήρεις τῶν πόνων. Λέγει δὲ τοὺς μισθοφόρους· οὐχ ὥσπερ μισθοφόρος τις, ἐπὶ μισθῷ ἐστρατεύσατο.

1132. Ἀλλ' οὕνεχ' ὅρκων] τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, Τυνδάρεως πάντας ὅρκους ἀπῄτησεν συναγωνί-

δίεσθαι

Σῦ δ' ὐδέν· ὐ γὰρ ἠξίυ τὺς μηδένας.
Πρὸς ταῦτα, πλείυς δεῦρο κήρυκας λαβὼν,
Καὶ τὸν ϛρατηγὸν, ἧκε· τῦ δὲ σῦ ψόφυ
Οὐκ ἂν ϛραφείην, ὡς ἂν ᾖν οἷόςπερ εἶ.
ΜΕΝ. Οὐκ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
ΤΕΥ. "Τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει."
ΜΕΝ. Ὁ τοξότης ἔοικεν ὐ σμικρὰ φρονεῖν.
ΤΕΥ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
ΜΕΝ. Μέγ' ἂν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.
ΤΕΥ. Κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.
ΜΕΝ. Ἡ γλῶσσά συ τὸν θυμὸν ὡς μέγαν τρέφει *·
ΤΕΥ. "Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεϛι φρονεῖν."
ΜΕΝ. Δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
ΤΕΥ. Κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

* Ald. Turn. in marg. ὡς δεινὸν τρέφει.

σεσθαι τῷ γαμῦντι αὐτὴν, καὶ ϛρατεύειν, εἴτις ἁρπαγὴ γένοιτο περὶ τὴν Ἑλένην τῷ γήμαντι.

1133. Σοῦ δ' ὐδὲν] ὅλως γάρ σε ὐκ εἶχεν ἐν ἀριθμῷ· πεποιθὼς δὲ Ἀγαμέμνονι, ὑβρίζει Μενέλαον· συνάδει γὰρ τῷ, Τεῦκρε φίλη κεφαλή.

1134. Πρὸς ταῦτα] τυτέϛιν, ἕνεκα τῶν ὅρκων, πολλὺς ὑπηρέτας λαβὼν ὁ Αἴας, καὶ τὸν ϛρατηγὸν Ἀγαμέμνονα ἦλθεν ἐνταῦθα.

1136. Οὐκ ἂν] τὸ σχῆμα δικανικόν·

Ib. Οὐκ ἂν ϛραφείην] τυτέϛι, ὐκ ἂν φροντίσαιμι ἕως ἂν ὑπάρχῃς ὁποῖος ὑπάρχεις. Ἤγυν θρασὺς καὶ ὑπερήφανος, κἀντεῦθεν καταφρονητὴς, καὶ ἄδικος·

1137. Οὐκ αὖ τοιαύτην] ἤγυν, ὐδαμῶς πάλιν τοιαύτην θρασεῖαν γλῶσσαν τὴν ὖσαν ἐν καιρῷ δυϛυχίας ἀγαπῶ καὶ ἀποδέχομαι. Τὰ ἐλεγκτικὰ λόγια δὴ, κἂν λίαν δίκαια ὦσι, λυπῦσι, καὶ πλήττυσι. Ἤγυν, οἱ σκληροὶ λόγοι καὶ μὴ ἱλαροὶ, κἂν ὦσιν λίαν δίκαιοι, πλήττυσι καὶ λυπῦσιν·

1138. Τὰ σκληρὰ] γνωμικόν.

1139. Ὁ τοξότης] διεβέβλητο ἡ τοξεία παρὰ τοῖς παλαιοῖς, ὡς μικροπρεπὴς τέχνη καὶ φαύλη, καὶ ἀξιόλογον ὐδὲν ἐργάσασθαι δυναμένη.

Ib. Σμικρὰ φρονεῖν] ἀντὶ τῦ, ταπεινοφρονεῖν. Ὦ, ἐναντίον, τὸ ὑψηλὰ φρονεῖν. καὶ μεγὰ φρονεῖν. καὶ ὑψηλοφρονεῖν.

1141. Ἀσπίδ'] ἤγυν εἰ ϛαδίην πολεμήσαις. Συϛάδην μάχονται, οἱ συμβάλλοντες τὴν μάχην ἐγγύθεν. Ἀκροβολίζονται δὲ οἱ μακρόθεν βέλεσι μαχόμενοι. Ἀφ' ὖ ἀκροβολισμὸς, ὁ κοινῶς ἀνεμοπόλεμος.

1142. Κἂν ψιλὸς] τὰ τοιαῦτα σοφίσματα ὐκ οἰκεῖα τραγῳδίας. Μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπεκτεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσε τὸ τραγικὸν πάθος.

1144. Ἔξεϛι φρονεῖν] ἤγυν, ἄδειά ἐϛι φρονεῖν. Φρονεῖν ἐϛὶ μεγαλοφρονεῖν.

1145, 1146. Κτείναντά με;—Κτείναντα; δεινόν] ὁ μὲν εἶπεν ὅσον ἐφ' ἑαυτῷ· ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται. Τὸ δὲ τοιῦτο, κωμῳδίας μᾶλλον, ὐ τραγῳδίας.

ΜΕΝ. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.
ΤΕΥ. Μὴ νῦν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.
ΜΕΝ. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕΥ. Εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
ΜΕΝ. Τούς γ' αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν.
ΤΕΥ. Ἦ σοί γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
ΜΕΝ. Μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.
ΤΕΥ. Κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.
ΜΕΝ. Ἐν τοῖς δικασταῖς κοὐκ ἐμοὶ τόδ' ἐσφάλη.
ΤΕΥ. Πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
ΜΕΝ. Τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
ΤΕΥ. Οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
ΜΕΝ. Ἕν σοι φράσω, τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
ΤΕΥ. Σὺ δ' ἀντακούσῃ τοῦτον, ὡς τεθάψεται.
ΜΕΝ. Ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν,

1147. Τῷδε δ' οἴχομαι] ἤγουν ὅσον τὸ ἐπὶ τούτῳ.

1148. Ἀτίμα] ἤγουν ἀτίμους ποίει. Ἀτιμάζω τὸ καταφρονῶ· ἀτιμῶ, τὸ ἄτιμον ποιῶ· καὶ ἠτιμωμένος ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸν παθητικὸν παρακείμενον ἐν τῇ τρίτῃ συζυγίᾳ.

1151. Τούς γ' αὐτὸς] ἤγουν τοὺς πολεμίους αὐτὸς αὑτοῦ, ἀντὶ τοῦ ἐμαυτοῦ, οὐκ ἐῶ δηλονότι θάπτειν.

1152. Πολέμιος προὔστη ποτέ;] ἤγουν προστάτης πολέμου ἐγίνετο κατά σου. Πολέμιος ὁ ἀπ' ἀλλοτρίας χώρας ἐχθρός· ἐχθρὸς δὲ, ὁ ἀπὸ τῆς αὐτῆς.

1153. Μισοῦντ' ἐμίσει] ἴσως τισὶ τὸ μισοῦντα ἐμίσει, εὔηθες εἶναι δόξῃ· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' εἰ μὲν ἄλλος τὶς τῶν ἰδιωτῶν πρὸς ἴσον τοῦτ' ἔλεγεν, ἀνοίας γέμοντα λόγον ἐδόκει ἂν προφέρειν. Ἃ γὰρ ἐποίει ἔπασχε. Νῦν δὲ βασιλεὺς ἦν ὁ πρὸς ἐλάττονας τοῦτο πάσχων· διὸ καὶ βάρος παρεῖχον.

1156. Πόλλ' ἂν κακῶς] ἤγουν πολλὰ ἂν κακὰ κακῶς κλέψειας σὺ, ἤγουν μετὰ κλοπῆς ἐργάσαιο λάθρα.

1158. Οὐ μᾶλλον, ὡς ἔοικεν] συνεκδοχικῶς λείπει τὸ λυπηθησόμεθα, ἵν' ᾖ, οὐ μᾶλλον λυπηθησόμεθα ἢ λυπήσομεν. Τουτέστι, πλέον λυπήσομέν σε ἀντιβαίνοντα ἡμῖν, ἢ λυπηθησόμεθα ὑπὸ σοῦ. Ἢ οὕτως, οὐ μᾶλλον ἦλθέ σοι εἰς ἀνίαν τοῦτο τὸ ἔπος, ἢ λυπήσομεν. Ἤτοι, πλέον λυπήσομεν ἔτι ἢ λυπήσαμεν.

1159. Τόνδ' ἐστὶν οὐχὶ θαπτέον] ἤγουν οὐκ ἄξιόν ἐστι θάπτειν τόνδε. Θαπτέον κοινῶς, θαπτέον ἐστὶν, Ἀττικῶς. Οἱ γὰρ Ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, τὸ ποιητέον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης, χωρὶς προσθήκης τινὸς λεγόμενα, προστιθέασιν αὐτοῖς τὸ ἐστιν, ὃ συνυπακούετο ἔξωθεν παρὰ τοῖς κοινοῖς· ἵνα καινότερον τὸν λόγον ἐργάσωνται.

1160. Σὺ δ' ἀντακούσῃ] μὴ λάβῃς ἔξωθεν εἰς τὸ τοῦτο διά, ἀλλ' ἔστιν ὅμοιον τῷ, τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου· ἐκεῖ γὰρ τούτου ἐμνημονεύσαμεν.

1161. Ἤδη πότ' εἶδον ἄνδρ'] ἤδηποτ' εἶδον ἐγὼ ἄνδρα θρασὺν ἐν γλώσσῃ ὁρμήσαντα σὺν τοῖς ναύταις ἐπὶ τὸ πλεῖν κατὰ τὸν καιρὸν τοῦ χειμῶνος ᾧ τινι, ἤγουν ἐν ᾧ ἀνδρὶ, οὐκ ἂν εὗρες

φθέγμα,

Ναύταις ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
Ὧ, φθέγμ᾽ ἂν ὐκ ἂν εὗρες ἡνίκ᾽ ἐν κακῷ
Χειμῶνος εἴχετ᾽, ἀλλ᾽ ὑφ᾽ εἵματος κρυβεὶς,
Πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων*.
Οὕτω δὲ καί σε καὶ τὸ σὸν λάβρον ϛόμα,
Σμικρῦ νέφυς τάχ᾽ ἄν τις ἐκπνεύσας μέγας
Χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
ΤΕΥ. Ἐγὼ δέ γ᾽ ἄνδρ᾽ ὄπωπα μωρίας πλέων,
Ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
Κᾆτ᾽ αὐτὸν εἰςιδών τις ἐμφερὴς ἐμοὶ,
Ὀργήν θ᾽ ὁμοῖος, εἶπε τοιῦτον λόγον·
Ὦ ᾿νθρωπε, μὴ δρᾶ τὺς τεθνηκότας κακῶς.
Εἰ γὰρ ποιήσεις, ἴσθι πημανύμενος.
Τοιαῦτ᾽ ἄνολβον ἄνδρ᾽ ἐνυθέτει παρών.
Ὁρῶ δέ τοι νιν᾽ κᾄϛιν, ὡς ἐμοὶ δοκεῖ,
Οὐδείς ποτ᾽ ἄλλος, ἢ σύ᾽ μῶν ᾐνιξάμην;
ΜΕΝ. Ἄπειμι· " καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις

* Ald. ναυτίλῳ·

φθέγμα, ἡνίκα εἴχετο καὶ κατελήφθη ἐν τῷ κακῷ τῦ χειμῶνος, ἀλλὰ ὑπὸ τῦ ἱματίυ κρυβεὶς παρεῖχεν ἑαυτὸν πατεῖσθαι τῷ θέλοντι ναυτίλῳ. Οὕτω δὲ καὶ σὲ καὶ τὸ τὸν λάβρον ϛόμα, καὶ τὴν σὴν πολλὴν βοὴν, τάχα ἄν τις χειμὼν μέγας ἐκπνεύσας ἀπὸ σμικρῦ νέφυς, κατασβέσειε.

1162. Ναύτας ἐφορμήσαντα] ἐπὶ τὸ πλεῖν. Τὸ δὲ ὁρμήσαντα, ἀντὶ τοῦ παρορμήσαντα.

1165. Πατεῖν παρεῖχε] παρεῖχεν ἑαυτὸν δηλονότι τῷ θέλοντι ναυτίλῳ ὥςτε καταπατεῖν.

1166. Καὶ τὸ σὸν λάβρον ϛόμα] τῦτο καὶ τὴν πολλὴν βοὴν καθ᾽ ὅλον καὶ μέρος λέγε. Μέρος γὰρ τῦ ϛόματος ἡ βοή. Ἰϛέον δὲ ὅτι, ὅταν ἐκ ξηρᾶς ἀναθυμιάσεως νέφος συϛῇ, ἄνεμον γεννᾷ.

1168. Κατασβέσειε] ὕτω δὲ τάχα ἂν, κατασβέσειε καὶ σὲ καὶ τὸ σὸν θρασὺ ϛόμα κατὰ τὴν πολλὴν βοὴν, μεγάλη ζάλη ἀνέμων ἐκ σμικρῦ νέφυς πνεύσασα.

1170. Ὃς ἐν κακοῖς] ὃς ἐφύβριζε τοῖς κακοῖς, ἤγυν ταῖς δυςτυχίαις τῶν πλησίον.

1169. Ἐγὼ δὲ ἄνδρ᾽] καὶ ὗτος αἰνίττεται ὡς ἐφ᾽ ἑτέρυ τὸν λόγον ποιύμενος.

1170. Ἐν κακοῖς] ἡ ἐν ἀντὶ τῆς ἐπί.

1173. Μὴ δρᾶ] μὴ ποίει. Δρῶ σε κακῶς, μετὰ αἰτιατικῆς, καὶ δρῶ σε κακὸν, ὁμοίως.

1175. Ἄνολβον] ἀνόητον. Ὄλβος γὰρ κυρίως ἡ φρόνησις.

1177. Ἠνιξάμην] εὐϛόχως παρείκασα.

1178. Ἄπειμι] ἄπειμι. Καὶ αἰσχρόν ἐϛιν ἐμοὶ τῷ Μενελάῳ, εἰ πύθοιτο τίς, ᾧτινι Μενελάῳ πάρεϛι βιάζεσθαι καὶ τύπτειν σὲ τὸν Τεῦκρον, πειρᾶσθαι καὶ δοκιμάζειν, λόγοις παιδεύειν. Ὅτι ὃν ἔδει βιάζεσθαι τῦτον βύλομαι κολάζειν λόγοις, τυτέϛιν, αἰσχρόν ἐϛιν

" Λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα".
ΤΕΥ. Ἄφερπε νῦν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν
Ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἔσται μεγάλης ἔριδός τις ἀγών.
Ἀλλ', ὡς δύνασαι, Τεῦκρε, ταχύνας
Σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
Τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
Τάφον εὐρώεντα καθέξει.

ΙΑΜΒΟΙ.

ΤΕΥ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
Πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
Τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
Ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας,
Ἱκέτης ἔφαψαι πατρός, ὅς σ' ἐγείνατο·
Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
Κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,

εἰ ἀκούσειέ τις τοῦτο, ὅτι ὦ ἀνδρὶ ἤγουν ἐμοὶ τῷ Μενελάῳ δηλονότι πάρεστι βιάζεσθαι καὶ τύπτειν σε τοῦτον.

1180. Κἀμοὶ γὰρ αἴσχιστον κλύειν] οὐδαμῆ ὑπείκει ὁ Τεῦκρος. Κἀμοὶ δὲ (φησὶν) αἴσχιστόν ἐστιν ἀνέχεσθαί σου φλυαροῦντος.

1183. Ἀλλ', ὡς δύνασαι, Τεῦκρε, ταχύνας] ὁ χορὸς ταχύνει τὸ ταφῆναι τὸ σῶμα πρὶν παραγενέσθαι τοὺς Ἀτρείδας. Ταχύνας δὲ ἀντὶ τοῦ ταχύνας σπεῦσον, κατ' ἐπίτασιν λέγεται τῆς σπουδῆς.

1184. Σπεῦσον] τὸ σπεῦσον καὶ τὸ ταχύνας οὐκ ἐκ παραλλήλου ῥητέον. Ἀλλ' οὕτω λέγε, σπεῦσον τάφον ἰδεῖν τινὰ τῷδε τῷ Αἴαντι, ταχύνας τοῦτο ὡς δύνασαι. Τοῦτ' ἔστι, τὴν περὶ τούτου σπουδὴν ὡς ἔνι σπουδάσας· ὥστε τὸ ταχύνας σπουδή τις ἐστὶ τοῦ σπεῦσον. Τὸ δὲ τινὰ, μὴ πρὸς τὸ κάπετον νοήσῃς, ἀλλὰ πρὸς τὸ ἄνθρωπον.

1184. Κάπετόν] τάφον.

1185. Ἀείμνηστον] τὸν ἐσόμενον τοῖς ἀνθρώποις τάφον ἀείμνηστον.

1186. Εὐρώεντα] σεσημμένον· σκωληκώδη. Τὸ δὲ ὅλον, ἔνθα καθέξει οὗτος δηλονότι τὸν εὐρόεντα τάφον, τὸν ἀείμνηστον ἐσόμενον δηλονότι τοῖς βροτοῖς, ἤγουν ὑπὸ τῶν βροτῶν.

1187. Ἐς αὐτὸν καιρὸν οἵδε πλησίον] πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός. Οὐκ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτε νικῆσαι δυνατά.

1192. Θάκει δὲ προστρόπαιος] ἤγουν πλησιάζων. Εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ναυτῶν τῶν πρὸς τῇ τρόπει καθημένων.

1194. Ἱκτήριον

Ἱκτήριον θησαυρόν. Εἰ δέ τις στρατȣ̃
Βίᾳ σ' ἀποσπάσειε τȣ̃δε τȣ̃ νεκρȣ̃,
Κακὸς κακω̃ς ἄθαπτος ἐκπέσοι χθονὸς,
Γένȣς ἅπαντος ῥίζαν ἐξημημένος,
Αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
Ἔχ' αὐτὸν, ὦ παι̃, καὶ φύλασσε, μηδέ σε
Κινησάτω τὶς, ἀλλὰ προσπεσὼν ἔχȣ.
Ὑμει̃ς τε μὴ γυναι̃κες ἀντ' ἀνδρω̃ν πέλας
Παρέστατ', ἀλλ' ἀρήγεθ', ἔς τ' * ἐγὼ μόλω,
Τάφȣ μεληθεὶς τω̨̃δε, κὰ̨ν μηδεὶς ἐᾳ̃.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τίς ἄρα νέατος ἐς πότε λήξει

* ALDUS, ἀρήγετ', ἔς τ'.

1194. Ἱκτήριον θησαυρόν] τὰς πολλὰς ἱκεσίας· ἢ, τὸ πλη̃θος τω̃ν ἱκετευόντων. Ἄλλως, τὸ ἱκέσιον κτη̃μα. Λέγει δὲ τὰς τρίχας. Ἱκτήριοι δὲ κλάδοι, δι' ὧν ποιȣ̃νται τὰς ἱκετηρίας. Καὶ ἱκτήριος θησαυρὸς, ὁμοίως.

Ib. Ἱκτήριον θησαυρὸν] εἰκότως τȣ̃τό φησιν· ὥσπερ γὰρ τȣ̃τον ἔχει τὶς ἐπ' ὠφελείᾳ σφετέρᾳ, ȣ̃τω καὶ διὰ ταύτης τη̃ς κόμης προξενίζειν αὐτοι̃ς εὐμένειαν παρ' Αἴαντος ἐλπίζων θησαυρὸν καλει̃.

1197. Ἐξημημένος] ἵν' ᾖ ἀφηρημένος.

1198. Αὔτως] ἀντὶ τȣ̃ ὡσαύτως. Ὥσπερ ἀπὸ τȣ̃ ȣ̃τος γίνεται ȣ̃τως ἐπίῤῥημα παρὰ τοι̃ς κοινοι̃ς, καὶ δηλοι̃ δύο (λαμβάνεται γὰρ καὶ ἀντὶ τȣ̃ κατὰ τȣ̃τον τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον, ȣ̃τως ποιω̃ ὡς ἐκέλευσας· καὶ ἀντὶ τȣ̃ ὡς ἔτυχεν) ȣ̃τως ἀπὸ τȣ̃ αὔτη, τὸ αὔτως παρὰ ποιηται̃ς, κατὰ τὰ δύο ταυ̃τα σημαινόμενα, λέγεται γὰρ τὸ αὔτως καὶ ἀντὶ τȣ̃ κατὰ τȣ̃τον τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ τὸ ὡσαύτως λέγεται παρὰ τοι̃ς κοινοι̃ς, μετὰ τȣ̃ ὡς· καὶ ἀντὶ τȣ̃ ὡς ἔτυχεν.

Ib. Πλόκον] ἰδȣ̀ σὺν τῳ̃ λόγῳ, ἐκκόπτει ὁ Τευ̃κρος καὶ τὸν πλόκαμον τη̃ς αὐτȣ̃ κεφαλη̃ς.

1201. Ὑμει̃ς τε] καλω̃ς ἐγείρει τȣ̀ς στρατιώτας πρὸς βοήθειαν. Τὸν δὲ παι̃δα πρὸς οἶκτον προβάλλεται καθ' ἡλικίαν.

1203. Κὰ̨ν μηδεὶς ἐᾳ̃] ἀπονενοημένȣ (φασὶ) τὰ πάντα ἐπὶ αὐτῳ̃ ἀνατιθέναι, ὅτι μόνος κρατήσει τω̃ν ἐχθρω̃ν βιαζομένων. ῥητέον ȣ̃ν ὅτι ὑπὸ φιλοστοργίας πάντα λέγει ὑπομένειν.

1204. Τίς ἄρα] ἡ σύνταξίς ἐστι· Τίς ἄρα ἐστὶν ὁ νέατος καὶ ἔσχατος ἀριθμὸς τω̃ν ἐτω̃ν τω̃ν πολυπλανήτων, ἕως πότε λήξει καὶ παύσεται ὁ ἀριθμὸς τω̃ν ἐτω̃ν, ὁ ἐπάγων τὴν ἄπαυστον ἄτην, καὶ βλάβην ἐμοὶ ἀεὶ τω̃ν πολεμικω̃ν μόχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν, διὰ τὸ ἄθλιον ὄνειδος τω̃ν Ἑλλήνων; ἤγȣν, διὰ τὴν Ἑλένην· ἤγȣν ἄριστον· ἄρα τίς ἐστιν ὁ νέατος ἀριθμὸς τω̃ν πολυπλάγκτων ἐτω̃ν, ὁ ἐπάγων ἐμοὶ αἰὲν τὴν ἄπαυστον τω̃ν δορυσσόντων μόχθων, ἀνὰ τὴν εὐρώδη Τροίαν. Διὰ τὸ δύστηνον ὄνειδος τω̃ν Ἑλλήνων. Ἕως πότε λήξει;

Ib. Τίς ἄρα νέατος] ὁ χορὸς πάλιν καθ' ἑαυτὸν γενόμενος, ἐν ἀναλογισμῳ̃ γίγνεται. Καί φησι, τίς ἄρα ἡμι̃ν ὁ ἔσχατος τω̃ν ἐτω̃ν ἀριθμὸς τω̃ν πολυπλάγκτων; ἐς πότε λήξει ὁ ἀριθμὸς τω̃ν ἐτω̃ν ἐμοὶ πόνȣς παρασκευάζων;

Πολυπλάγκτων ἐτέων ἀριθμὸς,
Τὰν ἄπαυςόν γ' αἰὲν ἐμοὶ
Δορυσσόντων μόχθων
Ἄταν ἐπάγων
Ἀνὰ τὰν εὐρώδη Τροίαν,
Δύςτανον ὄνειδος Ἑλλάνων;

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὄφελε πρότερον αἰθέρα δῦναι
Μέγαν, ἢ τὸν πολύκοινον ᾅδαν
Κεῖνος ἀνὴρ, ὃς ςυγερῶν
Ἔδειξ' * ὅπλων Ἕλλα-
σι κοινὸν ἄρην.

* Aldus, ἔδειξεν.

τουτέςι, τῶν κατὰ πόλεμον μόχθων, κατὰ τὴν σήπουσαν ἡμᾶς Τροίαν τῷ χρόνῳ. Τὴν Τροίαν λέγω, τὸ δύστηνον ὄνειδος τῶν Ἑλλήνων, διὰ τὴν ἐν αὐτῇ χρονίαν διατριβήν. Νέατος δὲ, ὁ ἔσχατος, καὶ νεάτη, ἡ ἐσχάτη· ἀφ' οὗ νήτη κατὰ κρᾶσιν, ἡ τελευταία χορδὴ τῆς μουσικῆς.

Ib. Πολυπλάγκτων] καθ' ὃ πολλὰ πλανώμεθα ἐν ἀλλοδαπῇ.

Ib. Πολυπλάγκτων ἐτέων] ἤτοι τῶν πολλῶν χρόνων, οὓς ἐν Τροίᾳ πλανώμεθα, μηδὲν πράττοντες ὧν χάριν ἀφίγμεθα.

1209. Εὐρώδη] σκοτεινὴν καὶ ἀερώδη τοῖς Ἕλλησιν. Ἢ σεσηπυῖαν, ἔνθα ἐχρονίσαμεν.

1210. Ὄνειδος Ἑλλάνων] εἰς ὄνειδος γὰρ τοῦτο πίπτει τοῖς Ἕλλησι τοσοῦτον χρόνον μηδὲν κατορθοῦσι. Μὴ λάβῃς δὲ εἰς τὸ ὄνειδος ἔξωθεν εἰς· ἀλλ' εἰπὼν, ὅτι ἐν τῇ Τροίᾳ πολὺν χρόνον πλανώμεθα, ἐπιφέρει, δύςτανον ὄνειδος Ἑλλάνων. Λέγων τοσοῦτον χρόνον καθῆσθαι μάτην ἐνταῦθα, δύςτανον ὄνειδος Ἑλλάνων. Ἐρεῖ δὲ καὶ προϊὼν τὸ τοιοῦτον σχῆμα. Λέγων γὰρ μετὰ τὴν ςέρησιν ἃ πάσχει, εἶτ' ἐπάγει μνήματα Τροίας.

1211. Ὤφελε πρότερον] ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνὴρ ὁ πρῶτος εἰςενεγκὼν εἰς Ἕλληνας πολεμιςήρια ὅπλα. Ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τὸ ἀδικεῖν. Τὸ δὲ ὤφελεν, ἀπὸ τοῦ ὀφείλω ὤφειλον, ἐκβολῇ τοῦ ι, ὃ ἐξ ἀνάγκης γράφεται διὰ του ω μεγάλου. Τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. Λέγεται καὶ μετὰ τοῦ οὐκ, οἷον, οὐκ ὤφελον. Καὶ μετὰ τοῦ ὡς, καὶ τοῦ μή· ἢ τοῦ οὐκ προτασσομένου τοῦ ὡς. Οἷον, ὡς μὴ ὤφελον. Ἢ, οὐκ ὤφελον· οἷον, ἐπεὶ ἐγενέτο τόδε, ὡς οὐκ ὤφελεν. Γενέσθαι δηλονότι. Συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον Καὶ, ἐπεὶ παρεγενόμην, ὡς μὴ ὤφελον. Παραγενέσθαι δηλονότι. Ἀφ' οὗ ὤφελες ἐπὶ δευτέρου, καὶ ὤφελε ἐπὶ τρίτου, λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπεν. Ὤφελον δὲ ἐπίῤῥημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ, καὶ τάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου λέγεται τοῦτο ἐνίοτε μετὰ τοῦ ὡς, οἷον, ὡς ὠφελόν γε καὶ σὲ δὴ κακοδοξίᾳ νεκρωμένον.

Ib. Αἰθέρα δῦναι] εἰς ἀφανισμὸν καὶ οὐδὲν ἐλθεῖν. Αἰθέρα δὲ, ἢ τὸ πῦρ νόει, διὰ τὸ ἀφανιςικὸν εἶναι· ἢ τὸν ἀέρα, διὰ τὸ μὴ σύςασιν ἔχειν.

1216. Πρόγονοι

Ὦ πόνοι πρόγονοι πόνων·
Κεῖνος γὰρ ἔπερσεν ἀνθρώπȣς.

ΣΤΡΟΦΗ Β.

Κεῖνος ȣ̓́τε ςεφάνων,
Οὔτε βαθειᾶν * κυλίκων
Νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
Οὔτε γλυκὺν αὐλῶν ὄτοϐον,
Δύσμορος, ȣ̓́τ' ἐννυχίαν
Τέρψιν ἰαύειν ἐρώτων·
Ἐρώτων δ' ἀπέπαυσεν, ὤμοι.
Κεῖμαι δ' ἀμέριμνος ȣ̔́τως,
Ἀεὶ πυκιναῖς δρόσοις
Τεγγόμενος κόμας λυγρὰς,
Μνήματα Τροίας.

* ALDUS, βαθεῖαν.

1216. Πρόγονοι πόνων] ἢ παλαιοὶ, ἢ ἀρχηγοὶ τῶν πόνων, οἷον, ὁπότε εἰςαγωγὴ τῶν ὅπλων ἐγένετο. ȣ̓ δεῖ δὲ ἀπειροκάλως ζητεῖν τίς πρῶτος ἐχρήσατο ὅπλοις.

1218. Ἐκεῖνος ȣ̓́τε ςεφάνων] ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, ȣ̓ ςεφάνων, ȣ̓ κύλικος, ȣ̓κ αὐλῶν τέρψιν μοι ἔνειμεν, ἀλλὰ πᾶν (φησὶ) τερπνὸν ἐξέκοψεν. Ἥδιςος δὲ ὢν ὁ Σοφοκλῆς, πάλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν. Ὅθεν καὶ μέλιττα ἐκλήθη.

1221. Ὄτοϐον] ὅμαδον· ἦχον.

Ib. Αὐλῶν ὄτοϐον] τὸ ὄτοϐος ἐνταῦθα δι' ἑνὸς τ ὀφείλει γράφεσθαι, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιςροφῆς. Φύσει γὰρ ὄττοϐος διὰ δύο τ γράφεται, ὥσπερ πάταγος, τὸ αὐτὸ σημαινόμενον, δι' ἑνός.

1222. Ἐννυχίαν] τὴν ἐν παννυχίσιν· ἢ τὴν ἐν κοίτῃ.

Ib. Οὔτ' ἐννυχίαν] ἤγȣν, ȣ̓́τε νυκτερινὴν τέρψιν ἔδωκεν ἐμοὶ ἔχειν ἐν τῷ ἰαύειν. Τȣτέςιν, ἐν τῷ κοιμᾶσθαι. Ἀλλὰ ἀπὸ τῶν ἐρώτων ἔπαυσεν ἐμὲ δηλονότι.

1223. Ἐρώτων] τῶν ἐρωτικῶν. Καὶ ἄκαιρον μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παρȣ̃σιν, ὅμως δὲ ἀκολȣθίαν ἔχει πρὸς τὰ προκείμενα. Ἰαύειν δὲ, διατελεῖν, ἀνύειν.

1225. Κεῖμαι δ' ἀμέριμνος] ἤτοι πολυμέριμνος. Οἷον, μὴ σκοπῶν περὶ θυμηδίας μηδὲν, ἀλλ' ἐν δρόσοις τεγγόμενος, ἅπερ ἔςι μοι μνημόσυνα εἰς τὸν ἀεὶ χρόνον, ἢ ἐνταῦθα κακοπάθεια. Ἢ, ἐν ȣ̓δεμιᾷ μερίμνῃ ὢν ἢ μόνον περὶ πολέμων.

Ib. Κεῖμαι δ' ἀμέριμνος] τȣ̃το ἢ ἀντὶ τȣ̃ ἀπόγνωσιν ἔχων, καὶ μεριμνῶν καὶ ἐλπίζων περὶ τῆς ἐνταῦθα ἀπαλλαγῆς, ἀδήλȣ τȣ̃ μέλλοντος ὄντος ὅπῃ τὰ τῆς νίκης χωρήσει· ἄλλως τε καὶ τȣ̃ τοσȣ́τȣ χρόνȣ εἰς ἀπορίαν ἐμϐάλλοντος· ἢ ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν, καὶ μὴ ἔχων φροντίδα ὧν ἔφην, ςεφάνων φημὶ, καὶ κυλίκων, καὶ ἐρώτων.

1226. Ἀεὶ πυκιναῖς δρόσοις] ἀντὶ τȣ̃ ὑετοῖς συνεχέσι βρεχόμενος· ȣ̓ γὰρ ὁ πολὺς τȣ̃ ςρατοπέδȣ λαὸς ἔχει σκηνὰς, φυλακὴν ὄμϐρων καὶ τῶν ἄλλων ἐξ ἀέρος δυςχερῶν, ἀλλ' οἱ ἄρχοντες μόνοι. Ἔςι δὲ καθ' ὅλον καὶ μέρος. Τὸ μὲν τεγγόμενος, ὅλον· τὸ δὲ κόμης, μέρος.

### ΑΝΤΙΣΤΡΟΦΗ β.

Πρὶν μὲν ȣ̃ν ἐννυχίȣ *
Δείματος ἦν μοι προϐολὰ
Καὶ βελέων θȣ́ριος Αἴας·
Νῦν δ' ȣ̃τος ἀνεῖται ςυγερῷ
Δαίμονι. Τίς μοι, τίς ἔτ' ȣ̃ν
Τέρψις ἐπέςαι; γενοίμαν
Ἵν' ὑλᾶεν ἔπεςι πόντȣ
Πρόϐλημ' ἁλίκλυςον, ἄκραν
Ὑπὸ πλάκα Σουνίȣ,
Τὰς ἱερὰς ὅπως προςεί-
ποιμεν Ἀθάνας.

### ΙΑΜΒΟΙ.

ΤΕΥ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν ςρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.

* Aldus, Καὶ πρὶν μὲν ἐννυχίȣ.

μέρος. Δέον δὲ λυγρῶς εἰπεῖν, πρὸς τὸ κόμας ἐπήνεγκεν.

1229. Πρὶν μὲν ȣ̃ν] ȣ̃τω χρὴ γράφειν, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τȣ̃ τῆς ςροφῆς. Τὸ γὰρ καὶ πρὶν μὲν ȣ̓κ ὀρθȣ̃ς ἔχει τȣ̀ς χρόνȣς.

Ib. Πρὶν μὲν ȣ̃ν] καὶ πρότερον μὲν ἦν ἐμοὶ ὁ θȣ́ριος Αἴας προϐολὴ τȣ̃ νυκτερινȣ̃ δείματος καὶ τῶν βελέων, ἤγȣν τȣ̃ πολέμȣ.

Ib. Ἐννυχίȣ] τῆς νυκτερινῆς ἐφόδȣ τῶν πολεμίων. Καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας.

1234. Γενοίμαν ἵν' ὑλᾶεν] ἔνθα ὑλώδης ἐξοχὴ τῆς θαλάττης. Εὔχονται δὲ ἀπαλλαγῆναι ἐπὶ τὰ οἰκεῖα. Γενοίμην ȣ̃ν (φασὶν) ἐπὶ τὴν ἄκραν πλάκα τȣ̃ Σȣνίȣ. Διὰ γὰρ Σȣνίȣ ὁ πλȣ̃ς τοῖς ἀπὸ Τροίας ἐπὶ Σαλαμῖνα. Τὸ δὲ ὅλον, εἴθε γενοίμην ὅπȣ ἐςὶ τȣ̃ πόντȣ τὸ σύνδενδρον ἀκρωτήριον, τὸ κλυζόμενον ὑπὸ τῆς ἁλὸς, λέγω, ὑπὸ τὴν ἄκραν πλάκα, ἤγȣν γῆν τȣ̃ Σȣνίȣ, ἀντὶ τȣ̃, ὑπὸ τὸ ἄκρον τῆς γῆς τȣ̃ Σȣνίȣ.

1238. Τὰς ἱερὰς] φιλοτέχνως εὐφραίνει τȣ̀ς ἀκροωμένȣς διὰ τῶν ἐπαίνων τῆς Ἀττικῆς.

1240. Καὶ μὴν] τίνα Τεῦκρος πρὸς τὸν υἱὸν Αἴαντα ἔφη.

Ib. Καὶ μὴν ἰδὼν] Τεῦκρος ἀκηκοὼς ἥκειν τὸν Ἀγαμέμνονα, ἔρχεται μετὰ σπȣδῆς.

Ib. Καὶ μὴν] Ὥςπερ ἂν εἴτις ἤρετο τὸν Τεῦκρον, τί ȣ̃τω πάρει ταχέως ἀποκρίνεται, λέγων· Καὶ μὴν ἰδὼν τὸν ςρατηλάτην Ἀγαμέμνονα ὁρμώμενον δεῦρο ἐν ἡμῖν, ἔσπευσα, καὶ ἦλθον, καταλιπὼν δηλονότι τὴν διορυγὴν τȣ̃ τάφȣ. Ἐκλύσων δὲ αὐτὸς ὁ Ἀγαμέμνων τὸ σκαιὸν αὐτȣ̃ ςόμα κατ' ἐμȣ̃ δῆλός ἐςιν ἐμοὶ, ὅτι αὐτός ἐςι, καὶ ȣ̓κ ἄλλος δηλονότι.

Ib. Ἔσπευσα τὸν ςρατηλάτην] ἐσπȣ́δασα ἐλθεῖν ἐνταῦθα παρὰ τὸν Αἴαντα, καὶ ἀφῆκα τὴν τȣ̃ τάφȣ διορυγὴν, πρὸς τȣ̃το γὰρ ἐςι τὸ, καὶ μὴν, ἔμφασιν ἔχον, ὥςπερ ἂν εἴτις αὐτὸν ἤρετο, τί ȣ̃τω πάρει ταχέως.

Δῆλος δέ μοι 'ςὶ σκαιὸν ἐκλύσων ςόμα.
ΑΓΑ. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλȣσί μοι
Τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν;
Σέ τοι τὸν ἐκ τῆς αἰχμαλώτιδος λέγω·
Ἦπȣ τραφεὶς ἂν μητρὸς εὐγενȣ̃ς ἄπο,
Ὑψήλ' ἐκόμπεις * κἀπ' ἄκρων ὠδοιπόρεις,
Ὅτ' ȣ̓δὲν ὢν, τȣ̃ μηδὲν ἀντέςης ὕπερ,
Κȣ̃τε ςρατηγȣ̀ς, ȣ̃τε ναυάρχȣς μολεῖν
Ἡμᾶς Ἀχαιῶν, ȣ̃τε σȣ̃, διωμόσω,
Ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῂς, Αἴας ἔπλει.
Ταῦτ' ȣ̓κ ἀκȣ́ειν μεγάλα πρὸς δȣ́λων κακά;
Ποίȣ κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
Πȣ̃ βάντος, ἢ πȣ̃ ςάντος, ȣ̃περ ȣ̓κ ἐγώ;
Οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
Πικρȣ̀ς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
Ἀγῶνας Ἀργείοισι κηρύξαι τότε,
Εἰ πανταχȣ̃ φανοίμεθ' ἐκ Τεύκρȣ κακοί.

* ALD. TURN. in marg. Ὑψήλ' ἐφώνεις.

1242. Σκαιὸν ςόμα] σκαιȣ̀ς λόγȣς, ἤγȣν κακȣ́ς· σκαιὸν γὰρ καὶ τὸ κακὸν, καὶ τὸ ἀπαίδευτον, καὶ τὸ ἀριςερόν.

1243. Σὲ δὴ τὰ] πρότασις. Ἔςι δὲ καὶ ἐνταῦθα Ἀγαμέμνονος ἄφιξις δεινοπαθȣ̃ντος κατὰ τȣ̃ Τεύκρȣ.

Ib. Σὲ δὴ] σὲ δὴ ἀγγέλλȣσιν ἐμοὶ, τολμῆσαι εἰπεῖν καθ' ἡμῶν ȣ̃ ἀνοιμωκτὶ τὰ χαλεπὰ ῥήματα.

1244. Τλῆναι] τολμῆσαι.

Ib. Ἀνοιμωκτεὶ] χωρὶς οἰμωγῆς, ἀντιμωρητεί.

1245. Αἰχμαλώτιδος] τῆς Ἡσιόνης.

1246. Ἦπȣ τραφεὶς] κατασκευή.

1247. Κἀπ' ἄκρων] ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν.

1248. Ὅτ' ȣ̓δὲν ὢν] ἤγȣν, ὅτε ȣ̓δαμινὸς ὢν, ὡς συγγενὴς τȣ̃ τεθνηκότος ἀντιτάξω.

Ib. Ὅτ' ȣ̓δὲν ὢν] ȣ̓δὲν μὲν ὢν, διὰ τὴν δυςγένειαν· τȣ̃ μηδὲν δὲ, τȣ̃ Αἴαντος τελευτήσαντος.

1250. Διωμόσω] γράφεται καὶ διωρίσω.

1252. Ταῦτ' ȣ̓κ] βάσις.

Ib. Ταῦτ' ȣ̓κ] ἄλλως· Ταῦτα ȣ̓χὶ μεγάλα κακὰ εἰσὶν, ὥςτε παρὰ τῶν δȣ́λων ἀκȣ́ειν;

1253. Ποίȣ κέκραγας] ἔνςασις.

1255. Οὐκ ἆρ'] ἄρα ἐδόξαμεν τοῖς Ἀργείοις κηρύξαι τότε πικρȣ̀ς ἀγῶνας, ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχȣ̃ φανȣ́μεθα κακοὶ ἐκ τῶν λόγων τȣ̃ Τεύκρȣ. Τȣτέςι, ἆρα ἐδόξαμεν τότε τοῖς Ἕλλησι ἀποφῆναι πικρὰς, ἤγȣν ἀδίκȣς ἀποφάσεις ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ φανȣ́μεθα ἤγȣν ἐλεγξόμεθα πανταχȣ̃ κακοὶ, τȣτέςιν ἄδικοι, ἐκ τῶν λόγων τȣ̃ Τεύκρȣ.

1256. Πικρȣ̀ς ἔοιγμεν] ἐνθύμημα, καὶ ἐργασία ἀπὸ τȣ̃ πράγματος.

Ib. Πικρὸς] ἀντὶ τȣ̃, πικροποιȣ̀ς, εἰς πικ-

ρία

Κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
Εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς·
Ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
Ἢ σὺν δόλῳ κεντήσεσθ' οἱ λελειμμένοι·
" Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
" Κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
" Εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
" Καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
" Ἀλλ' εἰρκτέον τάδ' ἐστίν. Οὐ γὰρ οἱ πλατεῖς
" Οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι·
" Ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ.
" Μέγας δὲ πλευρὰς βοῦς ὑπὸ σμικρᾶς ὅμως
" Μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται."
Καί σοι προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον

ριαν ἡμῶν. Πικροὺς ἀγῶνας ἐοίκαμεν κηρύξαι τοῖς Ἀργείοις τότε, ἕνεκα τῶν Ἀχιλλείων ὅπλων, εἰ πανταχοῦ φανοίμεθα κακοὶ ἐκ Τεύκρου.

Ib. Πικροὺς ἔοιγμεν] εἴκω τὸ πρέπω, εἴξω, εἶχα, ὁ μέσος παρακείμενος οἶκα· καὶ, προσθήκῃ τοῦ ε, ἔοικα, ἐοίκαμεν· καὶ, κατὰ συγκοπὴν, ἔοικμεν· καὶ, τροπῇ τοῦ κ εἰς τὸ μέσο γ, ἔοιγμεν.

1259. Κοὐκ ἀρκέσει] οὐκ ἀρκέσει ποτὲ ὑμῖν οὐδ' ἡττημένοις, εἴκειν καὶ στέρξειν ἐκεῖνα ἅτινα ἤρεσκον τοῖς πολλοῖς κριταῖς, ἀλλ' ἀεὶ ὑμεῖς οἱ λελειμμένοι, ἢ κακοῖς λόγοις βαλεῖτε ἡμᾶς, ἢ σὺν δόλῳ κεντήσετε; ἀποροῦσι τινὲς λέγοντες, τίς ἡ αἰτία ὅτι οὐκ εἶπεν, βάλλετε καὶ κεντεῖτε, ἀλλὰ βαλεῖτε καὶ κεντήσετε. Καὶ λέγομεν, ὅτι τὸ ἀεὶ μὲν εἶπε, διὰ τὴν ἄπαυστον ἐπιβουλὴν, διὰ δὲ τὸ μηδέπω δεδυνῆσθαι ἐκβαλεῖν τὴν ἐπιβουλὴν εἰς ἔργον, τὸ βαλεῖτε καὶ τὸ κεντήσετε εἴρηκεν.

1260. Εἴκειν] οὐκ εἴξετε καὶ ἐμμενεῖτε τοῖς κεκριμένοις.

Ib. Πολλοῖσι] πιθανῶς.

1261. Κακοῖς] δηλονότι λόγοις.

Ib. Βαλεῖτε] ἀντὶ τοῦ βλασφημήσετε.

1262. Οἱ λελειμμένοι] οἱ ἡττηθέντες ἐν τῇ κρίσει· τοῦτο δὲ πρὸς τὴν ἐπιχείρησιν τοῦ Αἴαντος.

1263. Ἐκ τῶνδε] γνωμικόν.

1264. Κατάστασις] ἤγουν, εὐταξία. Εὐταξία δὲ νόμου, ἣν καὶ νόμος ποιεῖ.

Ib. Κατάστασις γένοιτ' ἂν] γενναῖος ὁ λόγος, εἰ ὁ ἡττώμενος ἰδίῳ δικαίῳ παριστανόμενος, πάλιν μάχοιτο, καὶ οὐκ εἴξει τοῖς κεκριμένοις, οὐδέποτε κατάστασις ἔσται.

1266. Τοὺς ὄπισθεν] τοὺς ἡττωμένους. Ἔστι δὲ ἀπὸ μεταφορᾶς τῶν δρομένων.

1267. Ἀλλ' εἰρκτέον] δεῖ (φησὶν) ἐμμένειν τοῖς ἅπαξ κεκριμένοις. Ἐπειδὴ δὲ αὐτοῦ τὴν κατὰ σῶμα ἀρετὴν καὶ ἰσχὺν ἐπιβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ.

Ib. Ἀλλ' εἰρκτέον] σημείωσαι ὅτι τὸ εἴργω ἀμφιβολίαν ἔχει τοῦ πνεύματος· δύναται γὰρ καὶ ψιλοῦσθαι καὶ δασύνεσθαι.

1269. Ἀλλ' οἱ φρονοῦντες εὖ] ἤγουν οἱ φρόνιμοι κρατοῦσιν. Καὶ πρὸς τοῦτο ἐπάγεται τὸ, μέγας δὲ βοῦς ὢν τὴν πλευρὰν καὶ τὸ ἑξῆς.

1271. Ὀρθὸς] ἤγουν, κατ' εὐθεῖαν εἰς τὴν ὁδὸν πορεύεται, οὐ παρακλίνων.

1272. Τοῦτ' ἐγὼ τὸ φάρμακον] τὸ τῆς μάστιγος.

Ib. Τοῦτ' ἐγὼ τὸ φάρμακον] ἀντὶ τοῦ, ταύτην τὴν θεραπείαν. Τουτέστι, τὴν τοῦ κέντρου.

Ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσῃ τινά·
Ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
Θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
Οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
Ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
Ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
Σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ.
Τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟΡ. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
Τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. " Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
" Χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται."
Εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν* πόνων,
Αἴας, ἔτ' ἴσχει μνῆσιν, οὗ σὺ πολλάκις

* Ald. Turn. in marg. σμικρῶν λόγων.

1274. Ἀλλ' ἤδη σκιᾶς] ὑπὲρ ἀνδρὸς οὐκ ἔτι ζῶντος, ἀλλὰ ὄντος σκιᾶς, τουτέστιν ἀνυποστάτου.

1277. Ἄλλον ἐλεύθερον] νόμος ἦν, τοὺς ἐξ ἑταίρας καὶ δεδουλωμένης τεχθέντας μὴ δημηγορεῖν.

1280. Τὴν βάρβαρον γὰρ γλῶσσαν] σκώπτει αὐτὸν εἰς τὴν μητέρα.

1281. Εἴθ' ὑμὶν] ἐπεὶ οὐ συμβουλεύει διὰ τὸ Ἀγαμέμνονος ἀξίωμα ὁ χορὸς, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκε.

1282. Τούτου γὰρ] Τουτέστι, τούτου γὰρ τοῦ λόγου, οὐκ ἔχω ἄλλο λώϊον φράσαι ὑμῖν.

1283. Φεῦ, τοῦ θανόντος] γνωμικόν. Ἔστι δὲ ἐνταῦθα καὶ προκατάστασις μετὰ σχετλιασμοῦ.

Ib. Φεῦ, τοῦ θανόντος] περιπαθὴς ὁ λόγος, εἰς ἀχαριστίαν ἐννεύων, ὅτι ταχεῖα διαῤῥεῖ ἡ χάρις τοῦ ἀποθανόντος.

Ib. Ταχεῖά τις] τὸ μὲν τί ζητεῖ οὐσίαν πράγματος, οἷον, τί τόδ' ἐστίν; ἄνθρωπος τυχὸν, ἢ ἵππος. Τὸ δὲ τίς, ὑπόστασιν, καὶ πρόσωπον, οἷον, τίς ὅδε ἐστί; Σωκράτης τυχὸν ἢ Πλάτων. Καὶ, τίς, πόθεν εἷς ἀνδρῶν; ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, οἶδε μὲν ὅτι ἀνὴρ, πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα, ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. Ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον (οἷον τίς ὅδ' ἐστίν; ὁ ἡδὺς Λουκιανὸς) διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ ὑποτάσσεται τὸ τίς, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. Οἷον, Λουκιανός τις ἐποίησε τόδε. Καὶ, ὁ Λουκιανὸς, ἡδύς τίς ἐστιν. Ἐντεῦθεν οὖν ἡ χάρις ὡς ἐπίθετον ἔχει τὸ ταχεῖα ὄνομα, εἰ καὶ ἄλλως τοῦτο ἐπιῤῥηματὴν ἔχει σημασίαν, διὸ μετὰ τοῦ τίς αὐτὸ ἐπάγεται, καὶ ταχεῖά τις αὕτη λέγεται διαῤῥεῖν. κατὰ ταυτὰ λέγεται καὶ τὸ ὅστις, καὶ τὸ ὁποῖός τις, ἐπὶ ἐπιθέτου, ὡς παρὰ Λουκιανῷ. Τὸ δὲ ὅλον, οἱ δῆμοι οὐκ ἐξετάζοντες τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστηκὼς, εἴτε καλῶς δηλονότι, εἴτε τὸ ἐναντίον. ἅπερ ἐπιθετικῶς λέγεται.

1284. Προδοῦσα] ἀντὶ τοῦ προδεδομένη καταλαμβάνεται.

1285. Εἰ σοῦ γ' ὅδ' ἀνὴρ] εἰ σοῦ γε, ὦ Αἴας, ὅδε ὁ ἀνὴρ οὐκ ἔτι ἔχει μνήμην.

1286. Οὗ σὺ πολλάκις] οὐκ ἀξιοῦται τῆς παρὰ σοῦ μνήμης, οὗ πολλάκις, ὦ Αἴας, προκινδυνεύσας

Τὴν σὴν προτείνων πρὔκαμες ψυχὴν δορί.
Ἀλλ᾿ οἴχεται δὴ πάντα ταῦτ᾿ ἐῤῥιμμένα.
Ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ᾿ ἔπη,
Οὐ μνημονεύεις ὐκέτ᾿ ὐδὲν, ἡνίκα
Ἑρκέων ποθ᾿ ὑμᾶς ὗτος ἐγκεκλεισμένυς,
Ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
Ἐῤῥύσατ᾿ ἐλθὼν μῦνος; ἀμφὶ μὲν νεῶν
Ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
Πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
Πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
Τίς ταῦτ᾿ ἀπεῖρξεν, ὐχ ὅδ᾿ ἦν ὁ δρῶν τάδε,
Ὃν ὐδαμῦ φὴς ὐδὲ συμβῆναι ποδί;
Ἆρ᾿ ὑμὶν ὗτος ταῦτ᾿ ἔδρασεν ἔνδικα;
Χὤτ᾿ αὖθις αὐτὸς Ἕκτορος μόνος μόνυ

κινδυνεύσας ἐν πολέμοις. Παρὰ τὸ Ὁμηρικὸν, "Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζων."

1289. Ὦ πολλὰ λέξας] ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸν Ἀγαμέμνονα· Ὦ σὺ Ἀγάμεμνον, ὁ λέξας ἄρτι πολλὰ ἔπη καὶ ἀνόνητα· ὐ μνημονεύεις ὐκέτι ὐδὲν, ἡνίκα ποτὲ μόνος αὐτὸς ὁ Αἴας ἐλθὼν ἐῤῥύσατο ὑμᾶς ἐγκεκλεισμένυς ἐντὸς τῶν ἑρκέων ὄντας ἤδη τὸ μηδὲν ἐν τῇ δυνάμει τῦ δορός. Καὶ πάλιν ἡνίκα τῦ πυρὸς καίοντος ἐπὶ τοῖς ἄκροις καθίσμασι τοῖς ναυτικοῖς τῶν νηῶν, καὶ τῦ Ἕκτορος πηδῶντος ἄρδην ὑπὲρ τῶν τάφρων εἰς τὰ ναυτικὰ σκάφη, τίς ταῦτα ἀπεῖρξεν; ὐκ ἦν ὗτος ὁ δράσας ταῦτα, ὃν λέγεις ἐν ὐδενὶ τόπῳ συνελθεῖν ἐν ὁδῷ μετὰ σῦ μηδέποτε.

1290. Οὐ μνημονεύεις] καλῶς, πρὸς τὸ, πῦ βάντος, ἢ πῦ στάντος ὗπερ ὐκ ἐγώ.

1291. Ἑρκέων] λείπει ἐντός.

Ib. Ἐγκεκλεισμένυς] ἡ ἐν ἀντὶ τῦ ἐντὸς, ἵν᾿ ᾖ ἐντὸς κεκλεισμένυς.

1292. Ἐν τροπῇ δορὸς] ἐν ἥττῃ τῦ πολέμυ. Τρόπαιον, ἡ νίκη· τροπὴ δὲ, ἡ ἧττα. Τρόπαιον ἐπὶ τῶν διωκόντων· τροπὴ, ἐπὶ τῶν διωκομένων.

1294. Ἄκροισιν ἤδη] ἐπὶ μὲν τοῖς ἄκροις ναυτικοῖς ἑδωλίοις τῶν νεῶν, ἤγυν ὑποστρώμασι, σανιδώμασι, τῦ πυρὸς ἤδη ἀναπτομένυ καὶ ἀναφλεγομένυ.

1296. Ἄρδην] αἴρω, τὸ ἀφανίζω καὶ τὸ ὑψῶ. ἀφ᾿ ὗ ἄρδην, ἀντὶ τῦ μετεώρως καὶ κύφως, ὡς ἐνταῦθα, καὶ ἀντὶ τῦ ἀφανιστικῶς καὶ ὁμῦ.

1298. Οὐδὲ συμβῆναι ποδί] πρὸς τὸ πῦ βάντος, ἢ πῦ στάντος. Συμβῆναι δὲ ἀντὶ τῦ συνελθεῖν, ἐνταῦθα. Βαίνω γὰρ τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι, ἀφ᾿ ὗ βάσις ἀνδριάντος.

Ib. Ὃν ὐδαμῦ φὴς] φασὶν ἐνταῦθα ὡς συκοφαντεῖ Τεῦκρος Ἀγαμέμνονα· ὐ γὰρ ἐν τοῖς πρόσθεν αὐτῦ λόγοις πρὸς τῦτον τοιῦτόν τι εὕρηται. Ἀλλ᾿ ἔφη, πῦ βάντος, ἢ πῦ στάντος, ὗπερ ὐκ ἐγώ; φαμὲν ὖν ὅτι ὥσπερ κατὰ τὰς ἔριδας συμβαίνει προφέρειν ἔσθ᾿ ὅτε τὸν ἀντίδικον ἀπολογύμενον τῷ προηγυμένῳ τῆς δίκης τοιαῦτα, ἃ ὐδέποτ᾿ αὐτὸς ἐφθέγξατο, ὕτω κἀνταῦθα.

1299. Ἆρ᾿ ἔνδικα] ἤγυν, δικαίως ταῦτα ἔδρασεν, ἤγυν ἔπαθεν, ὑμῖν τοῖς ἀχαρίστοις, ἤγυν, ὑμῶν τῶν ἀχαρίστων.

1300. Χὤτ᾿] ἤγυν, ὐ μνημονεύεις, καὶ ὅτε αὖθις αὐτὸς λαχών τε, ἤγυν κληρωθεὶς, καὶ ἀκέλευστος, τυτέστιν αὐθόρμητος, ὐ περιμένων τὸν προστάξαντα, ἦλθε μόνος ἀντίος, ἤτοι ἐναντίος

Λαχὼν τε κἀκέλευστος ἦλθεν ἀντίος *,
Οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
Ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ᾽ ὃς εὐλόφου
Κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
Ὅδ᾽ ἦν ὁ πράσσων ταῦτα· σὺν δ᾽ ἐγὼ παρὼν
Ὁ δοῦλος, οὑ᾽κ τῆς βαρβάρου μητρὸς γεγώς.
Δύστηνε, ποῦ βλέπων ποτ᾽ αὐτὰ καὶ θροεῖς;
Οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ,
Ἀρχαῖον ὄντα Πέλοπα, βάρβαρον Φρύγα;
Ἀτρέα δ᾽, ὃς αὖ σ᾽ ἔσπειρε δυσσεβέστατον,
Προθέντ᾽ ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;

* Aldus, ἦλθ᾽ ἐναντίος.

τίος μόνος τοῦ Ἕκτορος, ἀντὶ τοῦ ἐμονομάχησε μετὰ τοῦ Ἕκτορος.

1301. Λαχὼν τε] ἤγουν κληρωθεὶς, ἀφ᾽ οὗ λαχμὸς ὁ κλῆρος, ποιητικῶς.

Ib. Κἀκέλευστος ἦλθεν ἐναντίος] αὐτοκέλευστον φησὶν αὐτὸν ἀναστῆναι εἰς τὸ μονομάχιον, ἐπαινῶν αὐτὸν οὐχ Ὁμηρικῶς.

1302. Οὐ δραπέτην τὸν κληρὸν] τουτέστιν, οὐδὲν πανουργήσας περὶ τὸν κλῆρον. Οὐδὲ καταβαλὼν αὐτὸν τὸν κλῆρον, λέγω τὸν βῶλον τῆς ὑγρᾶς ἀρούρας ἐπιτήδειον εἰς τὸ διαφυγεῖν μὴ πολεμῆσαι. Οὐ καταβαλὼν τὸν κλῆρον· λέγω δὴ τὸν βῶλον τῆς ὑγρᾶς ἀρούρας δραπέτην εἰς τὸ μέσον τῆς κυνῆς τῆς εὐλόφου, ἵνα δηλονότι φύγῃ μονομαχῆσαι τῷ Ἕκτορι. Ἀλλ᾽ αὐτὸς ὁ κλῆρος ἔμελλε πρῶτος κουφιεῖν καὶ πηδῆσαι ἅλμα καὶ πήδημα ἀπὸ τῆς εὐλόφου κυνῆς. Ἤγουν, κατέβαλεν αὐτὸν τὸν κλῆρον εἰς τὸ μέσον τῆς κυνῆς οὕτως ἐπιτηδείως, ὥστε κουφιεῖν ἅλμα ἀπὸ τῆς κυνῆς, πρῶτα τῶν ἄλλων κλήρων. Τοσαύτην ἐπιθυμίαν ἔχων μονομαχῆσαι τῷ Ἕκτορι. Ἰστέον ὅτι διὰ πηλοῦ ἔπλαττον στρογγυλοειδῆ τινα, καὶ ἐξήραινον αὐτὰ ἡλιακῷ καύματι, καὶ ἐποίουν τοὺς κλήρους δι᾽ αὐτῶν. Ἑλένου τοῦ μάντεως υἱοῦ τοῦ Πριάμου συμβουλεύσαντος, ὁ Ἕκτωρ προκαλεῖται εἰς μονομαχίαν. Τὸν ἄριστον τῶν Ἑλλήνων πολλῶν δὲ προαιρουμένων, Αἴας ὁ Τελαμώνιος ἐκληρώθη· ἕκαστος γὰρ τῶν προαιρουμένων ἐσημειώσατο κλῆρον, καὶ ἔβαλλον ἐν τῇ περικεφαλαίᾳ τοῦ Ἀγαμέμνονος. Εἶτα εἶπον τῷ Νέστορι σεῖσαι τὴν περικεφαλαίαν. Καὶ οὗτινος ὁ κλῆρος πεσεῖται πρῶτος, αὐτὸς ἐλθέτω μονομαχῆσαι τῷ Ἕκτορι. σείσαντος δὲ τοῦ Νέστορος, ἔπεσεν ὁ κλῆρος τοῦ Αἴαντος πρῶτος. Διότι οὐ κατέβαλεν αὐτὸν ὁ Αἴας ἐς μέσον τῆς περικεφαλαίας, ἵνα φύγῃ μὴ μονομαχῆσαι τῷ Ἕκτορι, ἀλλὰ μᾶλλον τέθεικεν οὕτως ἐπιτήδειον, ὅπως πρῶτος ἐκπηδήσῃ τῆς περικεφαλαίας.

1303. Ἀρούσας] ἤγουν ἠροτριασμένης γῆς· χέρσος γὰρ, ἡ ξηρὰ γῆ. Ἄρουρα, ἡ ἠροτριασμένη· λήϊον, τὸ ἔχον ἀστάχυας χωράφιον.

Ib. Ἀλλ᾽ ὃς εὐλόφου] ὅστις κλῆρος ἐκ τῆς εὐλόφου κυνῆς ἔμελλε πρῶτος κουφιεῖν τὸ ἅλμα τοῦ Αἴαντος.

1304. Ἅλμα] πήδημα· ἅλμα, πάλμα, καὶ πήδημα, ταὐτὸν.

1306. Ὁ δοῦλος] ὅρα ἐνταῦθα μωρολογίαν τῆς ἀτίμου λοιδορίας, ἵνα καὶ μᾶλλον ἐπισκώψῃ τὸν Ἀγαμέμνονα, καὶ δικαίως ἐλέγξῃ.

1307. Ποῦ βλέπων] ἤγουν, ἀφορῶν· ἤγουν, εἰς ποίαν εὐγένειαν σὴν αφορῶν ταῦτα λέγεις;

1308. Οὐκ οἶσθα] ἐργασία μετ᾽ ἐπιπλήξεως καὶ εὐτελείας.

Ib. Οὐκ οἶσθα, σοῦ πατρὸς] εἰκότως καὶ αὐτὸς τὰ ὅμοια ἐξεῦρεν. Ἓν δὲ εἰπὼν Ἀγαμέμνων, μυρία ἤκουσεν.

1309. Πέλοπα βάρβαρον] Τάνταλος ὁ τοῦ Πέλοπος πατὴρ ἐκ Φρυγίας ἦν· πολέμου δ᾽ ἐπιπεσόντος αὐτῷ, μετὰ χρημάτων πέμπει Πέλοπα πρὸς Ἑλλάδα κινδυνεύων τῆς ἀρχῆς ἐκπεσεῖν.

1311. Οἰκείων τέκνων] μὴ λάθῃς εἰ τὸ τέκ-

Αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ᾽ ᾗ
Λαβὼν ἐπακτὸν ἄνδρ᾽ ὁ φυτεύσας πατὴρ,
Ἐφῆκεν ἔλλοῖς ἰχθύσιν διαφθοράν.
Τοιοῦτος ὢν, τοιῷδ᾽ ὀνειδίζεις σποράν;
Ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγὼς,
Ὅστις στρατοῦ τὰ πρῶτ᾽ ἀριστεύσας, ἐμὴν
Ἴσχει ξύνευνον μητέρ᾽, ἣ φύσει μὲν ἦν
Βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
Δώρημα κείνῳ δῶκεν Ἀλκμήνης τόκος *.
Ἆρ᾽ ὧδ᾽ ἄριστος ἐξ ἀριστέοιν δυοῖν
Βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
Οὓς νῦν σὺ τοιοῖσδ᾽ ἐν πόνοισι κειμένους

* Ald. Turn. in marg. Ἀλκμήνης γόνος.

νων ἔξωθεν τὸ ἀπὸ, ὥς τινες τῶν ἀμαθῶν, ἀλλ᾽ οὕτω λέγε, προθέντα τῷ ἀδελφῷ δεῖπνον τῶν οἰκείων τέκνων· τὸ γὰρ δεῖπνον, οὐκ ἄλλου τινὸς ἦν δεῖπνον (ἰχθύος λέγω, ἢ ὄρνιθος) ἀλλὰ τῶν οἰκείων τέκνων· ὥσπερ γάρ φαμεν, βρῶσιν ἰχθύος, καὶ πόσιν οἴνου, οὕτω καὶ δεῖπνον τέκνων, ἢ ἄλλων, ὧν ἂν εἴποις.

1312. Αὐτὸς δὲ μητρὸς] οὐχ ὡς βαρβάρων τῶν Κρητῶν ὄντων, ὀνειδίζει αὐτῷ τὰ περὶ τῆς μητρὸς, ἀλλ᾽ οἷον, ἐξ ἀλλοφύλων γέγονέ σοι τὸ γένος.

1313. Ὁ φυτεύσας πατὴρ] φυτεύειν, τὸ τῇ γῇ φυτὸν ἐντιθέναι, υ ψιλὸν τὸ φυ, καὶ βραχύ· φιτύειν τὸ σπείρειν, ποιητικῶς· ὁ παράγεται ἀπὸ τοῦ φίτυς, ὁ πατὴρ, ι καὶ μακρόν. Ὃ καὶ ἐνταῦθα τῷ ποιητῇ τέτακται, τοῖς δ᾽ ὕστερον ἡμαρτήθη.

1314. Ἐφῆκεν ἔλλοῖς] ἤτοι ἀφώνοις. Ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποποντῶσαι· ὁ δὲ οὐκ ἐποίησεν, ἀλλ᾽ ἐνεγγύησε Πλεισθένει.

1315. Τοιοῦτος ὢν] σὺ ἂν τοιοῦτος, ὀνειδίζεις ἐμοὶ τῷ ὄντι τοιῷδε τὴν σποράν, ὅστις ἐγώ εἰμι γεγὼς, ἀντὶ τοῦ ἐγεννήθην, ἐκ πατρὸς τοῦ Τελαμῶνος. Ὅστις Τελαμὼν ἀριστεύσας ἔλαβε τὰ πρῶτα τοῦ στρατοῦ. Λέγω δὲ ἔλαβε σύνευνον τὴν ἐμὴν μητέρα τὴν Ἡσιόνην. Ἥ τις ἦν μὲν βασίλεια τῇ φύσει, θυγάτηρ δηλονότι τοῦ Λαομέδοντος· ὁ γόνος δὲ τῆς Ἀλκμήνης ὁ Ἡρακλῆς, ἔδωκεν ἐκείνῳ μοι τῷ πατρὶ ἐκείνην τὴν μητέρα μου ἔκκριτον δώρημα. Ἆρα γεννηθεὶς ἐγὼ οὕτως ἄριστος ἐκ δύο ἀρίστων, ἤγουν ἐκ Τελαμῶνος καὶ Ἡσιόνης, ταχ᾽ ἂν αἰσχύνοιμι τοὺς ἰδίους τοῦ γένους, τουτέστιν τὸν Αἴαντα, ὅντινα Αἴαντα κείμενον ἐν πόνοις τοιοῖσδε ἀποδιώκεις ἄθαπτον, οὐδὲ ἐπαισχύνῃ λέγων τοιοῦτον λόγον δηλονότι.

1316. Ὃς ἐκ πατρὸς] αὔξησις, καὶ σεμνολογία τῶν καθ᾽ αὐτόν.

1317. Ὅστις στρατοῦ] ἤγουν τὰς τῆς πρώτης μοίρας ἀνδραγαθίας.

1318. Ἡ φύσει μὲν ἦν βασίλεια] ἀνασκευάζει τὰ εἰρημένα περὶ δυσγενείας αὐτοῦ, φύσει δὲ ἐπὶ γένους λέγεται κυρίως. Ἐπὶ δὲ τῶν υἱοθετουμένων τὸ θέσει· καὶ ἀπὸ τούτων μετάγεται ταῦτα καὶ ἐφ᾽ ἕτερα.

1322. Τοὺς πρὸς αἵματος] τοὺς συγγενεῖς. ἴσως δεικτικῶς εἰς τὸν Αἴαντα, ἵν᾽ ᾖ περιπαθὴς ἡ λέξις.

Ὠθεῖς ἀθάπτȣς, ȣ̓δ᾽ ἐπαισχύνῃ λέγων;
Εὖ νῦν τόδ᾽ ἴσθι, τȣ̃τον εἰ βαλεῖτέ πȣ,
Βαλεῖτε χ᾽ ἡμᾶς τρεῖς ὁμȣ̃ συγκειμένȣς·
Ἐπεὶ καλόν μοι τȣ̃δ᾽ ὑπερπονȣμένῳ
Θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὕπερ
Γυναικὸς, ἢ τȣ̃ σȣ̃ θ᾽ ὁμαίμονος λέγω.
Πρὸς ταῦθ᾽, ὅρα μὴ τȣ̓μὸν, ἀλλὰ καὶ τὸ σόν·
Ὡς εἴ με πημανεῖς τὶ, βȣλήσῃ ποτὲ
Καὶ δειλὸς εἶναι μᾶλλον, ἢ ᾽ν ἐμοὶ θρασύς.
ΧΟΡ. Ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ᾽ ἐληλυθὼς,

1324. Ὠθεῖς ἀθάπτȣς] πιθανῶς πάλιν εἰσέβαλεν εἰς τὸν λόγον τȣ̃ δράματος.

1325. Εὖ νῦν τόδ᾽] ἐνθύμημα μετὰ ἀπειλῆς.

Ib. Εὖ νῦν τόδ᾽] καλῶς, νῦν τȣ̃το γίνωσκε, ὅτι εἰ τȣ̃τον τὸν Αἴαντα βαλεῖτε πȣ̃, βαλεῖτε καὶ ἡμᾶς. Ἤγȣν ἐμὲ, καὶ σαυτὸν, καὶ τὸν Μενέλαον, τρεῖς ὁμȣ̃ συγκειμένȣς. Ἐπεὶ καλόν μοι ἐςὶ θανεῖν μᾶλλον προδήλως πονȣμένῳ ὑπὲρ τȣ̃ Αἴαντος, ἢ θανεῖν ὑπὲρ τῆς σῆς γυναικὸς, ὦ Μενέλαε, ἢ ὑπὲρ τȣ̃ σȣ̃ ἀδελφȣ̃.

1326. Βαλεῖτε χ᾽ ἡμᾶς] ἑαυτὸν λέγει, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην.

Ib. Τρεῖς ὁμȣ̃ συγκειμένȣς] ἐμὲ, καὶ σαυτὸν, καὶ Μενέλαον. Οὐ γὰρ λέγει περὶ τῆς Τεκμήσσης καὶ τȣ̃ παιδός· ἐλεεινὸς γὰρ ὁ λόγος, ȣ̓κ ἀπειλητικός.

Ib. Βαλεῖτε χ᾽ ἡμᾶς] τινὲς ὑποςίζοντες εἰς τὸ τρεῖς, τὸ ἡμᾶς ἀντὶ τȣ̃ ἐμὲ τὸν Τεῦκρον, καὶ τὴν Τέκμησσαν, καὶ τὸν Εὐρυσάκην, φασίν. Ὅπερ ȣ̓κ ἔχει λόγον. Τίς γὰρ χρεία ἐνταῦθα Τεκμήσσης καὶ Εὐρυσάκȣς; ȣ̃ς αὐτὸς ἐάσας, πρὸς τὸ ἡμᾶς ὑποςίζων, ȣ̔́τω λέγε, βαλεῖτε καὶ ἡμᾶς, ἀντὶ τȣ̃ ἐμὲ καὶ σαυτὸν, συγκειμένȣς ὁμȣ̃ τῷ Αἴαντι τρεῖς· ἑκὼν γὰρ ȣ̓χ ὑφήσω· ἀλλ᾽ εἰ καὶ αὐτὸς θανȣ̃μαι, σὲ πρῶτον ἀναιρεῖν βȣλήσομαι. Ὅτι δέ ἐςι τȣ̃το, μαρτυρεῖ καὶ αὐτὸς λέγων, ἐπεὶ καλόν μοι τȣ̃δ᾽ ὑπερπονȣμένῳ, καὶ τὰ ἑξῆς. Ἰςέον δὲ ὅτι ȣ̓ κακῶς εἶπε τὸ τῆς σῆς ὑπὲρ γυναικὸς, ὡς οἴονταί τινες, ἀλλ᾽ ὥσπερ φαμὲν πρὸς τὰς ἔριδας τινὸς, ἄλλȣ πρὸς τινὰ τȣ̀ς λόγȣς ποιȣ́μενοι προσάπτοντες καὶ αὐτῷ τὰ ἐκείνȣ, ȣ̔́τω καὶ τȣ̃το. Ἄλλως τε ȣ̓κ ἀπέχρησεν αὐτῷ μόνον εἰπεῖν τῆς σῆς ὑπὲρ γυναικὸς, ἀλλὰ καὶ ἢ τȣ̃ σȣ̃ θ᾽ ὁμαίμονος λέγω.

1327. Ἐπεὶ καλόν μοι] καλὸν μοι ἐςὶν προδήλως ὑπὲρ τȣ̃δε πονȣμένῳ μᾶλλον ἀποθανεῖν, ἢ ὑπὲρ τῆς σῆς γυναικὸς, λέγω τȣ̃ σȣ̃ ἀδελφȣ̃.

1328. Θανεῖν προδήλως] ἀντὶ τȣ̃ λαμπρῶς, ἀνδρείως. Λέγει δὲ ὅτι ταῦτα ἃ βȣ́λεσθε περὶ τὸν Αἴαντα δρᾶσαι, πρότερον ȣ̓ δράσετε πρὶν ἢ κἀμὲ ἀποκτεῖναι ἀποθνήσκων μέντοι. σὺν ὑμῖν ἀπολȣ̃μαι.

1330. Τὸ σὸν] ὃ, καὶ σὺ αὐτος ὡς ἄνθρωπος φθαρτὸς μέλλεις παθεῖν δηλονότι ὁτεδήποτε.

Ib. Ἤγȣν, πρὸς ταῦτα ὅρα, ὦ Μενέλαε, μὴ μόνον τὸ ἐμὸν βλάβος, ἀλλὰ καὶ τὸ σόν. Ὅτε εἰ πημανεῖς με τὶ, βȣλήσῃ ποτὲ, ἤγȣν μετέπειτα, εἶναι μᾶλλον δειλὸς ἐν ἐμοὶ, ἢ θρασύς.

1331. Βȣλήσῃ ποτὲ] μεταμεληθήσῃ ὡς προπετὴς εἰς ἐμὲ εὑρεθεὶς, καὶ μὴ ἀποδειλιάσας παρὰ τὸ ἄρχειν. Ἀμυνȣ̃μαι γάρ σε. Ἢ βȣλήσῃ ποτὲ καὶ δειλὸς εἶναι, καὶ μὴ ὑπ᾽ ἐμȣ̃ ἀναιρεθῆναι. Δειλὸς δὲ καὶ θρασὺς, ἐναντία κακὰ ὑπερβολὴν ἔχοντα καὶ ἔλλειψιν· μέσον δὲ τȣ́των ἡ ἀνδρεία.

1332. Ἢ ᾽ν ἐμοὶ] ἤγȣν ἢ ἐν ἐμοί.

1333. Ἄναξ Ὀδυσσεῦ] ἵνα μὴ εἴη αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰςήνεγκε τὸν Ὀδυσσέα, τοιȣ̃τον γὰρ ὁ καιρὸς ἐζήτει, εἰςῆκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος.

Εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
ΟΔΥ. Τίδ' ἐςιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
Βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.
ΑΓΑ. Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίςους λόγους,
Ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
ΟΔΥ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
Κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.
ΑΓΑ. Ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.
ΟΔΥ. Τί γάρ σ' ἔδρασεν, ὥςτε καὶ βλάβην ἔχειν;
ΑΓΑ. Οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
Ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔΥ. Ἔξεςιν οὖν εἰπόντι τἀληθῆ φίλῳ

κακος. Καιρὸν δὲ ἀντὶ τοῦ εἰς καιρὸν, ἤγουν ἐγκαίρως.

1334. Ξυνάψων] αὐτοὺς δηλονότι εἰς τὴν μάχην, ἀλλὰ διαλύσων καὶ χωρίσων.

Ib. Πάρει] ἀντὶ τοῦ παρεγένου.

1335. Τίδ' ἔςιν, ἄνδρες] ἄφιξις Ὀδυσσέως ἐπὶ διαλλαγῇ τῶν μαχομένων.

1336. Βοὴν Ἀτρειδῶν] οὐκ ἐξ ἑτοίμου φησὶν ὅτι ἥκοι ἀναςελῶν Ἀγαμέμνονα, ἀλλ' ἐπιμελόμενος τί πράττουσιν οἱ βασιλεῖς. Τὴν δὲ ἑαυτοῦ γνώμην ἐδήλωσε διὰ τοῦ ἀλκίμῳ νεκρῷ, ὅτι γενναίαν αὐτοῦ ἐδήλωσε τὴν τελευτήν. Διδάσκει δὲ ὁ λόγος ὅτι οὐ δεῖ κατὰ τεθνεώτων λέγειν, κἂν ἐχθροὶ ὦσιν.

Ib. Τῷδ' ἐπ'] ἐπὶ τῷδε τῷ ἀλκίμῳ, ἤγουν, τῷ ποτὲ ἀλκίμῳ, τουτέςι γενναίῳ.

1337. Οὐ γὰρ κλύοντες] ἆρα γὰρ οὐ κλύοντες ἐσμὲν αἰσχίςους λόγους, ὦ ἄναξ Ὀδυσσεῦ, ὑπὸ τοῦδε τοῦ ἀνδρός;

1339. Ἐγὼ γὰρ συγγνώμην ἔχω] οὐ καλῶς λέγεις, Ὀδυσσεῦ, ἐνταῦθα. Οὐ γὰρ ὁ λέγων, τὰς ὕβρεις, καὶ ἀκούων, ἐν ὁμοτίμοις. Ἀλλ' ὁ μὲν βασιλεὺς, ὁ δ' ἰδιώτης· εὕροις δὲ τὰ ἄλλα πάντα ἴδια τῆς Ὀδυσσέως μούσης πλὴν εἰ μήπως εἴσης ὡς οὐκ ἀπὸ τοῦ λελογισμένου, οὐδὲ παντὶ τῷ θυμῷ, ἀλλὰ μηχανῇ τινι τοῦτ' ἔλεξε τῶν διαλλαγῶν ἕνεκα, καὶ ἅμα τῷ βασιλεῖ τὰ μέγιςα πεποιθώς.

1341. Ἤκουσεν αἰσχρὰ] οὔτε θεραπεύει Ὀδυσσέα ὁ Τεῦκρος διὰ τὸν ἀδελφόν. Οὔτε ἀντιλέγει, διὰ τὸν καιρόν.

1341. Ἤκουσεν αἰσχρὰ] ἤγουν, ὅτε πρὸς Μενέλαον ἐποίει τοὺς λόγους· ὥςτε αὐτός ἐςιν ἄρχων τῆς ὕβρεως, ἐγὼ δὲ ἀμυνόμενος. Οὕτω τοῦτο νόει, καὶ μὴ πρὸς τὰς ὕςερον ὕβρεις. Ἄλλως γὰρ οὐκ ἂν τοῦτο προὐβάλλετο εἰς δικαίωμα Ἀγαμέμνων.

1342. Τί γάρ σ' ἔδρασεν] τί δέ σ' ἐποίησεν τοιοῦτο δηλονότι, ὥςτε καὶ ὑπέχειν σοι βλάβην;

1343. Οὔ φησ' ἐάσειν] διατείνεται οὐκ ἐάσειν.

1344. Ἄμοιρον] ἀμέτοχον.

Ib. Ἀλλὰ πρὸς βίαν] ἀλλὰ διατείνεται θάψειν αὐτὸν πρὸς βίαν ἐμοῦ. Βίαν λέγει, ἣν βιάζεται αὐτόν.

Ib. Θάψειν ἐμοῦ] ἀπορίαν τινὰ ἔχει ἡ τοιαύτη γενικὴ τὸ ἐμοῦ· ἔχει δὲ οὕτω, πρὸς βίαν ἐμοῦ, ἀντὶ τοῦ εἰς δυναςείαν ἐμοῦ· ἐπεὶ γὰρ ἡ δυναςεία οὐκ ἄλλου τινὸς ἦν, ἀλλ' Ἀγαμέμνονος (πρὸς γὰρ αὐτὸν ἐκ Τεύκρου γενήσεσθαι ἔμελλε) διὰ τοῦτο πρὸς βίαν ἐμοῦ λέγει.

1345. Ἔξεςιν οὖν] δαιμονίως ἡ ἐπιτήρησις. Ἠπίςατο γὰρ ὅτι πάντες ἄνθρωποι πρὸς τὸ ἀληθὲς ἀγανακτοῦσι καὶ ἀντιλέγουσι. Τὸ δὲ ἑξῆς, ἔξεςιν ἐμοὶ τῷ φίλῳ σου εἰπόντ' ἀληθῆ, καὶ τὰ ἑξῆς.

Σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;
ΑΓΑ. Εἴπ᾽· ἦ γὰρ εἴην ȣ̓κ ἂν εὖ φρονῶν, ἐπεὶ
Φίλον σ᾽ ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔΥ. Ἄκȣέ νυν· τὸν ἄνδρα τόνδε πρὸς θεῶν
Μὴ τλῇς ἄθαπτον ὧδ᾽ ἀναλγήτως βαλεῖν.
Μήδ᾽ ἡ βία σε μηδαμῶς νικησάτω
Τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
Κἀμοὶ γὰρ ἦν ποθ᾽ ȣ̔͂τος ἔχθιστος στρατȣ͂,
Ἐξ ȣ̔͂ ᾽κράτησα τῶν Ἀχιλλείων ὅπλων·
Ἀλλ᾽ αὐτὸν ἔμπας ὄντ᾽ ἐγὼ τοιόνδ᾽ ἐμοὶ,
Οὐκ ἄν γ᾽ ἀτιμάσαιμ᾽ ἂν, ὥστε μὴ λέγειν
Ἕν᾽ ἄνδρ᾽ ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως·
Ὥστ᾽ ȣ̓κ ἂν ἐνδίκως ἀτιμάζοιτό σοι.
Οὐ γάρ τι τȣ͂τον, ἀλλὰ τȣ̀ς θεῶν νόμȣς
Φθείροις ἄν· « ἄνδρα δ᾽, ȣ̓ δίκαιον, εἰ θάνοι,
« Βλάπτειν τὸν ἐσθλὸν, ȣ̓δ᾽ ἐὰν μισῶν κυρῇς.»
ΑΓΑ. Σὺ ταῦτ᾽, Ὀδυσσεῦ, τȣ͂δ᾽ ὑπερμαχεῖς ἐμοί;

1346. Ἡ πάρος ξυνηρετμεῖν] εὕρηται καὶ ξυνηρετμεῖν, ὅπερ ἀντὶ τȣ͂ συμφωνεῖν εἴποις. Εἴρηται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν κωπηλατȣ́ντων.

1349. Ἄκȣέ νυν] συμβȣλή.

1351. Μηδ᾽ ἡ βία σε] μὴ ἡ ἐξȣσία βιασάσθω σε ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον· τȣτέστι, μὴ ὑπὲρ τȣ͂ ἐνδείξασθαι τȣ́τῳ τὴν ἐξȣσίαν παραβῇς τὸ δίκαιον.

1352. Ὥστε τὴν δίκην πατεῖν] πατεῖται γὰρ ἡ δίκη διὰ τὸ μὴ τῆς σῆς ὀργῆς τὴν ἐκείνȣ ἀρετὴν προτιθέναι, ἀλλ᾽ ἄκαμπτον εἶναι ἵνα τὸ τῆς ἐξȣσίας μέγεθος βεβαιώσῃ.

1353. Κἀμοὶ γὰρ] παράδειγμα ἐξ ἑαυτȣ͂.

Ib. Κἀμοὶ γὰρ ἦν ποθ᾽] ἱκανὸς ὁ λόγος εἰς πειθὼ, ὅτι κἀγώ ποτε ἐχθρὸς ὢν, ἐνδέδωκα νῦν διὰ τὸ δίκαιον.

1355. Ἀλλ᾽ αὐτὸν ἔμπας] ἀλλ᾽ ὅμως ἐγὼ ὄντα αὐτὸν ἐμοὶ τοιόνδε ἤγȣν ἔχθιστον, ȣ̓κ ἂν ἀπαξιώσαιμι ὥστε μὴ λέγειν. Καὶ τὸ ἑξῆς.

1359. Ἀτιμάζοιτό σοι] ἀντὶ τȣ͂, ὑβρίζοιτο ὑπό σȣ.

1361. Ἄνδρα δ᾽ ȣ̓ δίκαιον] τȣ͂το πρῶτον ὡς καθόλȣ γνώμην ἐξήνεγκεν. Εἶτα μερικῶς πρὸς τὸν Ἀγαμέμνονα· δέον γὰρ εἰπεῖν, ȣ̓δὲ ἐὰν μισῶν κυρῇ· ὁ δὲ κυρῇς εἶπεν, εἰκότως τȣ͂το ποιήσας, ἵνα μισȣ͂ντα τȣ͂τον ἵλεων καὶ εὐμενῆ ἐντεῦθεν ποιήσῃ τῷ Αἴαντι.

1362. Βλάπτειν τὸν ἐσθλὸν] δύναται καὶ ἐπὶ τȣ͂ μισȣ͂ντος εἶναι, τὸν ἐσθλὸν ȣ̓ δεῖ μνησικακεῖν. δύναται καὶ ἐπὶ τȣ͂ μισȣμένȣ καὶ τετελευτηκότος, τὸν ἐσθλὸν ȣ̓ δεῖ βλάπτεσθαι, ȣ̓δ᾽ ἐὰν μισȣ́μενος ᾖ. Εὐκαταλλάκτως γὰρ δεῖ πρὸς τȣ̀ς ἀγαθȣ̀ς ἔχειν.

1363. Σὺ ταῦτ᾽, Ὀδυσσεῦ] μὴ λάβῃς εἰς τὸ ταῦτα ἔξωθεν τὸ κατὰ, ἀλλ᾽ ὥσπερ μάχομαί σοι ταῦτα, φαμὲν, ȣ̔́τω καὶ τȣ͂το.

1364. Καλὸν]

ΟΔΥ. Ἔγωγ᾽· ἐμίσουν δ᾽ ἡνίκ᾽ ἦν μισεῖν καλόν.
ΑΓΑ. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
ΟΔΥ. Μὴ χαῖρ᾽, Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.
ΑΓΑ. " Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
ΟΔΥ. " Ἀλλ᾽ εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓΑ. " Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει."
ΟΔΥ. Παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
ΑΓΑ. Μέμνησ᾽ ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔΥ. Ὅδ᾽ ἐχθρὸς ἀνὴρ, ἀλλὰ γενναῖός ποτ᾽ ἦν.
ΑΓΑ. Τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ᾽ αἰδῇ νέκυν;
ΟΔΥ. Νικᾷ γὰρ ἡ ᾽ρετή με τῆς ἔχθρας πολύ.
ΑΓΑ. Τοιοίδε μέντοι φῶτες ἔμπληκτοι * βροτῶν.

* ALDUS, ἔκπληκτοι.

1364. Καλὸν] ἔγκαιρον, ἁρμόδιον, ἀνέγκλητον.

1365. Οὐ γὰρ θανόντι] οὐ γὰρ χρὴ θανόντι καὶ προσεπεμβῆναί σε; τουτέστι πρὸς τῷ μισεῖν ἐπεμπηδῆσαι; ἐπὶ τῶν λὰξ ἐναλλομένων λέγεται τὸ ἐπεμβῆναι.

1366. Μὴ χαῖρ᾽] ἤγουν μὴ πρόσκεισο.

1367. Τόν τοι τύραννον] ὁ λόγος ὅτι οὐ πάντη τῷ δικαίῳ ἀκολουθητέον. Ἀλλά τι πρὸς τὸ συμφέρον ῥέπειν χρὴ τὸν τύραννον· ἀπρεπὲς γὰρ ὑπὸ Ἀγαμέμνονος ὁμολογεῖσθαι, πᾶς τύραννος ἀδικεῖ ὑπὸ τῆς ἐξουσίας, περὶ τὰ τοιαῦτα τῆς ἔργων ταύτην προβαλλόμενος.

Ib. Τόν τοι τύραννον εὐσεβεῖν] ἤγουν δι᾽ ὅλου εὐσεβεῖν ὅσια πράττειν· κωλύεται γὰρ ἀπὸ τῆς ἀρχῆς διὰ τὸ ταύτης συμφέρον· εἰ γὰρ καὶ Αἴας οὐδὲν ἔμελλε δράσειν εἰς αὐτὸν (τέθνηκε γὰρ) διὰ τοῦτό γε μὴν δεῖ τοῦτον τετιμωρῆσθαι, ἵνα μή τις ἰδὼν αὐτὸν ἀτιμώρητον μείναντα, ἐγχειρήσῃ τοῖς ἴσοις.

1368. Ἀλλ᾽ εὖ λέγουσι] κατὰ κοινοῦ τὸ ῥάδιον· ἔστιν οὖν ὁ νοῦς τοιοῦτος, ἀλλὰ ῥᾴδιόν ἐστι τοῖς καλῶς συμβουλεύουσι φίλοις τιμὰς νέμειν. Ἀντὶ τοῦ, ἐμοὶ καλῶς σοι συμβουλεύοντι τιμὴν ἀπόδος· τουτέστιν ἄκουσόν μου.

1369. Κλύειν τὸν ἐσθλὸν] ἄκρως αἱ ἀντιθέσεις· ὁ μὲν Ὀδυσσεὺς ἐπὶ τιμῇ τῶν φίλων ὑφεῖναι τὸν βασιλέα τῆς ἐξουσίας παρακαλεῖ· ὁ δὲ ἀντιστρέψας φησὶν ὅτι τὸν ἀγαθὸν ἄνδρα χρὴ πείθεσθαι τοῖς βασιλεῦσι κλύειν δὲ ἀντὶ τοῦ ὑπακούειν.

Ib. Ἐσθλὸν] ἤγουν τὸν ἀγαθόν· Ἐσθλὸς ἐθελοντὴς μαχόμενος, ἤγουν ἀνδρεῖος, καὶ ἀπὸ τούτου ἀγαθός.

Ib. Τῶν ἐν τέλει] τῶν ἐν ἀρχῇ, τῶν βασιλέων.

1371. Μέμνησ᾽] ἀντὶ τοῦ ἀναλογίζου.

1373. Τί ποτε ποιήσεις;] ἐν ἐρωτήσει ὁ λόγος, ποδαπός τις ἔσῃ πρὸς ἐχθροὺς, καὶ τί αὐτοὺς διαθήσεις δεινὸν, ὁπότε οὕτως ὑπὸ νεκροῦ ἥττησαι;

Ib. Ἐχθρὸν ὧδε] κατηγορεῖ ὁ Ἀγαμέμνων ἐνταῦθα δειλίαν τοῦ Ὀδυσσέως.

1374. Ἡ ἀρετὴ] ἡ ἀρετὴ, ἤγουν ἡ ἀνδρεία.

Ib. Τῆς ἔχθρας πολὺ] δέον πλέον εἰπεῖν, πολὺ εἶπεν. Εὕρηται γὰρ πολλαχοῦ τὰ ἁπλᾶ ἀντὶ συγκριτικῶν τιθέμενα. Ὥσπερ αὖ τοὐναντίον, τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν.

1375. Τοιοίδε φῶτες] οἱ τοιοίδε φῶτες οἷος ἦν ὁ Αἴας, δηλονότι εἰς μάχην ῥᾳδίως μεταβαλλόμενος, ἔμπληκτοί εἰσι παρὰ τοῖς βροτοῖς πρὸς ὃ ἀπαντᾷ ὁ Ὀδυσσεὺς, ὄντως πλεῖστοι, ἄλλοι δηλονότι, νῦν εἰσὶ φίλοι, καὶ κατὰ τὸ ἐπιὸν ἄλγους πρόξενοι. Ἔμπληκτος δὲ, καὶ ἀπόπληκτος,

ΟΔΥ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί.
ΑΓΑ. Τοιέσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔΥ. Σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓΑ. Ἡμᾶς σὺ δειλοὺς τῇδέ θ' ἡμέρᾳ φανεῖς.
ΟΔΥ. Ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓΑ. Ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔΥ. Ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓΑ. Ἦ πάνθ' ὁμοῖα, πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔΥ. Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;
ΑΓΑ. Σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
ΟΔΥ. Ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστός γ' ἔσῃ.
ΑΓΑ. Ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
Σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·

ἀπόπληκτος, καὶ παραπλὴξ ταυτό. Λέγεται δὲ ταῦτα ἐπὶ τῶν ἐκτετραμμένων τὴν ψυχήν. Ἔμπληκτοι βροτῶν οἱ μὴ ἐμμένοντες τῇ ἀρχαίᾳ ἀρετῇ καὶ φιλίᾳ, ἄφρονες παρὰ τοῖς ἀνθρώποις. Ἄλλως· ἔμπληκτοι, κοῦφοι, εὐμετάβολοι. Ὀνειδίζει δὲ Ὀδυσσεῖ ὡς εὐμεταβλήτῳ· οἱ τοιοῦτοι οὖν ἔμπληκτοι παρὰ τοῖς βροτοῖς λέγονται. Ὡς καὶ Ὅμηρος·

"Ἐμπλήγδην ἕτερον μὲν τίει βροτόν."

1376. Ἦ κάρτα] πρὸς ταῦτα Ὀδυσσεὺς ἀντιλέγει, ὅτι οὐκ ἐν τῇ ταυτότητι μένει τὸ τῶν ἀνθρώπων γένος· ἀλλὰ ποτὲ μὲν φίλοι εἰσὶ, ποτὲ δὲ ἐχθροί. Πολὺ (φησὶ) τοῦτο ἀνθρώπων ἐστὶ τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν, ἢ εἰς ἔχθραν.

1379. Ἡμᾶς σὺ δειλοὺς] ἐὰν γὰρ τεθάφθαι συγχωρήσωμεν Αἴαντα, πᾶς τις ὃς οὐκ οἶδεν ὅτι σὴν χάριν τοῦτο ποιοῦμεν, οἰηθείη ἂν διὰ τὴν Τεύκρου θρασύτητα ἡμᾶς βιασθέντας ἐνδοῦναι.

1380. Ἐνδίκους] ὁ μὲν, τὸ τῆς ἀνδρείας· ὁ δὲ τὸ τῆς δικαιοσύνης προβάλλεται. Λέγει δὲ μᾶλλον μὲν οὖν δείξω πᾶσι τοῖς Ἕλλησιν ἄνδρας ἐνδίκους εἶναι ὑμᾶς, ἤγουν δικαίους.

1381. Ἄνωγας] συμβουλεύεις.

1382. Καὶ γὰρ αὐτὸς] καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ τῇ ἀνθρωπίνῃ, ἢ καὶ αὐτὸς ἵξομαι πρὸς τὸ θάψαι αὐτόν.

1383. Ἦ πάνθ' ὁμοῖα] ὄντως πάντα τὰ ἀνθρώπινα ὅμοια· πᾶς γὰρ ἄνθρωπος τὴν οἰκείαν πραγματεύεται σωτηρίαν. Ἔχει δέ τινα δυσκολίαν. Καὶ ἔστιν οὕτως κοινὸν ἔγκλημα τοῦτο τοῖς ἀνθρώποις τὸ εἶναι ἕκαστον φίλαυτον. Τοῦτο οὖν ἐγκαλεῖ τῷ Ὀδυσσεῖ ὁ Ἀγαμέμνων, ὅτι εὐδοξίαν σοὶ ἐργάζεται τὸ ὑπείκειν ταφῆναι τὸν Αἴαντα· Οὐδαμῇ τὸ κεχαρισμένον ἑτέρῳ διαπράττει. Καὶ ὁμολογεῖ Ὀδυσσεὺς τὸ φίλαυτον, ἵνα μὴ δόξῃ πᾶσιν ἀντιλέγειν.

1384. Τῷ γάρ με μᾶλλον] τίνι γὰρ ἄλλῳ δηλονότι (ἀντὶ τοῦ τίνος ἄλλου χάριν) εἰκός ἐστιν πονεῖν ἐμὲ ἢ χάριν ἐμαυτοῦ;

1385. Σὸν ἆρα] ἀντὶ τοῦ δή.

1386. Ὡς ἂν ποιήσῃς] καθὰ, ἤγουν καθ' ὁποῖον δή τινα τρόπον ἂν ποιήσῃς. Πανταχῇ, ἐν πᾶσι.

Ib. Πανταχοῦ χρηστός γ' ἔσῃ] ἢ ἕνεκα τῆς σῆς ἐξουσίας, ἢ ἕνεκα τῆς ἐμῆς παρακλήσεως, πανταχοῦ ἔσῃ χρηστός.

1387. Ἀλλ' εὖ γε μέντοι] τοῦτο μὲν ποιήσω δηλονότι. Ἀλλ' εὖγε τοῦτο ἐπίστασο, καὶ τὸ

Οὗτος δὲ κἀκεῖ κἀνθάδ᾽ ὢν, ἔμοιγ᾽ ὅμως
Ἔχθιςος ἔςαι· σοὶ δὲ δρᾷν ἔξεσθ᾽ ἃ χρή.

ΧΟΡ. Ὅςτις σ᾽, Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
Φῦναι τοιοῦτον ὄντα, μῶρος ἔς᾽ ἀνήρ.

ΟΔΥ. Καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ᾽ ἀγγέλλομαι,
Ὅσον τότ᾽ ἐχθρὸς ἦν, τοσόνδ᾽ εἶναι φίλος.
Καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
Καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
Χρὴ τοῖς ἀρίςοις ἀνδράσιν πονεῖν βροτούς.

ΤΕΥ. Ἄρις᾽ Ὀδυσσεῦ, πάντ᾽ ἔχω σ᾽ ἐπαινέσαι
Λόγοισι· καί μ᾽ ἔψευσας ἐλπίδος πολύ.
Τούτῳ γὰρ ὢν ἔχθιςος Ἀργείων ἀνὴρ,
Μόνος παρέςης χερσὶν, οὐδ᾽ ἔτλης παρὼν
Θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα·
Ὡς ὁ ςρατηγὸς οὑπιβρόντητος μολὼν,
Αὐτός τε χὠ ξύναιμος ἠθελησάτην

τὸ ἑξῆς. Συγκατάθεσις δὲ συνυπακούεται, πρὸς ἣν ἐπάγεται, ἀλλ᾽ εὖ γ᾽ ἐπίςασο.

1389. Οὗτος δὲ κἀκεῖ] Ἐν τῷ ᾅδῃ, ἤγουν, ἐν τῇ παρούσῃ ζωῇ, τουτέςι, καὶ ζῶν καὶ ἀποθανὼν ὁμοίως.

1393. Καὶ νῦν γε] καταλλαγὴ Ὀδυσσέως καὶ Τεύκρου.

Ib. Καὶ νῦν γε] ἢ καὶ οὕτως· καὶ νῦνγε ἀπὸ τοῦ νῦν ὑπέχομαι εἶναι σοὶ τῷ Τεύκρου φίλος, ὅσον πρότερον ἦν ἐχθρός.

Ib. Ἀπὸ τοῦδε] ἀπὸ ταύτης τῆς ἡμέρας ἀγγέλλομαι καὶ σημαίνω αὐτῷ φιλίαν.

Ib. Ἀγγέλλομαι] ἀντὶ τοῦ ἐπαγέλλομαι, ἐπισχνοῦμαι.

1395. Συνθάπτειν θέλω] καλῶς τὸ θέλω. Εἰ ἐπιτρέποιτε, σὺν σοὶ θάπτω τόνδε. Διττῶς δύναται νοεῖσθαι οὗτος ὁ λόγος, ἢ ὅτι καί σε θάπτω μετὰ τοῦδε, ἢ ὅτι τοῦτον ἐγὼ καὶ σὺ θάπτομεν.

1396. Ξυμπονεῖν] ἤγουν, συνεργεῖν ὑμῖν δηλονότι. Ἤγουν συγκοπιᾷν, καὶ μηδὲν ἐλλείπειν πονεῖν τόσον, ὅσον χρὴ τοὺς βροτοὺς πονεῖν ἐν τοῖς ἀρίςοις ἀνδράσιν.

1398. Ἄρις᾽ Ὀδυσσεῦ] εὐγνωμόνως πρὸς τὸ παρὸν ὁ Τεῦκρος θεραπεύει τὸν Ὀδυσσέα. Κατατιθέμενος καὶ τὴν πρὸς αὐτὸν ἔχθραν.

1399. Καί μ᾽ ἔψευσας] ψευσθῆναι ἐποίησας τῆς ἐλπίδος, ἣν κακὴν εἶχον περὶ σέ.

Ib. Ἔψευσας] ἤγουν, ἐξέβαλες. Εἶχε γὰρ ἐλπίδα ὁ Τεῦκρος, ἰδὼν τὸν Ὀδυσσέα, μὴ εἶναι τοῦτον εἰς βοήθειαν· ἀλλ᾽ ὅτι εἶδε τοῦτον βοηθοῦντα, τότε φησίν· ἔψευσάς με κατὰ πολὺ τῆς ἐλπίδος, καὶ νομίσας εἶναι σε ἐχθρὸν, εὗρόν σε φίλον.

1401. Παρέςης χερσὶν] συνεμάχησας ἔργῳ, οὐ λόγῳ. Τοῦτο δὲ λέγεται ἐπὶ τῶν μετὰ σπουδῆς ρα ζομένων τι.

1403. Οὑπιβρόντητος] ὃν εἰώθαμεν λέγειν ἐμβρόντητον. Ἐμβρόντητος δέ ἐςιν ὁ ἐκτραπεὶς τῶν φρενῶν ὑπὸ ἤχου βροντῆς.

1405. Λα-

Λωϐητὸν αὐτὸν ἐκϐαλεῖν, ταφῆς ἄτερ·
Τοιγάρ σφ' Ὀλύμπȣ τȣ͂δ' ὁ πρεσϐεύων Πατὴρ,
Μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος Δίκη,
Κακȣ̀ς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
Τὸν ἄνδρα λώϐαις ἐκϐαλεῖν ἀναξίως.
Σὲ δ', ὦ γεραιȣ͂ σπέρμα Λαρτίȣ πατρὸς,
Τάφȣ μὲν ὀκνῶ τȣ͂δ' ἐπιψαύειν ἐᾷν,
Μὴ τῷ θανόντι τȣ͂το δυσχερὲς ποιῶ·
Τὰ δ' ἄλλα καὶ ξύμπραττε· κεἴ τινα ϛρατȣ͂
Θέλεις κομίζειν, ȣ̓δὲν ἄλγος ἕξομεν.
Ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
Ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίϛασο.

ΟΔΥ. Ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'ϛί σοι φίλον
Πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸν σόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΤΕΥ. Ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
Χρόνος· ἀλλ' οἱ μὲν κοίλην κάπετον
Χερσὶ ταχύνατε, τοὶ δ' ὑψίϐατον
Τρίποδ' ἀμφίπυρον λȣτρῶν ὁσίων

1405. Λωϐητὸν] ἐφύϐριϛον.

1406. Τοιγάρ σφ' Ὀλύμπȣ] διὸ αὐτȣ̀ς τῶν ἐν Ὀλύμπῳ θεῶν τὰ πρεσϐεῖα ἔχων Ζεὺς, μνήμων τ' Ἐριννὺς, τῶν ἀδικημάτων δηλονότι, ἤγȣν ἡ ταμιεύȣσα τὰς τιμωρίας. Ἐριννὺς δὲ εἰσὶν αἱ κατάραι καὶ ἔφοροι τῶν καταρῶν θεαί.

1407. Μνήμων τ' Ἐριννὺς] ἤγȣν μνημονεύȣσα τῶν ἑκάϛοις πεπραγμένων κακῶν, καὶ μηδέποτ' εἰς λήθην ἰȣ͂σα, ἀλλὰ τιμωρȣμένη. Διὰ τȣ͂το δὲ τὴν Δίκην τελεσφόρον καλεῖ, διὰ τὸ μὴ αὐτίκα τοῖς ἁμαρτάνȣσιν ἀπαντᾷν, ὅπως ἂν μεταγνοῖεν· ἀλλ' ὕϛερον κατ' αὐτῶν φέρεσθαι μετὰ μείζονος τȣ͂ κολάζειν παρασκευῆς.

1416. Πορσυνῶ] παρέξω.

1417. Ἀλλ' ἤθελον] συνεργῆσαι δηλονότι εἰς τὴν ταφήν· Μάλιϛα καινόσχημον τȣ͂τό γε.

1418. Εἶμ' ἐπαινέσας τὸ σὸν] πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπȣδὴν τῆς ταφῆς. Πολὺς οὖν ἤδη χρόνος ἀφ' ȣ͂ τετελεύτηκεν ὁ Αἴας, καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι.

1419. Ἅλις· ἤδη] ἀντὶ τȣ͂, ἀρκούντως ἔχει τὸ πρᾶγμα.

1420. Κοίλην κάπετον] ἤγουν τάφον.

1421. Χερσὶ ταχύνατε] μετὰ σπȣδῆς ὀρύξατε.

Ib. Τοὶ δ' ὑψίϐατον] οἱ δὲ θέσθε, ἐπὶ τȣ͂ πυρὸς δηλονότι, ἐπίκαιρον ἀντὶ τȣ͂ ἐπικαίρως, ἤγȣν ἐγκαίρως, χυτρόποδα ἀμφίπυρον, ἀμφοτέρωθεν τὸ πῦρ δεχόμενον, ὑψίϐατον ὑψηλὴν βάσιν ἔχοντα.

1422. Τρίποδ' ἀμφίπυρον] ἤγȣν χυτρόπȣν, τὸν κοινῶς παροϛάτην, ὃ καὶ λόϐανον λέγεται.

Θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
Ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
Κόσμον φερέτω.
Σὺ δὲ, παῖ*, τῦ πατρὸς, ὅσον ἰσχύεις,
Φιλότητι θίγων, πλευρὰς σὺν ἐμοὶ
Τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
Σύριγγες ἄνω φυσῶσι μέλαν
Μένος· ἀλλ' ἄγε πᾶς φίλος ὅςτις ἀνὴρ
Φησὶ παρεῖναι, σούσθω, βάτω,

* Ald. Παῖ, σὺ δὲ.

Ἀπὸ δὲ τῆς θέσεως τῦ χυτρόποδος νοεῖται ὁ λέβης, καὶ τὸ θερμαινόμενον ὕδωρ.

Ib. Λυτρῶν ὁσίων] μὴ λάβῃς εἰς τὸ λυτρῶν ἔξωθεν τὸ ἕνεκα· ἀλλ' ἐπειδὴ ὁ τρίπυς διὰ λυτρὰ ἦν, καὶ ὐ δι' ἄλλο τι, διὰ τῦτο τρίποδα λυτρῶν λέγει.

1423. Ἐπίκαιρον] εὔκαιρον· καιρὸς γὰρ ἤδη καὶ τῦτυ ὥστε ἀπολῦσαι τὸ σῶμα, καὶ καθᾶραι.

Ib. Ἐκ κλισίας] τῆς σκηνῆς.

1424. Ἴλη] σύστημα. Κυρίως δὲ φατρία.

Ib. Ὑπασπίδιον] ἐνόπλιον.

Ib. Τὸν ὑπασπίδιον] ἤγυν τὸν ὑποκάτω τῆς ἀσπίδος· πάντων γὰρ ὅπλων ἡ ἀσπὶς ἐπίκειται. Τῦτο δὲ λέγει, ἵνα αὐτὸν συνάψῃ τῷ Αἴαντι, ὥσπερ πρόσθεν ἐνετείλατο.

1427. Πλευρὰς σὺν] εἰ μὲν τὸ πλευρᾶς περισπάσεις, καθ' ὅλον καὶ μέρος ἐρεῖς (τὸ γὰρ Αἴαντος, ὅλον· τὸ δὲ πλευρᾶς, μέρος) εἰ δὲ ὀξυνεῖς, πρὸς τὸ ἐπικούφιζε ζυντάξεις. Σκόπει δὲ ὅταν περισπάσῃς μὴ ὕτω συντάσσειν, θίγων τῆσδε τῆς πλευρᾶς· Ἀλλὰ θίγων τῦ πατρὸς τῆσδε τῆς πλευρᾶς· ὕτω γὰρ καὶ τὸ καθ' ὅλον καὶ μέρος σώζεται.

1429. Σύριγγες] ἀναδόσεις. Αἱ ὀπαὶ τῆς πληγῆς.

Ib. Μέλαν μένος] ἀντὶ τῦ τὴν δύναμιν τῦ Αἴαντος. Καὶ ἀντὶ τῦ μέλαν αἷμα μετὰ ἰσχύος.

Ib. Μέλαν μένος] μέλαν αἷμα, λέγει τὴν τῦ αἵματος ἀνάδοσιν καὶ πρὸς τὸ ἄνω ὁρμὴν, ἐπειδὴ καὶ τὸ μέλαν αἷμα.

1430. Πᾶς φίλος] ὅςτις τῶν παρόντων φίλος ἐςὶ, σπευδέτω εἰς τὴν ταφήν.

Ib. Ἀλλ' ἄγε] ἡ σύνταξις, Ἀλλ' ἄγε, πᾶς ἀνὴρ ὅςτις φησὶ παρεῖναι καὶ ὑπάρχειν, φίλος τῦ Αἴαντος. Ὅτε ἦν ὁ Αἴας τότε φίλον καὶ αὐτὸν τῦτυ παρεῖναι λέγω. Σούσθω καὶ ὁρμάσθω, βάτω καὶ πορευέσθω, πονῶν καὶ συναγωνιζόμενος τῷδε τῷ ἀνδρὶ τῷ Αἴαντι τῷ κατὰ πάντα ἀγαθῷ, φρόνησιν λέγω, καὶ ἀνδρίαν, καὶ τἄλλα, καὶ ἐν ὐδενὶ πράγματι λῴονι καὶ κρείττονι τῶν θνητῶν, τυτέςι πᾶσι μὲν τοῖς καλοῖς ὅσων ἄνθρωπον ἡ φύσις ἠξίωσεν, ἐνευθρηνυμένῳ, θνητῷ δὲ ὄντι. Οὕτω τὸ ὐδενὶ ὐδέτερον λέγε· τὸ δὲ λῴονι, ἀρσενικὸν πρὸς τὸ Αἴαντι· ὐχ ὥςτινές φασί, τὸ ὐδενὶ ἀντὶ τῦ νεκρῷ καὶ ἕτερ' ἄττα, σκαιότητος γέμοντα καὶ ἄλλως. Ἀλλ' εἶα, πᾶς ὅςτις φησὶν εἶναι φίλος τῷ ἀνδρὶ τῷδε τῷ κατὰ πάντα ἀγαθῷ, ὁρμάσθω πονῶν ὑπὲρ τῦδε, καὶ ὑπὲρ ὐδενὸς ἄλλυ ἀπὸ τῶν θνητῶν, κρείττονος τῦδε τῦ Αἴαντος. Ὅτε ἦν καὶ ὑπῆρχεν, τότε φωνᾷ, τῦτ' ἔςι λέγω.

1431. Σούσθω] ἀπὸ τῦ σεύομαι τὸ ὁρμῶ· ὁ παρατατικὸς ἐσευόμην, ἐσεύυ, καὶ τὸ προςτακτικὸν σεύυ. τὸ τρίτον σευέσθω· καὶ, κατὰ συγκοπὴν, σεύσθω· καὶ, τροπῇ τῦ ε εἰς ο, σούσθω.

Τῷδ᾽ ἀνδρὶ πονῶν τῷ πάντ᾽ ἀγαθῷ·
Κοὐδενί πω* λῴονι θνητῶν
Αἴαντος· ὅτ᾽ ἦν, τότε φωνῶ.

ΧΟΡ. " Ἦ πολλὰ βροτοῖς ἐςὶν ἰδοῦσι
" Γνῶναι· πρὶν ἰδεῖν δ᾽, οὐδεὶς μάντις
" Τῶν μελλόντων ὅ,τι πράξει."

* Aldus, Κοὐδενί πω.

1432. Τῷ πάντ᾽ ἀγαθῷ] οἱ τοιοῦτοι ἔπαινοι περὶ τῶν ἰδίων λεγόμενοι περιπαθέςεροί εἰσιν.

1435. Ἦ πολλὰ βροτοῖς] οἰκείως ἔχει τοῖς ἀπαλλαχθήσεσθαι μέλλουσιν ἡ τελευταία γνώμη, ὅτι πλεῖςά ἐςι τοῖς ἀνθρώποις γνῶναι ἐπ᾽ αὐτῶν τῶν πραγμάτων γιγνομένων· προμηθείᾳ δὲ ἀδύνατον χρήσασθαι, καὶ μαντεύσασθαι ὅ,τί ποτε ἀποβήσεσθαι μέλλει. Ταῦτα δὲ ἅμα λέγοντες προπέμπουσι τὸν νεκρόν· καὶ γίγνεται ἔξοδος πρέπουσα τῷ λειψάνῳ.

Ib. Ἦ πολλὰ] ὄντως πολλά ἐςι τοῖς βροτοῖς γνῶναι ἰδοῦσι καὶ θεασαμένοις· οὐδεὶς δὲ πρὶν ἰδεῖν ἐςι μάντις τῶν μελλόντων τί ποιήσει. Ἤγουν, ὅπερ τίς εἶδεν, ἐπίςαται· ὁ δὲ μὴ ἰδὼν, οὐκ ἂν ἔχοι περὶ τοῦ μέλλοντος ἰσχυρίσασθαι τί ποιήσει. Τοῦτο δὲ λέγει ὁ χορός περὶ ἑαυτοῦ, ὡς πρῶτον οὐκ ἐλπίζοντος ἂν τεθάφθαι τὸν Αἴαντα, ὕςερον δὲ ἰδόντος τοῦτο γενόμενον.

1437. Πράξει] ἤγουν εὐπραγήσει, ἢ δυςπραγήσει, καὶ ἀμφότερα γὰρ ἡ λήξις δηλοῖ.

# ΣΟΦΟΚΛΕΟΥΣ

# ΗΛΕΚΤΡΑ.

## ὙΠΟΘΕΣΙΣ

# ΗΛΕΚΤΡΑΣ.

Ὑπόκειται ὧδε τροφεὺς πρεσβύτης, ἤτοι παιδαγωγὸς, δεικνὺς τῷ Ὀρέςῃ τὰ ἐν Ἄργει· μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ ἀδελφὴ αὐτȣ̃ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ αὐτῶν ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβȣμένη μὴ καὶ αὐτὸν φονεύσωσι, σὺν τῷ πατρί. Ὁ δὲ τροφεὺς ὑπεξέθετο τὸν Ὀρέςην εἰς τὴν Φωκίδα πρὸς τὸν Στρόφιον, καὶ δι' εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ' αὐτȣ̃, δείκνυσιν αὐτῷ (ὡς εἴρηται) τὰ ἐν αὐτῷ.

Ἡ μὲν σκηνὴ τȣ̃ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέςηκεν ἐξ ἐπιχωρίων παρθένων.

Προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέςȣ.

## ΠΑΡΑΣΗΜΕΙΩΣΙΣ.

Ἀπειρόκαλον τὸ λέγειν ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, ȣ̓́τως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέςῃ δεῖξαι. Τῷ μὲν γὰρ ἀγνοȣ̃ντι δείκνυσιν ὁ παιδαγωγὸς, τῷ δὲ ἀπιςȣ̃ντι ἡ Ἀθηνᾶ.

Ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητὴς, τὸν τόπον τῆς σκηνῆς, τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας· τὸν συνόντα, ὅτι Πυλάδης· φησὶ γὰρ ὑποκατιὼν, Πυλάδη, τί χρὴ δρᾷν, ἐν τάχει βουλευτέον.

---

# ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ ΤΡΟΦΕΥΣ.

ΟΡΕΣΤΗΣ.

ΗΛΕΚΤΡΑ.

ΧΟΡΟΣ ΕΞ ΕΠΙΧΩΡΙΩΝ ΠΑΡΘΕΝΩΝ.

ΧΡΥΣΟΘΕΜΙΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΑΙΓΙΣΘΟΣ.

# Η Λ Ε Κ Τ Ρ Α.

ΠΑΙΔΑΓΩΓΟΣ, ΟΡΕΣΤΗΣ, ΗΛΕΚΤΡΑ, ΧΡΥΣΟΘΕΜΙΣ, ΧΟΡΟΣ.

### ΙΑΜΒΟΙ.

ΠΑΙ. ὮΤΟΥ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
Τὸ γὰρ παλαιὸν Ἄργος, οὗ 'πόθεις, τόδε,
Τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·

1. Ὦ τοῦ στρατηγήσαντος] Πολλάκις παρατηροῦμεν ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι· καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος· ὅπερ ἦν ἀναγκαῖον πρόσωπον.

2. Νῦν ἐκεῖν' ἔξεστί σοι] προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν τί δή ποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.

3. Ὧν πρόθυμος ἦσθ'] ἤγουν ἐπιθυμῶν, ὀρεγόμενος. Ἦσθα δὲ, ὑπῆρχες. Ἔστι δὲ Ἀττικισμὸς, ἀντὶ τοῦ ἐπεθύμεις.

Ib. Ὧν πρόθυμος] αὕτη ἡ γενικὴ οὐ, καθὰ οἴονταί τινες, ἐστὶ, λέγοντες, ὧν εἰς θέαν ἐλθεῖν (τοῦτο γὰρ λαμβάνουσιν ἔξωθεν) ἦσθα πρόθυμος· ἀλλὰ πρὸς τὸ πρόθυμος, καθάπερ φαμὲν, οἰκεῖός εἰμι τοῦ δεῖνος, οὕτω καὶ πρόθυμος. Ἰστέον δὲ ὅτι διὰ τοῦτο παλαιὸν τὸ Ἄργος λέγει· διὰ τὸ τὸν πρῶτον αὐτοῦ οἰκιστὴν Ἄργον γηγενῆ εἶναι. Ἢ παλαιὸν λέγει, ὡς πρὸς τὸν Ὀρέστην, ἀντὶ τοῦ ὃ πάλαι οἶσθα· ὅπερ οὐ τοσοῦτον ἔχεται λόγου.

4. Τὸ γὰρ παλαιὸν Ἄργος] Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην. Οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως· Ἄργος ὁμωνύμως τῇ χώρᾳ· ὡς Ὅμηρος·

"Ἄργος τε Σπάρτη τε."

Παλαιὸν δὲ, ἢ ὅτι Ἄργος ὁ προπάτωρ αὐτῶν γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. Ἔστι δὲ ἔτι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον καὶ λεγόμενον ὡς ἀπ' οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη.

5. Τῆς οἰστροπλῆγος] τῆς οἴστρῳ, ἤγουν μανίᾳ, πληγείσης. Τὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεὶ (οἷον ἔμπληκτος, ἀπόπληκτος, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην καὶ ἐκτραπέντων) εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικὰ (οἷον βουπλὴξ τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον) ἐνίοτε καὶ παθητικὰ, οἷον παραπλὴξ, ὁ φθαρεὶς τὰς φρένας· καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος, καὶ καταπλὴξ Εἰλείθυια, ἡ πληγὰς συνεχεῖς ἔχουσα (εἰσὶ δὲ Εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαὶ) καὶ οἰστροπλὴξ ἐνταῦθα, ἡ οἴστρῳ (ἤγουν μανίᾳ) πληγεῖσα ὑπὸ τῆς Ἥρας. Ταύτης γὰρ ὁ Ζεὺς ἐρασθεὶς μεταβέβληκεν αὐτὴν εἰς βοῦν, λαθεῖν πειρώμενος τὴν Ἥραν· ἡ δὲ γνοῦσα, τὸν κύνα τὸν Ἄργον τὸν πανόπτην ἐπέστησε φυλάττειν

Αὕτη δ', Ὀρέςα, τȣ̃ λυκοκτόνȣ θεȣ̃
Ἀγορὰ Λύκειος· οὑξ ἀριςερᾶς δ' ὅδε,
Ἥρας ὁ κλεινὸς ναός· οἷδ' ἱκάνομεν,
Φάσκειν Μυκήνας τὰς πολυχρύσȣς ὁρᾶν,
Πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε·
Ὅθεν σὲ πατρὸς ἐκ φόνων ἐγώ ποτὲ
Πρὸς σῆς ὁμαίμȣ καὶ κασιγνήτης λαβὼν,
Ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
Τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνȣ.
Νῦν ȣ̃ν, Ὀρέςα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βȣλευτέον·

λάττειν αὐτὴν, ὃν Ἑρμῆς ὑπὸ τȣ̃ Διὸς πεμφθεὶς ἀπέκτεινεν· ἡ Ἥρα δὲ μὴ κατέχειν δυναμένη τὴν ζηλοτυπίαν, εἰς μανίαν αὐτὴν ἔτρεψεν. Ἡ δὲ ὑπὸ τῆς μανίας ἐλαυνομένη τὸ Ἰόνιον διεπέρασε πέλαγος, ἀφ' ἧς καὶ Ἰόνιον ὠνομάσθη.

Ib. Τῆς οἰςροπλῆγος] ἢ τῆς τῷ οἴςρῳ καὶ ἔρωτι τȣ̃ Διὸς πληγείσης· ἢ οἶςρον λέγει ὃν αὐτῇ ἡ Ἥρα ἐπέβαλεν, ὅτε ταύτην εἰς βȣ̃ν Ζεὺς μετέβαλε, βȣλόμενος ἐκείνην λαθεῖν.

6. Αὕτη δ', Ὀρέςα] ȣ̓κ ἀπ' ἄλλȣ τινὸς ποιεῖται τὴν δεῖξιν ἢ ἀπὸ τȣ̃ ἱερȣ̃ τȣ̃ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατον κατὰ τὴν ἐν τῷ Ἄργει ἀγορὰν, ἐν ᾧ καὶ πῦρ ἀπόκειται, περὶ ȣ̃ πρόσθεν εἰρήκαμεν· ἔςι δὲ καταντικρὺ τȣ̃ νεμέȣ Διός. Παραγενόμενος ȣ̃ν εἰς Ἄργος ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει (λέγων, ἔςιν ȣ̓κ ἄποθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτȣ φαίνεται) καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριςερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθȣ εἰσιȣ̃σι· Λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιον εἶναι τȣ̀ς ἐπιβȣ́λȣς αὐτῶν φονεύειν (διὸ καὶ λύκȣς αὐτῷ φησὶ θύεσθαι ἐν Ἄργει) οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τας ἐλαφȣς. Ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαί φασι λύκȣς, ὡς καὶ τὰς γλαῦκας Ἀθήνησι.

Ib. Λυκοκτόνȣ θεȣ̃] λυκοκτόνος ὁ Ἀπόλλων καλεῖται, ὥς ποτε λύκον κτείνας. Τὸ δὲ ἀληὲς ȣ̔́τως ἔχει, Ἀπόλλων ἀλληγορεῖται εἰς ἥλιον, ȣ̃ τῇ παρȣσίᾳ τὸ λυκόφως ἀφανίζεται, λύκȣ χροιὰν ἔχον, διὸ καὶ τȣ̓́νομα ἔχει. Τόπος ȣ̃ν ἐν Ἄργει ἦν λυκοκτόνȣ Ἀπόλλωνος ἱερὸν ἔχων, καὶ προσαγορευόμενος ἐντεῦθεν Λύκειος ἀγορά.

7. Ἀγορὰ Λύκειος] τόπος ἔνθα συνηθροίζοντο, ȣ̔́τως ὀνομαζόμενος· ἦν δὲ ἀφιερωμένος τῷ Ἀπόλλωνι. Λέγεται δὲ ὁ Ἀπόλλων Λύκειος· Λύκειον δὲ ȣ̓δετέρως, γυμνάσιον ἐν Ἀθήναις.

Ib. Οὑξ ἀριςερᾶς] ἔςι γὰρ ἐξ ἀριςερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθȣ εἰσιȣ̃σιν, Ἥρας ναός. Ἐκ Φωκίδος δὲ παραγενόμενοι, διὰ Κορίνθȣ πεποίηνται τὴν ὁδόν.

8. Οἷδ' ἱκάνομεν] ὅποι κατελάβομεν.

9. Φάσκειν] Θέλε λέγειν. Ἤγȣν, νόμιζε ὁρᾶν Μυκήνας τὰς πολυπλȣ́τȣς. Οὐκ ἄποθεν τῶν Μυκηνῶν ἐςὶ τὸ Ἄργος, ἀλλ' ἐξ ἀπόπτȣ φαίνεται.

10. Πολύφθορόν τε] ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.

11. Ἐκ φόνων] ἀφ' ȣ̃ χρόνȣ ἐγίνοντο οἱ φόνοι τȣ̃ πατρός σȣ.

12. Ὁμαίμȣ καὶ κασιγνήτης] ἐκ παραλλήλȣ.

14. Τοσόνδ' ἐς ἥβης] τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίȣ ȣ̔́πω βαδίσαι δυναμένȣ. Ἤγȣν εἰς τοσȣ̃τον μέτρον ἥβης, ἤγȣν μέχρι τοσαύτης ἀκμῆς ἡλικίας.

15. Νῦν ȣ̃ν] βάσις.

Ib. Φίλτατε ξένων] κυρίως ξένος, ὁ φίλος ὃν ἂν ποιήσῃ τὶς ἐν τῇ πατρίδι ἀπὸ ξένης ἐλθόντα.

17. Ἠλέκ

Ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίȣ σέλας,
Ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ·
Μέλαινά τ' ἄςρων ἐκλέλοιπεν εὐφρόνη.
Πρὶν ȣ̃ν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν ςέγης,
Ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἐμὲν
Ἵν' ȣ̓κέτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.
ΟΡΕ. Ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
Σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
" Ὥςπερ γὰρ ἵππος εὐγενὴς, κἂν ᾖ γέρων,
" Ἐν τοῖσι δεινοῖς θυμὸν ȣ̓κ ἀπώλεσεν,
" Ἀλλ' ὀρθὸν ȣ̃ς ἵςησιν· ὡσαύτως δὲ σὺ
" Ἡμᾶς τ' ὀτρύνεις, κἀυτὸς ἐν πρώτοις ἕπῃ".
Τοιγὰρ, τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ

17. Ἡλίȣ σέλας] ἢ τὸ σέλας αἰτιατικὴν νοητέον, τὸ δὲ φθέγματα εὐθεῖαν, ȣ̔́τως, ὡς ἤδη τὰ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων ταφῆ, κινεῖ καὶ φέρει ἡμῖν τὸ λαμπρὸν φέγγος τȣ̃ ἡλίȣ· τȣ̃τ' ἔςιν αἱ ὀρθριναὶ τῶν ἀλεκτόρων ᾠδαὶ ἢ μȣ̃σαι ἡμῖν ἤδη μαντεύονται. ἢ τὸ μὲν σέλας ἔςω εὐθεῖα, τὸ δὲ φθέγματα αἰτιατικὴ, ȣ̔́τως, ὡς ἤδη τὸ λαμπρὸν σέλας τȣ̃ ἡλίȣ κινεῖ καὶ φέρει ἡμῖν σαφῆ τὰ ἑῷα καὶ πρωϊνὰ φθέγματα τῶν ὀρνίθων. Τȣ̃τ' ἔςιν, ἤδη προϊȣ̃σα ἡ ἡμέρα τὰς ὀρθρινὰς ἡμῖν φωνὰς τῶν ὀρνίθων ἀνίςησι.

19. Μέλαινά τ' ἄςρων] ἐχρῆν ȣ̔́τως εἰπεῖν, μελαίνης νυκτὸς τὰ ἄςρα ἐκλέλοιπεν· ὡς τὸ, Ὁ δὲ χασσάμενος πελεμίχθη. Ἢ ȣ̔́τως, ἐκλέλοιπε τῶν ἄςρων ἡ μέλαινα εὐφρόνη· ἵν' ᾖ τὸ ἄςρων πρὸς τὸ ἐκλέλοιπεν.

21. Ξυνάπτετον λόγοισιν] ἤγȣν συνέρχεσθαι διὰ λόγων.

Ib. Ἐμὲν] ἀντὶ τȣ̃ ἐσμέν. Ἀναλογώτερον δὲ τὸ ἐμὲν τȣ̃ ἐσμέν· ἀπὸ τȣ́τȣ γὰρ γίνεται τὸ ἐσμὲν, πλεονασμῷ τȣ̃ σ.

22. Ἀκμὴ] σπȣδή. Πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις ἃ ταχέως συμβȣλεύει τελεσθῆναι.

23. Ὦ φίλτατ' ἀνδρῶν] διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόρρητα ποιεῖν καὶ λέγειν.

24. Ἐσθλὸς εἰς ἡμᾶς γεγώς] τὸ εἶναι πιςὸς εἰς ἡμᾶς.

Ib. Εἰς ἡμᾶς γεγὼς] ἀντὶ τȣ̃ εἰπεῖν, γεγονέναι εἰς ἡμᾶς ἐσθλὸς, πρὸς μετοχὴν ἔτρεψεν, ὃ καὶ κρεῖττον.

25. Ὥςπερ γὰρ] κατασκευὴ τῆς προτάσεως ἐκ παραδείγματος.

Ib. Εὐγενὴς] ἀπὸ ἀγαθȣ̃ γένȣς. Εὐγενεῖς, ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. Γένος γὰρ, καὶ ἡ πατρὶς καὶ ἡ γενεά. Εὐπατρίδαι δὲ παρὰ Ἀττικοῖς οἱ αὐτόχθονες, καὶ κατὰ τȣ̃το περιφανεῖς. Οἷον οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος, ὡς εἶναι τȣ̀ς εὐγενεῖς ἐπιπλέον τῶν εὐπατριδῶν. Ὥςτε εἴτις εὐπατρίδης, καὶ εὐγενής· ȣ̓ μὴν εἴτις εὐγενὴς, καὶ εὐπατρίδης. Εἴη γὰρ ἂν κατὰ τὸ ἕτερον μέρος εὐγενὴς, ȣ̓ κατὰ τὴν πατρίδα· ὡς ἐνταῦθα εὐγενὴς ἵππος, ὁ ἀπὸ ἀγαθοῦ γένȣς, ȣ̓ μὴν ὁ εὖ ἔχων ἕνεκα πατρίδος. Οὐ γὰρ ἔχȣσιν οἱ ἵπποι πατρίδας· ἀπὸ τȣ́των εὐγενὴς ψυχὴ, εὐγενὴς λόγος, καὶ εὐγενὲς ἦθος.

26. Ἐν τοῖσι δεινοῖς] ἐν τοῖς πολέμοις.

Ib. Θυμὸν] Ἀντὶ τȣ̃ θυμοειδὲς καὶ διεγηγερμένον, ἤγȣν τὴν προθυμίαν.

28. Ἐν πρώτοις ἕπῃ] ἀκολȣθεῖς· διὰ τὴν ἀπὸ τȣ̃ γήρως εὐβȣλίαν.

29. Τοιγὰρ, τὰ] βάσις καὶ προκατάςασις.

Ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς,
Εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
Ἐγὼ γὰρ ἡνίχ᾽ ἱκόμην τὸ Πυθικὸν
Μαντεῖον, ὡς μάθοιμ᾽ ὅτῳ τρόπῳ πατρὸς
Δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
Χρῇ μοι τοιαῦθ᾽ ὁ Φοῖβος, ὧν πεύσῃ τάχα·
Ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
Δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
Ὅτ᾽ οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
Σὺ μὲν μολὼν, ὅταν σε καιρὸς εἰσάγῃ,
Δόμων ἔσω τῶνδ᾽, ἴσθι πᾶν τὸ δρώμενον.
Ὅπως ἂν εἰδὼς, ἡμὶν ἀγγείλῃς σαφῆ.
Οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
Γνῶσ᾽, οὐδ᾽ ὑποπτεύσωσιν ὧδ᾽ ἠνθισμένον.
Λόγῳ δὲ χρῶ τοιῷδ᾽, ὅτι ξένος μὲν εἶ
Φωκεὺς, παρ᾽ ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ

31. Εἰ μήτι καιροῦ] εἴτι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον, ὅ ἐστιν, ἐπανόρθωσον· ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται. Ἐπὶ μουσικῆς δὲ κυρίως λέγεται τὸ μεθαρμόζειν, ἤγουν τὸ μετατιθέναι τὴν ἁρμονίαν.

32. Ἐγὼ γὰρ ἡνίχ᾽ ἱκόμην] διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν.

34. Ἀροίμην] ἀντὶ τοῦ λάβοιμι. Ἀραίμην, μακρὸν τὸ α, ἐπεὶ ἀπὸ τοῦ ἀορίστου· ἀροίμην δὲ, βραχὺ, ἐπεὶ ἀπὸ τοῦ μέλλοντος.

35. Χρῇ] ἔχρησεν, ἀνεῖλεν.

36. Ἄσκευον αὐτὸν] ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην, οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι.

38. Ὅτ᾽ οὖν τοιόνδε] συμβουλὴ πῶς δεῖ τοῦ προκειμένου σκοποῦ ἅψασθαι.

42. Οὐ γάρ σε μὴ γήρᾳ τε] τοῦ πιθανοῦ χάριν οὕτως εἶπε· οὐ μὴ γὰρ ἀναγνωρίσωσιν, οὐδ᾽ ὑποπτεύσουσιν, ἤγουν ὑπονοήσουσιν οὕτως ἠνθισμένον, τουτέστι κεχρωματισμένον ὑπὸ γήρως καὶ χρόνου μακροῦ.

43. Ἠνθισμένον] οὐ γὰρ ἀναγνωρίσουσιν· οὐδὲ ὑπονοήσουσί σε οὕτω κεχρωματισμένον, ἤτοι πεπωλιωμένον ὑπὸ τοῦ γήρως, καὶ ὑπὸ τοῦ χρόνου τοῦ μακροῦ ἐνηλλαγμένον κατὰ τὴν τοῦ σώματος διάθεσιν. Πρωτοῦ μὲν γὰρ νέος ἐξῆλθες, νῦν δὲ γηραιὸς ἐπανέρχῃ· ὥστε καὶ ἀπ᾽ αὐτοῦ τοῦ εἴδους οὐχ ὑποπτεύσουσί σε ἀπατεῶνα εἶναι. Σημειωτέον δὲ τὴν μεταχείρισιν. Ἐπειδὴ γὰρ ὁ Ὀρέστης παρὰ τῷ Στροφίῳ ἐτρέφετο, ὁ μὲν Πυλάδης καὶ ὁ Ὀρέστης μέλλουσιν εἰπεῖν ὅτι τὸ ἄγγος πρὸς Κλυταιμνήστραν ἄξουσιν, ὡς παρὰ Στροφίου πεμφθέντες· τῷ δὲ παιδαγωγῷ ὑποτίθενται εἰπεῖν ὡς παρὰ Φανοτέως ἥκει, προμεμηνυκότος ὡς φίλου τούτου Ὀρέστου θάνατον.

45. Φωκεὺς] τὸν Φωκέα προσθεὶς, ἐπήνεγκε Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων. Ὁμοίως τῷ, Ἡ δ᾽ ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη, Ἐς Πάφον. Ἐλέγοντο γὰρ

ὁλοσχερέστερον

Μέγιϛος αὐτοῖς τυγχάνει δορυξένων.
Ἄγγελλε δ' ὅρκῳ προϛιθεὶς, ὅθ' οὕνεκα
Τέθνηκ' Ὀρέϛης ἐξ ἀναγκαίας τύχης,
Ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
Δίφρων κυλισθείς. Ὧ, δ' ὁ μῦθος ἑϛάτω.
Ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
Λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
Στέψαντες, εἶτ' ἄψοῤῥον ἥξομεν πάλιν
Τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
Ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον·

ὁλοσχερέϛερον μὲν Φωκεῖς, ἐπὶ μέρους δὲ Κρισαῖοι, Φανοτεῖς. Πόλεως δὲ ὄνομα φασὶ τὸ Φανοτέως.

46. Δορυξένων] ἀντὶ τοῦ φίλων. Κυρίως δὲ οἱ ἐν πολέμῳ γιγνόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.

47. Ἄγγελλε δ' ὅρκῳ] μὴ μικρολόγως τὶς ἐπιλάβηται ὡς κελεύοντος ἐπιορκεῖν τοῦ ποιητοῦ· δεῖ γὰρ αὐτὸν πείθεσθαι τῷ θεῷ τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ. Ὥϛε ἐν οἷς δοκεῖ ἐπιορκῶν δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ πειθόμενος τῷ θεῷ. Ἔχει δὲ ἀξιοπιϛίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι εἰς τὰ Πύθια· ἀνῆκται δὲ τοῖς χρόνοις· ἐπὶ Τριπτολέμου γάρ φασι γενέσθαι Πυθικὸν ἀγῶνα ἑξακοσίοις ἔτεσιν ὕϛερον. Τοῦτο δὲ ἀντιϛρόφως λέγεται, ἀντὶ τοῦ προϛιθεὶς τὸν ὅρκον τῇ ἀγγελίᾳ.

48. Ἐξ ἀναγκαίας τύχης] βιαίως. οἷον ἀναγκαϛῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ συντυχίας, οὐκ ἰδίῳ θανάτῳ.

49. Ἄθλοισι Πυθικοῖσιν] τοῖς χρόνοις ἀνῆκται. Νεώτερος γὰρ Ὀρέϛου ἐϛὶν ὁ Πυθικὸς ἀγών.

Ib. Πυθικοῖσι] τέσσαρες ἀγῶνες μεγάλοι ἐν Ἑλλάδι ἐγίνοντο. Ὁ τῶν Ὀλυμπίων, ὁ τῶν Νεμέων, ἀμφότεροι εἰς Δία· ὁ τῶν Ἰσθμίων, εἰς Ποσειδῶνα· ὁ τῶν Πυθίων, εἰς τὸν Ἀπόλλωνα.

50. Ὧ, δ' ὁ μῦθος ἑϛάτω] ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον. Πιθανὸν δὲ τὸ, ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι.

Ib. Ἑϛάτω] δεδόχθω.

Ib. Ἑϛάτω] Εἰ μὲν σημαίνει τὸ ϛαθήτω, δασύνεται ἀπὸ τοῦ ἵϛημι· ὁ παρατικὸς, ἵϛην· ὁ παρακ· ἕϛακα, ἕϛακας, ἕϛακε. τὸ προϛακτικὸν, ἕϛακε, ἑϛακέτω· καὶ, κατὰ συγκοπὴν, ἑϛάτω. Εἰ δὲ σημαίνει τὸ ὑπαρχέτω, ψιλοῦται ἀπὸ τοῦ εἰμὶ, τὸ πληθ· ἐμέν· καὶ τὸ προϛακτικὸν, ἔθι· καὶ ἐπιθέσει τοῦ σ, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴσθι· τὸ τρίτον, ἔϛω. Ἐφύλαξε δὲ τὸ ὀφειλόμενον ε. Καὶ ποιητικῶς, ἑϛάτω.

51. Ὡς ἐφίετο] ὁ Ἀπόλλων δηλονότι, ὡς ἐκέλευεν.

52. Λοιβαῖσι πρῶτον καὶ καρατόμοις] τοῖς ἀπὸ κρατὸς τετμημένοις βοϛρύχοις. Λέγει δ' ἂν χλιδὰς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς. Ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Ἄλλως· καρατόμοις θριξὶν ὤφειλεν εἰπεῖν, ἐπεὶ δὲ αἱ τρίχες ἁβρότητα καὶ καλλωπισμὸν ἐμπαρέχουσιν τοῖς ἀνθρώποις, φησὶ καρατόμοις χλιδαῖς.

54. Τύπωμα] τὸ ἄγγος. Τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀϛέα Ὀρέϛου ἀπέκειτο.

Ib. Ἠρμένοι] ἀντὶ τοῦ ἠρμένον ἔχοντες· ὅμοιον τῷ, πώγωνα καθειμένος, ἀντὶ τοῦ κεχαλασμένον ἔχων.

55. Ὃ καὶ σὺ θάμνοις] θαμνώδη φυτά εἰσι τὰ πρόσγεια, καὶ μὴ εἰς ὕψος αἰρόμενα.

56. Κλέ-

Ὅπως λόγῳ κλέπτοντες *, ἡδεῖαν φάτιν
Φέροιμεν αὐτοῖς, τοὐμὸν ὡς ἔῤῥει δέμας
Φλογιςὸν ἤδη, καὶ κατηνθρακωμένον.
Τί γάρ με λυπεῖ τοῦθ᾽, ὅταν λόγῳ θανὼν,
Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
Δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
Λόγῳ μάτην θνήσκοντας, εἶθ᾽ ὅταν δόμους
Ἔλθωσιν, αὖθις ἐκτετίμηνται πλέον·
Ὡς κἄμ᾽ ἐπαυχῶ τῆςδε τῆς φήμης ἄπο
Δεδορκότ᾽ ἐχθροῖς ἄςρον ὡς, λάμψειν ἔτι.
Ἀλλ᾽, ὦ πατρῴα γῆ, θεοί τ᾽ ἐγχώριοι,
Δέξασθέ μ᾽ εὐτυχοῦντα ταῖςδε ταῖς ὁδοῖς,
Σύ τ᾽, ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
Δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος.
Καὶ μή μ᾽ ἄτιμον τῆςδ᾽ ἀποςείλητε γῆς,
Ἀλλ᾽ ἀρχέπλουτον, καὶ καταςάτην δόμων.

* Turn. in marg. θνήσκοντες.

56. Κλέπτοντες] ἀπατῶντες. Παραλογιζόμενοι. Ὅμηρος·—" Κλέπτε νόῳ".

62. Ἤδη γὰρ εἶδον] Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανεὶς, περὶ παλιγγενεσίας καὶ τῶν καθ᾽ ᾅδου τινὰ ἐτερατεύετο· Διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν. Ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης ἦν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύθιος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας· εἰς τοῦτο οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς. Ἔνιοι δὲ οἴονται, ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι. Οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. Ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, καὶ μὴ τῶν θαυμαςῶν εἶναι δόξῃ ἐν τραγῳδίᾳ. Καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰπεῖν, καὶ προςκρουςικὸν εἰς τοὺς καθ᾽ ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

65. Ὡς κἄμ᾽] διὰ τὸ μέτρον ἴσως οὕτω γίνεται· ἥρμοζε γὰρ μᾶλλον, ὡς κἀγὼ ἐπαυχῶ, καθὰ πέποιθα καὶ ἐμὲ ζῶντα λάμψειν, τοῖς ἐχθροῖς εἰς τὸ ἑξῆς ὥσπερ ἄςρον, ἀπὸ τῆς φήμης ταύτης.

68. Ταῖςδε ταῖς ὁδοῖς] ἀντὶ τοῦ, ταύτῃ τῇ ὁδῷ, ἤγουν, κατὰ ταύτην τὴν ὁδόν.

Ib. Δέξασθέ μ᾽ εὐτυχοῦντα] ἐπὶ εὐτυχίᾳ με δέξασθε ὥςτε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. Ἢ οὕτως, δέξασθέ με εὐτυχοῦντα καὶ εὐτυχῶς ἐπιχειροῦντα ταύταις ταῖς μηχαναῖς.

71. Καὶ μὴ ἀποςείλητε] ἀντὶ τοῦ ἀποπέμψητε ἐμὲ ἄτιμον, ἤγουν ἄδοξον τῆςδε τῆς γῆς.

72. Ἀρχέπλουτον] ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον.

Ib. Καταςάτην] εὐτρεπιςήν.

Εἴρηκα μὲν νῦν ταῦτα· σοὶ δ' ἤδη γέρων
Τὸ σὸν μελέσθω βάντι φρȣρῆσαι χρέος·
Νὼ δ' ἔξιμεν· καιρὸς γὰρ, ὅςπερ ἀνδράσι
Μέγιςος ἔργȣ παντός ἐς' ἐπιςάτης.

ΗΛΕ. Ἰώ μοι, μοι, δύςτηνος.

ΠΑΙ. Καὶ μὴν θυρῶν ἔδοξα προςπόλων τινὸς
Ὑποςενȣ́σης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡΕ. Ἆρ' ἐςιν ἡ δύςτηνος Ἠλέκτρα; θέλεις
Μείνωμεν αὐτȣ̃, κἀνακȣ́σωμεν γόων;

ΠΑΙ. Ἥκιςα. Μηδὲν, πρόςθεν ἢ τὰ Λοξίȣ
Πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
Πατρὸς χέοντες λȣτρά· ταῦτα γὰρ φέρει
Νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

73. Εἴρηκα μὲν] κατὰ τὸ παρὸν ταῦτα ἱκανὰ δηλονότι· κατὰ ἀπόθεσιν λέγεται, ὡς τὸ, εἶεν· καὶ, ταῦτα μὲν δὴ ταῦτα· καὶ ταῦτα μὲν ȣ̃τως· καὶ εἴρηται λόγος, καὶ τὰ τοιαῦτα.

Ib. Σοὶ δ' ἤδη γέρων] σοὶ δὲ ἀπὸ τȣ̃ νῦν, ὦ γέρον, μελέτω τὸ σὸν, ἤγȣν ὅπερ ἐτάχθης καὶ χρεωςεῖς πληρῶσαι, λέγω τὸ πορευθέντι κατασκοπῆσαι. Καιρὸς γὰρ νῦν ἐςι δηλονότι, ὅς ἐςι τοῖς ἀνδράσι μέγιςος ἐπιςάτης, ἤγȣν ἡγεμὰν ἔργȣ παντός.

75. Νὼ δ' ἔξιμεν] ἐξιέναι βȣ́λονται διὰ τὴν εἴσοδον τȣ̃ χορȣ̃.

Ib. Καιρὸς γὰρ, ὅςπερ] ἐφ' ἑκάςȣ πράγματος τὸ καίριον καὶ χρησιμώτατον, ὁ καιρός ἐςιν· ὅπȣ καὶ τὰ σπȣδαῖα παρὰ καιρὸν γιγνόμενα ȣ̓κ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τȣ̃ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύȣσι περὶ σωφροσύνης διαλέγοιτο.

78. Καὶ μὴν θυρῶν] τὸ ἑξῆς, ἔνδον θυρῶν· θαυμαςῶς δὲ ὁ γέρων ȣ̓κ ἐπιβέβηκε τῷ ἀληθεῖ, ἀλλ' ἀποςῆσαι βȣλόμενος τὸν Ὀρέςην, προςπόλων τινὸς φησίν.

80. Ἆρ' ἐςιν ἡ δύςτηνος] ὑπὸ νεότητος Ὀρέςης παράγεται φιλοπευςεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.

82. Μηδὲν πρόςθεν] ἅμα μὲν εἰς τὸ χρήσιμον συμβȣλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν. Διελύθη γὰρ ἂν τὸ πᾶν ἐξ ἀρχῆς μηνυθέντος Ὀρέςȣ.

83. Πειρώμεθ' ἔρδειν] Ἐρωτήσαντος τȣ̃ Ὀρέςȣ, θέλεις ἵνα καρτερήσωμεν ἐνταῦθα καὶ ἀνακȣ́σωμεν τῶν γόων; ἔφη ὁ παιδαγωγὸς, ἥκιςα· ἀλλὰ χέοντες λȣτρὰ ἐπὶ τὸν τάφον τȣ̃ πατρὸς τȣ̃ σȣ̃ δηλονότι, πειρώμεθα, ἤγȣν σπȣδάσωμεν, μηδὲν ἄλλο πράττειν, ἢ τȣ̃το δηλονότι. Καὶ μετὰ ταῦτα χρὴ ἀρχηγετεῖν, ἤγȣν ἀρχὴν ποιεῖσθαι εἰς τὰ λοιπά.

84. Πατρὸς χέοντες λȣτρὰ] διότι αἱ θυσίαι αἱ πρὸς ἐκεῖνον ἐπὶ καλῷ ἑαυτῶν γενήσεσθαι ἔμελλον, διὰ τȣ̃το λȣτρὰ ταύτας καλεῖ, ὡς καθάρσια τȣ̃ μιάσματος ὃ ἔμελλον κτήσασθαι εἰ Κλυταιμνήςραν καὶ Αἴγισθον ἀνέλοιεν. Μὴ γὰρ ὅτι ȣ̓ δίκαιοι ἦσαν ȣ̃τοι τεθνάναι, ἀλλ' ὅτι πᾶς φόνος μίασμά ἐςιν.

## ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΛΕ. Ὦ φάος ἁγνὸν, καὶ γῆς
Ἰσόμοιρος ἀὴρ, ὥς μοι
Πολλὰς μὲν θρήνων ᾠδὰς,
Πολλὰς δ᾽ ἀντήρεις ᾔσθου
Στέρνων πλαγὰς αἱμασσομένων,
Ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
Τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
Ξυνίσασ᾽ εὐναὶ μογερῶν οἴκων,
Ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ

86. Ὦ φάος ἁγνὸν] ὀλόφυρσις ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις· ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τοῦ πένθους. Τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. Ἐπεὶ δὲ εὐηθές ἐστι πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. Ἰσόμοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ᾽ ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει. Καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνέσταπται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. Οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον, Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν. Ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησὶν, ἵνα τὸ φάος ἁγνὸν ἀντιδιαστέλληται· καὶ γῆς φησὶν ἰσόμοιρος ἀὴρ, ἴσην μοῖραν ἔχων τῇ γῇ· πανταχοῦ γάρ ἐστιν ἀήρ. Ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα. Ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. Τινὲς δὲ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα· ἰσόμοιρος οὖν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς· καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν· τὸ δὲ ἀὴρ τὸ α συνέστειλε διὰ ῥυθμὸν ἢ μέτρον. Ἄλλως· κατὰ τὴν ἴσην ἐναντιότητα ἐστὶν ὁ μὲν ἀὴρ ἰσόμοιρος τῆς γῆς· τὸ δὲ ὕδωρ, τοῦ αἰθέρος· ἔστι γὰρ ὁ μὲν ἀὴρ θερμὸς καὶ ὑγρὸς, ἐξαίρετον ἔχων τὸ ὑγρόν· ἡ δὲ γῆ, ψυχρὰ καὶ ξηρά, ἐξαίρετον ἔχουσα τὸ ξηρόν· καὶ ὁ αἰθὴρ, θερμὸς καὶ ξηρὸς, ἐξαίρετον ἔχων τὸ θερμόν· τὸ δὲ ὕδωρ, ψυχρὸν καὶ ὑγρὸν, ἐξαίρετον ἔχον τὸ ψυχρόν.

87. Ὥς μοι πολλὰς μὲν θρήνων] ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ· τὸ δὲ κατάλληλον οὕτως, ὡς πολλὰς μὲν ᾠδὰς ᾔσθου, πολλὰς δὲ πληγὰς, αἱμασσομένων τῶν στέρνων. τὸ δὲ, πλαγὰς ἀντήρεις, τραγικώτερόν πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι· μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων, οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. Ἢ ἀντήρεις, ἀντιθέτους· ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. Μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ᾽ ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. Ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον.

89. Ἤσθου] ἀντὶ τοῦ ἔμαθες.

90. Αἱμασσομένων] διὰ τούτων ἡ ἐπίτασις. αἱμασσομένων δὲ, αἱματηρῶν γενομένων ὑπὸ τοῦ πλήττεσθαι.

91. Ὁπόταν δνοφερὰ] ὅσα μὲν (φησὶ) διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν. Ὅσα δὲ δι᾽ ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς· λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα.

Ib. Ὑπολειφθῇ] παρέλθῃ.

94. Ὅσα τὸν δύστηνον] κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως· ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διὰ τί θρηνεῖ.

Πατέρ᾽, ὃν κατὰ μὲν βάρβαρον αἶαν
Φοίνιος Ἄρης οὐκ ἐξείνισε.
Μήτηρ δ᾽ ἡ ᾽μὴ, χ᾽ ὠ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
Σχίζȣσι κάρα φονίῳ πελέκει.
Κȣ̓δεὶς τȣ́των οἶκτος ἀπ᾽ ἄλλης
Ἢ ᾽μȣ̃ φέρεται, σȣ̃, πάτερ, ȣ̔́τως
᾽Αδίκως οἰκτρῶς τε θανόντος.
᾽Αλλ᾽ ȣ̓ μὲν δὴ λήξω θρήνων
Στυγερῶν τε γόων, ἔςτ᾽ ἂν
Λεύσσω παμφεγγεῖς ἄςρων
῾Ριπὰς, λεύσσω δὲ τόδ᾽ ἦμαρ, μὴ
Οὐ τεκνολέτειρ᾽ ὥς τις ἀηδὼν,
᾽Επὶ κωκυτῷ τῶνδε πατρῴων
Πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
Ὦ δῶμ᾽ ᾽Αΐδȣ καὶ Περσεφόνης,

95. Ὃν κατὰ μὲν βάρβαρον] παρὰ τὸ ὑπὸ ᾽Αγαμέμνονος ἐν τῇ νεκυίᾳ, Οὔτέ με ἀνάρσιοι ἄνδρες, καὶ τὰ ἑξῆς· πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήςρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικȣ́τȣ καὶ τοσαῦτα διαπραξαμένȣ εἰπεῖν, ὅπως δρῦν ὑλοτόμοι. Τὸ δὲ ὅλον, μήτηρ δὲ ἐμὴ καὶ ὁ συγκαθεύδων αὐτῇ Αἴγισθος ἔσχισαν αὐτὸν κατὰ τὸ κάρα διὰ φονικȣ̃ πελέκεως, καθὰ δρῦν δενδροτόμοι, σχίζȣσι δηλονότι. τὸ μὲν κάρα ἔχει τὸ πρότερον βραχὺ, καὶ τὸ δεύτερον μακρὸν, παίσας κάρα θώϋξε· Τὸ δὲ κρᾶτα, τὸ πρότερον μακρὸν, καὶ τὸ δεύτερον βραχύ.

104. Ἔς᾽ ἂν λεύσσω] ῾Εωςότȣ, ἤγȣν, ἕως ἂν βλέπω τὴν νύκτα. Τȣ̃το δηλοῖ τὸ λεύσσω παμφαεῖς ῥιπὰς ἄςρων, τὸ δὲ σχῆμα περίφρασις· καὶ ἕως ἂν βλέπω ταύτην τὴν ἡμέραν, ȣ̓ λήξω τῶν ςυγερῶν θρήνων καὶ γόων.

107. Οὐ τεκνολέτειρ᾽] Ζῆθος καὶ Κάλαϊς ἦσαν ἀδελφοὶ, καὶ ἔσχον γυναῖκας· ὁ μὲν Ζῆθος, τὴν ᾽Αηδόνα· ὁ δὲ Κάλαϊς, τὴν Χελιδόνα. καὶ ἀμφότεροι ἔσχον ἓν καὶ μόνον τέκνον. Καὶ τὸ μὲν Ζήθȣ καὶ ᾽Αηδόνος τέκνον ὠνομάζετο Ἴτυς. Τὸ δὲ τȣ̃ Καλάϊδος καὶ τῆς Χελιδόνος ὠνομάζετο . . . . ζηλοτυπήσασα ȣ̃ν ἡ ᾽Αηδὼν, ἠθέλησεν ἀνελεῖν τὸ τȣ̃ Καλάϊδος τέκνον. καὶ ἐλθȣ̃σα νυκτὸς θέλȣσα ἀνελεῖν τὸ τȣ̃ Καλάϊδος, καὶ ἀπατηθεῖσα, ἀνεῖλε τὸν Ἴτυν τὸ ἴδιον τέκνον· καὶ διὰ τȣ̃το μέχρι τȣ̃ νῦν θρηνεῖ ἀκαμάτως. Οὕτω τινὲς ἐξηγȣ̃σιν· μὴ ȣ̓, ἀντὶ τȣ̃ ναί· αἱ γὰρ δύο ςερήσεις κατάθεσιν ποιȣ̃σι· ναί. Ὥσπερ τὶς ἀηδὼν τεκνολέτειρα θελήσω προφωνεῖν ἠχὼ ἐπὶ πᾶσι τοῖς παλαιοῖς καὶ νέοις κακοῖς, ἐπὶ κωκυτῷ καὶ θρήνῳ τῶνδε τῶν πατρῴων προθύρων. ῾Η γὰρ μία ςέρησις ἐςὶν ἀναιρετικὴ τῆς ἄλλης.

Ib. Ὣς τις ἀηδὼν] ἣ τὸ ἴδιον τέκνον τὴν Ἴτυν, δι᾽ ἄμυναν τὴν πρὸς τὸν ἄνδρα Τηρέα, μετὰ Φιλομήλας τῆς ἀδελφῆς ὑπ᾽ ἐκείνȣ φθαρείσης, ἀποκτείνασα· τȣ̃το δὲ λέγει, ὡς ȣ̓́τε ἐν ἡμέρᾳ, ȣ̓́τε ἐν νυκτὶ παυσαίμην τῶν θρήνων.

109. ᾽Ηχὼ] ἀντὶ τȣ̃ ἦχον, ὃν οἱ ποιηταὶ ἠχὴν λέγȣσιν· ἠχὼ γὰρ, τῆς φωνῆς ἀντίφθεγμα.

110. Ὦ δῶμ᾽ ᾽Αΐδȣ] διὰ τȣ̃το τὸν Πλȣ́-

Ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρὰ,
Σεμναί τε θεῶν παῖδες Ἐριννύες,
Τοὺς * ἀδίκως θνήσκοντας ὁρᾶτε,
Τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους·
Ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
Φόνον ἡμετέρου·
Καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν·
Μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
Λύπης ἀντίῤῥοπον ἄχθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ παῖ, παῖ, δυστανοτάτας
Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ

* ALD. Αἳ τοὺς.

τωνα καὶ τὴν Περσεφόνην καλεῖ καὶ τὸν ὑποχθόνιον Ἑρμῆν εἰς ἐκδίκησιν τοῦ πατρὸς, διὰ τὸ ἐν ᾅδου κεῖσθαι αὐτόν. Ἀρὰν δὲ λέγει ἣν καθ' ἑκάστην κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου πρὸς τοὺς θεοὺς ἐποίησεν, ἣν ὡς δικαίως πεμπομένην πότνιαν ὀνομάζει. Τάς γε μὴν Ἐριννύας ἆρ' οὐκ ἂν εἴποις ὡς διὰ τοῦτο ἐπιβοᾶται ὡς τοὺς φονεῖς καὶ κακούργους τιμωρουμένας.

111. Ὦ χθόνι'] Ἡ πρὸς ἑαυτὴν ταῦτα διαλέγεται ὡς μεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας καλεῖ τούτους τῶν θρήνων.

112. Σεμναί τε θεῶν] εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες.

113. Τοὺς ἀδίκως] οἱ γράφοντες αἳ τοὺς ἀδίκως θνήσκοντας, ἀμαθεῖς τῶν μέτρων. διὸ περισσὸν τὸ αἳ ἐξεβλήθη παρ' ἐμοῦ.

118. Σωκῶ] ἀντὶ τοῦ ἰσχύω. οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω.

Ib. Μούνη γὰρ ἄγειν] οὕτω τοῦτο λέγε, Οὐκ ἔτι μόνη δύναμαι φέρειν τὸ ἄχθος τῆς λύπης. Ποταπόν; ἀντίῤῥοπον καὶ ἴσον. Τοῦτ' ἔστιν, οὐκ ἐξισοῦται τῇ ἐμῇ δυνάμει ἡ λύπη, ἵνα καὶ φέρω αὐτήν· ἀλλὰ μείζων ἐστὶ, καὶ ὑπὲρ τὴν ἐμὴν δύναμιν.

119. Ἀντίῤῥοπον] ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι. Ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ἀντίῤῥοπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν.

120. Ὦ παῖ, παῖ] πάροδός ἐστι χοροῦ γυναικῶν τῇ Ἠλέκτρᾳ συναχθομένων.

Ib. Δυστανοτάτας] τῆς ἐξωλεστάτης· οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος.

121. Τίν' ἀεὶ τάκεις] δέον οὕτω λέγειν, τίν' ἀκόρεστον οἰμωγὴν ἔχεις, τήκεις εἶπεν. Εἰκότως· τὸ γὰρ θρηνεῖν ἀεὶ καὶ λυπεῖσθαι, τῆξιν κατὰ μικρὸν καὶ δαπάνην τοῦ σώματος ἐργάζεται. Ἐπεὶ καὶ τὸ τῆς λύπης ὄνομα οὐχ ἕτερόν ἐστιν ἀλλ' ἢ τοῦ πίου καὶ τοῦ λιπαροῦ λύσις. Μὴ λάβῃς δὲ ἔξωθεν τὸ διὰ εἰς τὸν Ἀγαμέμνονα, ὥσπερ ἅπαντες, σχεδὸν εἰπεῖν, ὑπ' ἀγνοίας γράφουσιν· ἀλλ' οὕτω λέγε, τίνα ἀκόρεστον οἰμωγὴν τήκεις· εἶτα ἑρμηνεύων τὴν οἰμωγὴν, ἥτις ἐστί, φησι, τὸν Ἀγαμέμνονα τὸν πάλαι κρατηθέντα ἐν ἀπάταις, καὶ τῆς δολερᾶς καὶ ἀθεωτάτης σῆς μητρὸς πρόδοτον, καὶ προδεδομένον κακῇ καὶ φονικῇ χειρί. Ὅμοιον δὲ καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις λέγει, "Γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος, τὸν ἀμφιτειχῆ λεών." Καὶ γὰρ δὴ καὶ

ἐνταῦθα

Τάκεις ὧδ᾽ ἀκόρεστον οἰμωγὰν,
Τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
Ματρὸς ἁλόντ᾽ ἀπάταις Ἀγαμέμνονα,
Κακᾷ τε χερὶ πρόδοτον;
Ὡς ὁ ταδὶ πορὼν
Ὄλοιτ᾽, εἴ μοι θέμις τάδ᾽ αὐδᾶν.

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ὦ γένεθλα γενναίων * πατέρων,
Ἥκετ᾽ ἐμῶν καμάτων παραμύθιον.
Οἶδά τε καὶ ξυνίημι τάδ᾽, οὔτι με
Φυγγάνει, οὐδὲ θέλω προλιπεῖν τόγε,
Μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ᾽ ἄθλιον.
Ἀλλ᾽, ὦ παντοίας
Φιλότητος ἀμειβόμεναι χάριν,

* Turn. in marg. τοκέων.

ἐνταῦθα διὰ εἰς τὸ τὸν ἀμφιτειχῆ τιθέασιν. Εὑρήσεις δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσι τῶν ποιητῶν τοιαῦτα ἐξετάζων.

122. Ἀκόρεστον] ἀντὶ τοῦ ἀκορέστως.

124. Ματρὸς ἁλόντα] λίαν αἰδήμων ὁ χορὸς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν. Καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασι καταλέγειν ἄλλης γυναικός. Καὶ τὸ, Εἴ μοι θέμις τάδ᾽ αὐδᾶν, λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν· ἐπεὶ κατ᾽ ἀρχόντων ἦν ὁ λόγος. Ἢ, ἐπεὶ δοκεῖ δυσφημεῖν, φησὶν, εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι.

128. Ὦ γένεθλα γενναίων] Ὦ γενέα εὐγενῶν πατέρων· ἤγουν, ὦ θυγατέρες εὐγενῶν πατέρων. Ἤλθετε παραμύθιον τῶν ἐμῶν κακοπαθειῶν, οἶδα καὶ νοῶ τάδε. Ἤγουν, ὅτι ἕνεκα παραμυθίας ἥκετε, οὔ τι με ἐκφεύγει· ἀλλ᾽ ὅμως, οὐ θέλω καταλεῖψαι τόδε τὸ θρηνεῖν. Ἆρα οὐκ ἔξεστί μοι στοναχεῖν τὸν ἐμὸν ἄθλιον πατέρα; ἀλλ᾽ ὦ χορεία γυναικῶν ἡ ἀμειβομένη χάριν παντοίας φιλότητος, παρακαλῶ ὑμᾶς, ἐᾶτέ με ὧδε ἀλύειν.

131. Φυγγάνει] ἤγουν διαφεύγει· ἀπὸ τοῦ φεύγω γίνεται, φευγάνω· καὶ, ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ν, εἶτα διὰ τὸ ἐπαγόμενον γ, τροπῇ τούτου εἰς γ, φυγγάνω. Οὕτω γίνεται καὶ τὸ τυγχάνω ἀπὸ τοῦ τεύχω ἀχρήστου, καὶ τὸ ἁνδάνω ἀπὸ τοῦ ἥδω, καὶ τὸ πυνθάνομαι ἀπὸ του πεύθομαι, καὶ τὸ ἐρυγγάνω ἀπὸ τοῦ ἐρεύγομαι, καὶ ἕτερα.

132. Μὴ οὐ τὸν] Ἀντὶ τοῦ, ἆρα οὐκ ἔξεστί μοι, ἀπὸ τῶν ἐκτὸς τοῦτο. Ἆρα οὐκ ἔξεστί μοι στοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον; ἤτοι, μὴ καὶ οὐ αἱ δύο στερήσεις κατάθεσιν ποιοῦσιν. Ἡ γὰρ μία στέρησίς ἐστιν ἀναιρετικὴ τῆς ἄλλης. καὶ διὰ τοῦτο τὸ μὴ καὶ οὐ λαμβάνονται ἀντὶ τοῦ ναί. καὶ ἔστιν ὁ νοῦς τοιοῦτος· οἶδα καὶ συνίημι τάδε. οὔτι με φυγγάνει, οὐδὲ ἐθέλω προλιπεῖν τόδε. ἤγουν, τὸ θρηνεῖν ἀκορέστως. Ἀλλὰ θέλω δηλονότι στοναχεῖν τὸν ἐμὸν πατέρα τὸν ἄθλιον.

Ib. Στοναχεῖν] Στενάχω, καὶ στοναχῶ τὸ αὐτό. Εἰσὶ δὲ καὶ ἀμφότερα ποιητικά.

134. Ἀμειβόμεναι χάριν] καλῶς εἶπε τὸ ἀμειβόμεναι· φίλη γὰρ καὶ αὕτη ἦν τούτων. τῶν φίλων δὲ πρὸς ἀλλήλους ἐστὶν ἡ ἀμοιβή.

135. Ἐᾶτέ

Ἐᾶτέ μ' ὧδ' ἀλύειν·
Αἶ, αἶ, ἱκνȣ̃μαι.

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἀλλ' ȣ̓́τοι τόν γ' ἐξ ἀΐδα
Παγκοίνȣ λίμνας πατέρ' ἀν-
ϛάσεις, ȣ̓́τε γόοισιν *, ȣ̓ λιταῖς.
Ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
Ἄλγος ἀεὶ ϛενάχȣσα διόλλυσαι,
Ἐν οἷς ἀνάλυσίς ἐϛιν
Οὐδεμία κακῶν.
Τί μοι τῶν δυϛφόρων ἐφίῃ;

### ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΗΛΕ. Νήπιος ὅϛτις τῶν οἰκτρῶς
Οἰχομένων γονέων ἐπιλάθεται.

* Ald. γόοις.

135. Ἐᾶτέ μ' ὧδε] τοιȣ̃τοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορȣ́μενοι, παρακαλȣ̃ντες συγχωρεῖσθαι θρηνεῖν.

Ib. Ἀλύειν] ἐν ἄλλοις δυϛφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος,

"Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλή-
"την."

136. Ἱκνȣ̃μαι] ἀντὶ τȣ̃ παρακαλῶ· ἀφικνȣ̃μαι δὲ ἀντὶ τȣ̃ παραγίνομαι, καὶ φθάνω.

137. Ἀλλ' ȣ̓́τοι τόν γ' ἐξ ἀΐδα] Ὅμηρος,

"Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο."

Ib. Ἀλλ' ȣ̓́τοι] Ἀλλ' ȣ̓κ ἀναϛήσεις τὸν σὸν πατέρα ἐκ τῆς λίμνης τȣ̃ ᾅδȣ τȣ̃ παγκοίνȣ, ȣ̓́τε διὰ γόων, ȣ̓́τε διὰ παρακλησιῶν.

139. Οὔτε γόοις, ȣ̓ λιταῖς] ȣ̓́τε ὀδυρομένη, ȣ̓́τε παρακαλȣ̃σα τȣ̀ς θεȣ́ς. Καὶ Αἰσχύλος·

"Μόνος θεῶν γὰρ Θάνατος ȣ̓ δώρων ἐρᾷ·
"Μόνος ȣ̓ δέχεται γλυκερᾶς μέρος ἐλπί-
"δος."

Ib. Οὐ λιταῖς] μὴ γράφε ȣ̓́τε λιτᾶν, ἀλλὰ ȣ̓ λιταῖς· ȣ̔́τω γὰρ ἔχει τὸ κῶλον ὀρθῶς πρὸς τὸ τῆς ϛροφῆς. Οὐδὲν δὲ καινὸν εἰ καὶ τὸ τὲ λείπει· εὕρηται γὰρ πολλὰ τοιαῦτα.

140. Ἐπ' ἀμήχανον] ἤγȣν ἀνίκητον, καὶ ἀθεράπευτον, πρὸς ὃ ȣ̓κ ἔϛι τι μηχανήσασθαι.

142. Ἀνάλυσις] ἤγȣν ἀναπόδοσις, καὶ εἰς τὸ ἀρχαῖον ἐπάνοδος, καλὰ γὰρ ἦν ἐξαρχῆς, εἶτα κακὰ γέγονεν. Εἰ δὲ τὰ κακὰ ἀναλύȣσι, πρὸς τὰ ἀρχαῖα, ἤτοι τὰ κακὰ, ἀναλύȣσι.

144. Ἐφίῃ] ἐπιθυμεῖς· τί μοι (φησὶ) τȣ́των γλίχῃ, ἅπερ ἐϛὶν ȣ̓κ εὐκόλως φέρειν, θρήνȣς καὶ πένθη;

145. Νήπιος] ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ἀπὸ τȣ́τȣ ὁ ἀνόητος.

Ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
Ἃ Ἴτυν, αἰὲν Ἴτυν γ' ὀλοφύρεται
Ὄρνις ἀτυζομένη, Διὸς ἄγγελος.
Ἰὼ παντλάμων
Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,
Ἅτ' ἐν τάφῳ πετραίῳ
Αἶ, αἶ δακρύεις.

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Οὔτοι σοὶ μούνᾳ, τέκνον,
Ἄχος ἐφάνη βροτῶν,
Πρὸς ὅ,τι σὺ τῶν ἔνδον εἶ περισσὰ,
Οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος·

147. Ἄραρε] τὸ ἄραρε καὶ ἡρμόσθη πρὸς δοτικὴν συντασσόμενον, οὐκ ἔχει χώραν ἐνταῦθα πρὸς τὸ ἐμέ· ἀλλὰ δεῖ λαμβάνειν ἔξωθεν εἰς πρόθεσιν. Ὥσπερ γάρ φαμεν τὸ χρεὼ βουλῆς ἐμέ τε καὶ σέ. Δέον γὰρ εἰπεῖν, ἐμοὶ καὶ σοὶ, εἰς ἔξωθεν λαμβάνομεν. Οὕτω καὶ τοῦτο· ἔστι δὲ καθ' ὅλον καὶ μέρος· μέρος γὰρ τὸ φρένας τοῦ ἐμέ· φασὶ δὲ καί τινες τὸ ἄραρεν ἀντὶ τοῦ ἀρέσκει, οὐκ οἶδ' ὅπη ποθ' εὑρόντες ταύτην τὴν σημασίαν· οὓς ἐατέον.

149. Διὸς ἄγγελος] ἤγουν ἡ ἀηδών· διὰ τὸ τὸν ἐπ' αὐτῇ γενόμενον ἔλεον τοῦ Διὸς τοῖς πᾶσιν ὑποδεικνύειν ἢ μαρτυρεῖν αὐτὸν φιλάνθρωπον· ἢ ὡς δι' αὐτῆς ὁ Ζεὺς τὸ ἔαρ ἑρμηνεύει· ἢ διὰ τὸ ἐν ἔαρι κατάρχεσθαι τῆς ᾠδῆς, ὅτε τὰ Διάσια ἐγένετο, ἥ τίς ἐστιν ἑορτὴ τοῦ Διός.

152. Ἐν τάφῳ πετραίῳ] τουτέστιν ἀπολιθωθεῖσα. καὶ Ὅμηρος·

" Ἐν Σιπύλῳ, ὅθι φασὶ Τυφωέος ἔμμεναι
" εὐνάς."

Ib. Ἐν τάφῳ πετραίῳ] Ἤγουν, ἐν τῇ στήλῃ τῇ πετραίᾳ. Τὴν Νιόβην γὰρ μετέβαλεν ὁ Ζεὺς εἰς λίθον δι' αἰτίαν τοιαύτην· τέξασα τέκνα δώδεκα, ἄρσενα ἓξ, καὶ θήλεα τοσαῦτα, ἐκαυχήσατο, λέγουσα ἑαυτὴν εὐδαιμονεστέραν Λητοῦς. Ὅθεν ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, παίδων Λητοῦς, ἐφονεύθησαν ταύτης τῆς Νιόβης τὰ τέκνα. Ἡ δὲ ἰδοῦσα τὸν τοιοῦτον φόνον, ἐθρήνει ἀπαύστως, ὁ δὲ Ζεὺς ᾤκτειρε ταύτην, καὶ εἰς λίθον μετέβαλε· ἡ δὲ καὶ οὕτω μέχρι τοῦ νῦν ὁρᾶται καταδακρυχέουσα.

154. Οὔτοι σοὶ] Οὔτοι καὶ οὐδαμῶς σοὶ μόνῃ τῇ Ἠλέκτρᾳ ἐφάνη ἄχος ἀπὸ τῶν ἀνθρώπων· πρὸς ὃ, ἤγουν πρὸς τὸ ὁποῖον ἄχος, τί καὶ διατὶ σὺ ὑπάρχεις περισσὴ τῶν οὐσῶν ἔνδον; ἤγουν τῆς Χρυσοθέμιδος, καὶ τῆς Ἰφιανάσσης, οἷς ὑπάρχεις ξύναιμος τῇ γονῇ ὁμόθεν. Διαβίβαζε καὶ σὺ αὐτὴ ζωὴν μετὰ παραμυθίας, καθὼς ζῇ ἡ Χρυσόθεμις, καὶ ἡ Ἰφιάνασσα, καὶ ὁ λυπούμενος ἐν τῇ κρυπτῇ ἥβῃ τῆς νεότητος· ἤγουν, ὁ Ὀρέστης.

156. Περισσὰ] πρὸς τὸ ἄχος περισσή· ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν. Περισσῶς (φησὶν) ὀδύρῃ παρὰ τούτους, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις. Ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς· ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι.

157. Οἷς ὁμόθεν] Ἔδει εἰπεῖν, αἷς· ἀλλ' ἐπειδὴ ἔμελλε καὶ τὸν Ὀρέστην συγκαταριθμῆσαι τῇ Χρυσοθήμιδι, καὶ τῇ Ἰφιανάσσῃ διὰ τοῦτο καὶ τὸ, οἷς, εἶπε. Τιμῶν τὸ τοῦ ἀρσενικοῦ ἀξίωμα.

Οἷα Χρυσόθεμις
Ζώει, καὶ Ἰφιάνασσα,
Κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.
ΗΛΕ. Ὄλβιος, ὃν ἁ κλεινὰ
Γᾶ ποτὲ Μυκηναίων
Δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
Βήματι μολόντα τάνδε γᾶν
Ὀρέσαν, ὃν ἔγωγ' ἀκάματα
Προσμένȣσ', ἄτεκνος,
Τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ,
Δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον

158. Οἷα Χρυσόθεμις] τὸ οἷα τινὲς ἀντὶ τȣ̃ καθὰ λέγȣσι, λαμβάνοντες ἔξωθεν τὸ, διὰ τί ȣ̓ ζώεις καὶ σὺ, καθὰ ζῇ ἡ Χρυσόθεμις καὶ Ἰφιάνασσα; ȣ̔̃ τί γένοιτ' ἂν ἀμαθέςερον; ἔχει δὲ ȣ̈́τως· εἰπὼν γὰρ ὁ χορὸς ἄνω, πρὸς ὅπερ ἄχος εἶ καὶ ὑπάρχεις περισσὴ καὶ περισσοτέρας προσκειμένη τῶν ἔνδον, τȣ̃τ' ἔςι πλέον τῶν ἐντὸς τȣ̃ οἴκȣ αὐτὴ ἀθυμεῖς, τȣ̃το εἰπὼν, ἐπειδὴ ἀόριςον ἦν τῶν ἔνδον (πολλοὶ γὰρ ἐντὸς οἷς ȣ̓κ ἔμελε λύπης) ἑρμηνεύων τȣ̃το, διὰ τȣ̃ οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος, ἤγȣν οἷς ἀδελφὴ τυγχάνεις, ἐπάγει τὴν τῶν ἀδελφῶν ἀπαρίθμησιν. Δέον δὲ εἰπεῖν ὧν ἀδελφή ἐςιν ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέςης· ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει, ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ Ὀρέςης· ὁ δὲ πρὸς τὸ Χρυσόθεμις ἐπήγαγε λέγων, οἷα ζώει ἡ Χρυσόθεμις, ἡ Ἰφιάνασσα, καὶ ὁ ἀχέων καὶ λυπȣ́μενος ἐν κρυπτῇ ἥβῃ. Ἤγȣν ὁ λάθρα ἀναςρεφόμενος παρὰ τῷ Στροφίῳ· καὶ διὰ τὸν πατέρα λυπȣ́μενος ὁ Ὀρέςης. Ἰςέον δὲ ὅτι Εὐριπίδης καὶ οἱ ἄλλοι ποιηταὶ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν τὴν αὐτὴν φασι, καὶ Σοφοκλῆς ȣ̓τοσί. Ἀπορȣ̃σι δὲ πῶς Ἰφιανάσσης τῆς Ἰφιγενείας ἐν Ὑπερβορέοις ȣ̓́σης νῦν μνημονεύει. καί φαμεν ὅτι ὥσπερ τὸν Ὀρέςην ἀπόντα λέγει, ȣ̈́τω καὶ ταύτην· ἀπαρίθμησιν γὰρ μόνην ποιεῖται, εἰ καὶ τῶν ἔνδον παρακεκινδυνευμένως εἴρηκεν· ȣ̓δεὶς γὰρ ἔνδον ἀλλ' ἢ ἡ Χρυσόθεμις καὶ ἡ Ἠλέκτρα. Μαρτύριον δὲ τȣ̃ οἷα, ἄλλα τε μυρία, καὶ τὸ παρὰ Αἰσχύλῳ ἐν Πέρσαις· "ἀπαριθμȣ́μενος γὰρ ἐκεῖ τȣ̀ς Ξέρξȣ ςρατηγȣ̀ς φησιν, Οἱ δ' ἐπὶ ναῶν πεζοί τε βάδην Πολέμȣ ςῖφος παρέχοντες. Οἷος Ἄμιςρις, ἠδ' Ἀρταφρένης, καὶ Μεγαβάζης, καὶ τὰ ἑξῆς."

160. Κρυπτᾷ τ' ἀχέων] ἡ μετοχή ἐςι τὸ ἀχέων, ἀντὶ τȣ̃ δυςφορῶν ἐπὶ τῷ κεκρύφθαι· ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπȣ́μενος.

161. Ὄλβιος ὃν] συνυπάγει κἀνταῦθα τὸν λόγον τῷ ὑποτακτικῷ ἄρθρῳ· ὀφείλων γὰρ λέγειν, ὄλβιος ὁ Ὀρέςης, ὃν ἡ κλεινὴ γῆ δέξεται τῶν Μυκηναίων· ὁ δὲ λέγει, ὄλβιος ὅντινα Ὀρέςην ἡ κλεινὴ γῆ τῶν Μυκηναίων δέξεταί ποτε· Εὐπατρίδην ἀντὶ τȣ̃ περιφανῆ μολόντα εἰς τήνδε τὴν γῆν· βήματι εὔφρονι ἀντὶ τȣ̃ πομπῇ ἡδείᾳ τȣ̃ Διός.

164. Βήματι] ἀντὶ τȣ̃ ὁδῷ, πομπῇ.

165. Ἀκάματα] ἀκαμάτως καὶ ἀδιαλείπτως. Λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει· ἢ, ȣ̓ κεκμηκότως.

167. Οἰχνῶ] περιέρχομαι· οἰχνῶ δὲ γέγονεν ἀπὸ τȣ̃ οἴχομαι, παρενθέσει τȣ̃ ν. Μετέπεσε δὲ εἰς τὴν τῶν περισπωμένων συζυγίαν, ὥσπερ καὶ τὸ ἀφικνȣ̃μαι, γενόμενον ἀπὸ τȣ̃ ἵκομαι, παρενθέσει τȣ̃ ν. Ἀπὸ δὲ τȣ̃ οἰχνῶ καὶ ἴχνος, διὰ τȣ̃ ι.

168. Μυδαλέα] διάβροχος τοῖς δάκρυσιν.
Ib. Ἀνήνυτον] ἀτελείωτον.

170. Ὧν

Οἶτον ἔχουσα κακῶν. Ὁ δὲ λάθεται
Ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη· τί γὰρ οὐκ ἐμοὶ
Ἔρχεται ἀγγελίας ἀπατώμενον;
Αἰεὶ μὲν γὰρ ποθεῖ·
Ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.

ΧΟΡ. Θάρσει μοι, θάρσει, τέκνον·
" Ἔστι μέγας ἐν οὐρανῷ
" Ζεύς, ὃς ἐφορᾷ πάντα, καὶ κρατύνει·
" Ὦ, τὸν ὑπεραλγῆ χόλον νέμουσα,
" Μήθ' οἷς ἐχθαίρεις
" Ὑπεράχθεο, μήτ' ἐπιλάθου·
" Χρόνος γὰρ εὐμαρὴς θεός."
Οὔτε γὰρ ὁ τὰν Κρίσαν
Βουνόμαν* ἔχων ἀκτὰν
Παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,

* Turn. in marg. βουνόμον.

170. Ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη] ὧν ἔπαθε παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν· ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.

Ib. Τί γὰρ ἀγγελίας] ἤγουν τί εἶδος ἀγγελίας οὐκ ἔρχεται ἐμοὶ ἀπατώμενον; ἤγουν ἀπάτην ἔχον, τουτέστι ψευδές.

171. Ἀγγελίας ἀπατώμενον] οὐχ ἡ ἀγγελία ἠπατᾶτο, ἀλλ' ἀπὸ ταύτης Ἠλέκτρα. Διὰ τί οὖν πρὸς τὴν ἀγγελίαν τὸ ἀπατώμενον λέγει; καὶ φαμὲν, ὅτι ἀπὸ τοῦ πάσχοντος τὸ ποιοῦν· ἡ ἀγγελία μὲν γὰρ τὴν ἀπάτην ἐποίει, αὐτὴ δὲ ἔπασχεν. ἄλλως τε δέον ἀπατωμένῃ ἐμοὶ εἰπεῖν, πρὸς τὸ τί εἴρηκεν· ἡ γὰρ ψευδὴς καὶ ματαία ἀγγελία ἀπατωμένη, ὥσπερ ἐστι πάσχουσα τὴν ἀπάτην ἀπὸ τοῦ ταῦτα μηνύοντος, ἐν αὐτῷ τῷ ψευδῶς μηνύεσθαι.

172. Αἰεὶ μὲν γὰρ ποθεῖ] ποθεῖ δὲ, οὐκ ἀξιοῖ. τὸ σχῆμα τοῦτο καλεῖται κλιμακωτόν.

174. Θάρσει μοι] Μεγαλοπρεπὴς ὁ λόγος καὶ ἠθικός· καὶ ἡ συμβουλὴ γνωστικὴ καὶ χρήσιμος.

177. Ὦ, τὸν ὑπεραλγῆ χόλον] ὦ τινι τῷ Διὶ τὸν ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς· μήτε ἐπιλάθου αὐτῶν, ἀλλὰ μέμνησο μὲν αὐτῶν· γενναίως δὲ φέρε· ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας.

178. Μήθ' οἷς ἐχθαίρεις] Μή τε τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ ὑπεράχθου, οἷς ἐχθαίρεις, μήτε ἐπιλάθου.

180. Χρόνος γὰρ εὐμαρὴς] ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται ἐνίοτε δὲ οὐ μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης. Ἢ εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους.

181. Κρίσαν] Φωκικήν· κρίσα γὰρ πόλις Φωκίδος· τὴν αὐτὴν τὴν Κρίσαν, ἀντὶ κτητικοῦ, τουτέστι τῆς Κρίσσης.

182. Βουνόμαν] βοῶν θρεπτικήν.

183. Ἀπερίτροπος] ἀνεπίστροφος, ἀνεπέλευστος· ἔνθεν καὶ τὸ περιτροπέων ἐνιαυτός· ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, οὔτε Ὀρέστης ἀπερίτροπος· ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός. Ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται.

Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
ΗΛΕ. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
Ἀπολέλοιπεν ἤδη
Βίοτος ἀνέλπιςος,
Οὐδ' ἔτ' ἀρκῶ·
Ἅτις ἄνευ τοκέων κατατάκομαι,
Ἇς φίλος ȣ̓́τις ἀνὴρ ὑπερίςαται.
Ἀλλ', ἅπερ εἴτις ἔποικος, ἀναξία
Οἰκονομῶ θαλάμȣς πατρὸς, ὧδε μὲν
Ἀεικεῖ σὺν ςολᾷ,
Κεναῖς δ' ἐφίςαμαι τραπέζαις.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Οἰκτρὰ μὲν νόςοις αὐδὰ,
Οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις,
Ὅτε σοὶ παγχάλκων ἀνταία

θήσονται. Καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τȣ͂ ἀδίκως ἀνῃρημένȣ προσδόκα· τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέςȣ, ἀνεπλεύςος, ἐπὶ δὲ τȣ͂ Πλȣ́τωνος, ἀνεπίςροφος τȣ͂ τȣ̀ς ἐχθρȣ̀ς μετελθεῖν· πολλάκις γὰρ τὸ κατὰ κοινȣ͂ λαμβανόμενον, διαφόρως νοεῖται. Καὶ Ὅμηρος·

"Ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμȣ
"ἀρίςω."

Τὸ ἑλέτην κατὰ κοινȣ͂ ἐςὶν, ἀλλ' ἐπὶ μὲν τȣ͂ δίφρȣ, ἀντὶ τȣ͂ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τȣ͂ ἐφόνευσαν.

184. Οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα] ȣ̓́τε ὁ ᾅδης ἀνεπίςροφος· ἀπὸ κοινȣ͂ γὰρ τὸ ἀπερίτροπος τȣ͂ τȣ̀ς ἐχθρȣ̀ς μετελθεῖν· ἀλλ' ἔχει ἐπιςροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται. Ἄλλως· παρὰ ἀντὶ τῆς κατὰ, καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει αὕτη ἡ σύνταξις τῆς παρὰ προθέσεως.

185. Ἀλλ' ἐμὲ μὲν ὁ πολὺς] οἷον, τὸ πλεῖςον τȣ͂ βίȣ ἐβίωσα ἐν κακοῖς καὶ ὁ πλείαν με (φησὶ) βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην. Ἐπεὶ μέχρι νῦν ȣ̓δὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται.

190. Ἇς φίλος ȣ̓́τις ἀνὴρ] ἤτοι, ἧς φίλος ȣ̓δεὶς προΐςαται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβȣ́μενοι. Ἢ ἐκεῖνο, Ἀνδρὸς κακῶς πράσσοντος ἐκ ποδῶν φίλοι.

191. Ἔποικος] ἀντὶ τȣ͂ μέτοικος.

Ib. Ἀναξία] ἀξίαν ȣ̓κ ἔχȣσα, ἀλλὰ ἄτιμος.

192. Οἰκονομῶ] ἀντὶ τȣ͂ διαιτῶμαι τȣ̀ς πατρῴȣς οἴκȣς.

Ib. Ὧδε μὲν ἀεικεῖ] δεικτικῶς τὸ ὧδε· ἐλεεινὸν δὲ τὸ τοιȣ͂τον, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν· ἀεικεῖ δὲ ἀντὶ τȣ͂ αἰσχρᾷ, ἀπρεπεῖ· παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ καθήκειν.

195. Οἰκτρὰ μὲν νόςοις αὐδὰ] ἡ ἀγγελία ἡ περὶ τȣ͂ νόςȣ τȣ͂ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. Ἀπὸ κοινȣ͂ δὲ τὸ, αὐδά. Οἰκτρά σοι ȣ͂ν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλȣσα περὶ τȣ͂ νόςȣ τȣ͂ πατρός. Οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτȣ͂· οἷον, οἰκτρὰ πέπονθας καὶ ὅτε ἤκȣσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβȣλευθήσεται· οἰκτρὰ δὲ, ὅτι καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀνῃρέθη.

197. Ὅτε σοὶ] τὸ σοὶ ἐνταῦθα ȣ̓κ ἔςιν ἀργόν.

Γενύων ὡρμάθη πλαγὰ,
Δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
Δεινὰν δεινῶς προφυτεύσαντες
Μορφὰν, εἴτ' ἔν θεὸς, εἴτε βροτῶν
Ἦν ὁ ταῦτα πράσσων.

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ὦ πασᾶν κείνα πλέον ἀμέ-
ρ' ἐλθἔσ' ἐχθίςα δή μοι·
Ὦ νὺξ, ὦ δείπνων ἀῤῥήτων
Ἔκπαγλ' ἄχθη·
Τὲς ἐμὸς εἶδε πατὴρ
Θανάτες ἀεικεῖς διδύμαιν χεροῖν,
Αἳ τὸν ἐμὸν εἷλον βίον
Πρόδοτον, αἵ μ' ἀπώλεσαν·
Οἷς ὁ μέγας θεὸς * Ὀλύμπιος

* Ald. θεὸς ὁ μέγας.

γόν. Ἀλλ' ἐπειδὴ ἡ τῦ πατρὸς αὐτῆς πληγὴ πρότερον ἑτέρων ὑπ' αὐτῆς ἐλογίσθη, διὰ τῦτο τὸ σοὶ λέγει.

Ib. Ἀνταία γεννύων] ὅτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐςι πελέκεων· γένυς γὰρ εἶδος πελέκεος.

201. Εἴτ' ἔν] Ἀπορηματικὸς ὁ λόγος· ἐχ ὡς τινές φασιν ἐν ἀρᾶς σχήματι.

205. Ὦ νὺξ] Ὦ ἔκπληκτα ἄχθη τῶν ἀῤῥήτων δείπνων, καθ' ἃς δείπνες ὁ ἐμὸς πατὴρ εἶδε θανάτες ἀεικεῖς, διὰ διδύμαιν χειρῶν. Ἤγεν, τῦ Αἰγίσθε, καὶ τῆς Κλυταιμνήςρας.

206. Ἔκπαγλ' ἄχθη] τὸ ἄχθη καὶ τὸ θανάτες ταὐτόν ἐςιν· εἰπῦσα γὰρ, ὦ ἔκπαγλ' ἄχθη, ἐπήγαγε τὸ, Ἐμὸς εἶδεν πατὴρ θανάτες ἀεικεῖς· εἰ καὶ τὸ ἄχθη κλητική ἐςιν· τὸ δὲ θανάτες, αἰτιατική· τὸ μὲν πρὸς τὸ ὦ συντασσόμενον· τὸ δὲ θανάτες, πρὸς τὸ εἶδεν. Ἔςι δὲ τῦτο ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὁ δ' εἴληχεν τύχην, Θανόντες ἂν πρὐκείμεθ' ἐχθίςῳ μόρῳ. Μὴ λάβῃς δὲ τὸ διδύμαιν ἀντὶ δοτικῆς, ἵνα καὶ ἐν ἔξωθεν λάβῃς, ἀλλ' ἀντὶ γενικῆς ὕτω θανάτες διδύμων ἐχθρῶν, ἤγεν ὃς αἱ διπλαῖ χεῖρες εἰργάσαντο Κλυταιμνήςρας ἢ Αἰγίσθε.

207. Τὲς ἐμὸς εἶδε] ὤφειλεν εἰπεῖν πρὸς τὸ ἔκπαγλα ἄχθη, ἃ ὁ ἐμὸς εἶδε πατήρ· ὁ δὲ, πρὸς τὸ σημαινόμενον ἀποδὲς, λέγει, ὃς θανάτες ἀπρεπεῖς εἶδεν ὁ ἐμὸς πατὴρ ἀπὸ διδύμαιν χεροῖν.

208. Διδύμαιν χεροῖν] τῆς Κλυταιμνήςρας καὶ τῦ Αἰγίσθε.

209. Τὸν ἐμὸν βίον] Ἤγεν, τὴν ἐμὴν ζωὴν εἷλον πρόδοτον. Ἀντὶ τῦ ἀνεῖλον. Τυτέςι, φθορᾷ ἐποίησαν ἔκδοτον.

Ib. Αἳ τὸν ἐμὸν εἷλον βίον] πάνυ περιπαθῶς, αἵτινες χεῖρες αἱ ἀνελῦσαι τὸν Αγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδωκαν τοῖς ἐχθροῖς.

211. Οἷς θεὸς] ἀπὸ τῶν χειρῶν μεταβαίνει ἐπὶ τὲς ἐργαζομένες ταῖς χερσί.

Ποίνιμα πάθεα παθεῖν πόροι.
Μηδέ ποτ' ἀγλαΐας ἀποναίατο,
Τοιάδ' ἀνύσαντες ἔργα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Φράζε· μὴ πόρσω φωνεῖν·
Οὐ γνώμαν ἴσχεις ἐξ οἵων
Τὰ παρόντ', οἰκείας εἰς ἄτας
Ἐπιπίπτεις * οὕτως ἀεικῶς;
Πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
Ψυχᾷ πολέμους· τὰ δὲ, τοῖς δυνατοῖς
Οὐκ ἐριστὰ πλάθειν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ἐν δεινοῖς ἠναγκάσθην δή †.

* Aldus, Ἐμπίπτεις. † Aldus, ἠναγκάσθην, ἐν δεινοῖς.

212. Ποίνιμα] ποινῆς ἄξια· ποίνη δὲ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων. Ὅμηρος·
" Ποινὴν οὐ παιδὸς ἐδέξατο τεθνειῶτος".
Καὶ,
Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ'
" ἀποτίσας",
" Τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς
" ἀγήνωρ,
" Ποινὴν δεξαμένῳ."—

213. Ἀποναίατο] Ὀνάω, ὀνῶ, ὄνημι, ὄναμαι, εὐκτικὸν ὀναίμην, ὄναιο, ὄναιτο· τὸ τρίτον τῶν πληθυντικῶν ὄναιντο· καὶ Ἰωνικῶς, ὀναίατο.

215. Φράζου· μὴ πόρσω φωνεῖ] ὁ χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν.

Ib. Μὴ πόρσω φωνεῖν] ἤγουν ἐκτὸς τοῦ δέοντος· δεῖ γὰρ σιγᾷν, μὴ κατὰ τῶν δυνατωτέρων θρασυστομεῖν.

216. Οὐ γνώμαν ἴσχεις] οὐ νοεῖς, οὐ γινώσκεις (φησὶν) ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας;

217. Οἰκείας] ἤτοι τὰς συγγενικάς· ἢ ἀπὸ σοῦ ἰσομένας, καὶ οὐκ ἀλλαχόθεν.

220. Σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ] σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή· ὡς ἐν ἀτιμίαις αὐτῆς οὔσης. Ἄλλως· πολὺ ἐκτήσω τὸ πλῆθος τῶν κακῶν, διὰ τῆς σῆς δυσθύμου ψυχῆς τίκτουσα ἀεὶ ταραχὰς καὶ ἔριδας. Δύσθυμος δὲ, σκληρὸς, βαρύθυμος· ᾧ ἐναντίον ὁ εὔθυμος.

221. Τὰ δὲ, τοῖς δυνατοῖς οὐκ ἐριστὰ] τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν· ἀντὶ τοῦ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. Καὶ ἄλλως· ταῦτα δὲ ἃ πράττεις, οὐκ ἐριστὰ τοῖς κρατοῦσιν ἐστί. Τουτέστι, περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον. Ἐριστὴς δὲ, ὁ φιλόνεικος· Ἐριστικὸς δὲ, ὁ ἐπιτηδειότατα ἔχων εἰς τὸ ἐρίζειν· ὥσπερ φιλικὸς, ὁ ἐπιτήδειος ἐς φιλίαν. Ἐριστὸν δὲ, τὸ ἀξίαν ἔχον τὴν ἔριν. Ὥσπερ παικτὸν παίγνιον, τὸ ἄξιον παίζεσθαι, καὶ παικτὴ παιδιὰ, ἡ ἀξία παίζεσθαι.

223. Ἐν δεινοῖς] οὐ χρὴ γράφειν, ἐν δεινοῖς ἠναγκάσθην ἐνδεινοῖς· περισσὸν γάρ ἐστι πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον, ἀλλ' ἐν δεινοῖς ἠναγκάσθην

Ἔξοιδ᾽· οὐ λάθει μ᾽ ὀργά.
Ἀλλ᾽ ἐν γὰρ δεινοῖς οὐ σχήσω
Ταύτας ἄτας,
Ὄφρα μ᾽ ἔχῃ βίοτος *.
Τίνι γάρ ποτ᾽ ἂν, ὦ φίλα † γενέθλα,
Πρόςφορον ἀκοῦσαί μ᾽ ἔπος;
Τίνι φρονοῦντι καίρια;
Ἄνετέ μ᾽, ἄνετε παράγοροι·
Ταῦτα γὰρ ἄλυτα κεκλήσεται.
Οὐδέποτ᾽ ἐκ καμάτων ἀποπαύσομαι,
Ἀνάριθμος ὧδε θρήνων.

## ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡ. Ἀλλ᾽ οὖν εὐνοίᾳ γ᾽ αὐδῶ,
Μάτηρ ὡσεί τις πιστὰ,

* ALDUS, Ὄφρα με βίος ἔχῃ. † ALDUS, φιλία.

ἠναγκάσθην δή· δίμετρον γὰρ ὀφείλει εἶναι καὶ τοῦτο ὥσπερ ἐκεῖνο.

224. Ἔξοιδ᾽· οὐ λάθει μ᾽ ὄργα] τοῦτο ἔπος (φησὶν) οὐ λανθάνει με, ἀλλ᾽ οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον, διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν, ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι.

225. Ἀλλ᾽ ἐν γὰρ] ἴστεον ὅτι τὸ ἀλλὰ μετὰ τοῦ γὰρ συντιθέμενον, ποτὲ μὲν ἀργὸν ἔχει τὸ γὰρ, ποτὲ δὲ ἀμφότερά εἰσιν ἐνεργά. Ὡς καὶ ἐνταῦθα, τὸ μὲν ἀλλὰ πρὸς τὸ οὐ σχήσω συντασσόμενον· τὸ δὲ γὰρ διὰ μέσου τιθέμενον, λαμβανομένου ἔξωθεν τοῦ εἰμί· γίνεται δὲ τοῦτο, ὅταν μεταξὺ τοῦ ἀλλὰ καὶ τοῦ γὰρ συλλαβὴ ἢ λέξις εὑρεθῇ. Εἰ δὲ οὕτω τῷ ἀλλὰ τὸ γὰρ πλησιάζει ὡς μὴ μεσολαβεῖν μηδοτιοῦν, ἀργόν ἐστι παντελῶς τὸ γάρ.

228. Τίνι γάρ ποτ᾽] παρὰ τίνος γὰρ ἂν ἀκούσαιμι τὰ συμφέροντα, ἢ παρ᾽ ὑμῶν τῶν συνοίκων; ὥστε μὴ συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων· οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας.

231. Ἄνετέ μ᾽] τὸ ἄνετε οὐ φυσικῶς ἔχει τὸ α μακρὸν, ἀλλ᾽ ἐξ ἀνάγκης καὶ ποιητικῇ ἀδείᾳ γίνεται· οὗτοι γὰρ, τριῶν ἐφεξῆς κειμένων βραχέων, μακρὸν ἐξ ἀνάγκης τὸ α ποιοῦσι διὰ τὰ μέτρα· ὡς οὖν τὸ ἀθάνατος εὕρηται ἀεὶ τὸ α ἔχον μακρὸν, καὶ τὸ ἀκάματος καὶ ἀπάλαμος, οὕτω καὶ τὸ ἄνετε ἐνταῦθα. Οὕτω γὰρ καὶ σύμφωνα πλεονάζουσιν, ἵνα μακρὸν τὸ προηγούμενον φωνῆεν ποιήσωσιν, ὡς καὶ εἰς τὸ γενέθλα γέγονε· καὶ εἴπου δύω σύμφωνα εἴη, τὸ ἓν ἀφαιροῦσιν, ἵνα βραχὺ γένηται τὸ φωνῆεν· καὶ εὑρήσεις τοῦτο πολλαχοῦ.

232. Ταῦτα γὰρ ἄλυτα] τὸ θρηνεῖν τὸν πατέρα, ἄλυτόν μοι ἐστίν· ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ᾽ ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι.

234. Ἀνάριθμος ὧδε θρήνων] ἐν τισι κεῖται ἀνάνομος· οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς· κεῖται δὲ καὶ ἀνήριθμος, καὶ ἔστιν ὁ λόγος, οὐκ ἔσομαι ἀνήριθμος θρήνων, ἀλλ᾽ ἐν θρήνοις ἀριθμήσομαι. Ἢ οὕτως, ἀνάριθμος, οἷον οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ δαψιλέσι χρωμένη αὐτοῖς.

Μὴ τίκτειν σ᾽ ἄταν ἄταις.
ΗΛΕ. Καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
Πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
Ἐν τίνι τȣ̃τ᾽ ἔϐλας᾽ ἀνθρώπων;
Μήτ᾽ εἴην ἔντιμος τȣ́τοις·
Μήτ᾽, εἴτῳ πρόσκειμαι χρηςῷ,
Ξυνναίοιμ᾽ εὔκηλος, γονέων
Ἐκτίμȣς ἴσχȣσα πτέρυγας
Ὀξυτόνων γόων.
Εἰ γὰρ ὁ μὲν θανὼν
Γᾶ τε καὶ ȣ̓δὲν ὤν,
Κείσεται τάλας·
Οἱ δὲ μὴ πάλιν
Δώσȣσ᾽ ἀντιφόνȣς δίκας,
Ἔῤῥοι τ᾽ ἂν αἰδὼς, ἁπάντων

238. Καὶ τί μέτρον] ἔχει τόδε τὸ κακὸν, ὥςτε μετρίως θρηνεῖν· πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων.

Ib. Κακότητος] τῆς συνεχȣ́σης με.

241. Μήτ᾽ εἴην] Ἀντιςρόφως τȣ̃το λέγεται· ἤγȣν, μὴ εἴη μοι ταῦτα διὰ τιμῆς· τὸ δὲ πᾶν· μήτε εἴη μοι ταῦτα διὰ τιμῆς· ἤγȣν τὸ ἀμελῶς διακεῖσθαι δηλονότι ἐπὶ τοῖς ἐπιθανȣ̃σι. Μήτε, εἴ τινι χρηςῷ πρόσκειμαι, ξυνναίοιμι, ἤγȣν συνοικοίην τȣ́τῳ δηλονότι εὔκηλος, τȣτέςιν ἥσυχος, ἔχȣσα πτέρυγας γόων ὀξυτόνων, ἀντὶ τȣ̃, γόȣς ὑψηλοφώνȣς, ἐκτίμȣς τῶν γονέων, ἤτοι ἀφιςαμένȣς τῆς τιμῆς τῶν γονέων.

Ib. Τȣ́τοις] Τοῖς ἀνθρώποις, τοῖς ἀμελȣ̃σι δηλονότι τῶν οἰκείων ἀποθανόντων· καὶ ταῦτα τοιȣ́τῳ τρόπῳ, καὶ πικρῷ τέλει παραλόγως καὶ ἀδίκως φθαρέντων. Μήτε εὔκηλος καὶ ἀμνήμων τῶν ἐμῶν γονέων εἴην εἴθε, εἰ πρόσκειμαι καί τινι χρηςῷ φίλῳ δηλονότι ὅπȣ ȣ̓δὲ φίλῳ χρηςῷ πρόσκειμαι· ἀλλὰ μᾶλλον ἐχθροῖς, Αἰγίσθῳ καὶ Κλυταιμνήςρᾳ· μήτε ἔχȣσα ἀτίμȣς πτέρυγας, ἤγȣν κινέσεις θρήνων μεγαλοφώνων, εἴθε συγκατοικοίην τοιȣ́τοις ἀνθρώποις, ἐν οἷς μνήμη γονέων ȣ̓κ ἔςι δηλονότι, ἔχȣσα καὶ ἐγὼ αὐτὴ ἀτίμȣς πτέρυγας ὀξυτόνων γόων.

243. Γονέων] τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχȣσα ἐκτίμȣς, ἀντὶ τȣ̃ ἐκτὸς τιμῆς. Ἀλλ᾽ ἐν τῷ τιμᾷν τȣ̀ς πατέρας εἴην ἰδία τῶν γονέων. Πτέρυγας δὲ ὀξυτόνων γόων εἴρηκε, διὰ τὸ ταχύ. Ἅμα μὲν γὰρ τῇ μνήμῃ καὶ ὀδυρμὸς, ȣ̓δενὸς τȣ̃ μεταξὺ ὄντος. Ὀξυγόȣς δὲ, διὰ τὸ σφοδρόν. Καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τȣτέςιν εἰς ἄκρον ἐλθεῖν.

244. Ἴσχȣσα] εἰκότως τὰς πτέρυγας εἶπεν ἐπὶ τῶν γόων· δίκην γὰρ πτερῶν ἄνω πρὸς ὕψος φέρονται. Ἡ δὲ σύνταξις, ἴσχȣσα εὔκηλος καὶ ἥσυχος πτέρυγας γόων ὀξυτόνων, ἐκτίμȣς καὶ ἀτίμȣς τῶν γονέων· δέον δὲ εὐκήλως εἰπεῖν, εὔκηλος εἶπε πρὸς τὸ ἴσχȣσα.

249. Πάλιν δώσȣσιν] ἀντὶ τȣ̃ ἀνταποδώσȣσιν, ἀντιςαθμήσȣσι τȣ̃ φόνȣ.

251. Ἔῤῥοι τ᾽ ἂν αἰδὼς] φθαρείη ἡ παρὰ τῶν ἀνθρώπων πρὸς θεȣ̀ς εὐσέβεια καὶ αἰδὼς·

νομίζȣσι

τ᾽ εὐσέβεια θνητῶν.

## ΙΑΜΒΟΙ.

ΧΟΡ. Ἐγὼ μὲν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ᾽ ἅμα,
Καὶ τοὐμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
Λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ᾽ ἅμα.
ΗΛΕ. Αἰσχύνομαι μὲν, ὦ γυναῖκες, εἰ δοκῶ
Πολλοῖσι θρήνοις δυςφορεῖν ὑμῖν ἄγαν.
Ἀλλ᾽ (ἡ βία γὰρ ταῦτ᾽ ἀναγκάζει με δρᾷν)
Σύγγνωτε· πῶς γὰρ ἥτις εὐγενὴς γυνὴ,
Πατρῷ᾽ ὁρῶσα πήματ᾽, οὐ δρῴη τάδ᾽ ἂν,
Ἃ ᾽γὼ κατ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ἀεὶ
Θάλλοντα μᾶλλον ἢ καταφθίνονθ᾽ ὁρῶ.
Ἣ, πρῶτα μὲν τὰ μητρὸς, ἥ μ᾽ ἐγείνατο,

νομίζουσι γὰρ οὐκ εἶναι θεοὺς, μὴ τῆς κακίας κολαζομένης.

253. Καὶ τὸ σὸν σπεύδουσ᾽] ἤγουν ἵνα μὴ κατὰ σοῦ τοὺς ἐχθροὺς κινήσῃς τῷ συνεχεῖ θρήνῳ, καὶ ταῖς πρὸς αὐτοὺς λοιδορίαις. Καὶ τοὐμὸν, ἵνα μὴ ἄφιλος δόξω ἐν τοιούτῳ καιρῷ, μὴ πρὸς παραμυθίαν σοῦ χωρήσασα.

254. Εἰ δὲ μὴ] Εἰ δὲ μὴ καλῶς δοκῶ λέγειν, νικάτω τὸ σὸν θέλημα· σοὶ γὰρ ἀκολουθήσομεν ὁμοῦ· ἤγουν συνδραμούμεθα γὰρ τῷ σῷ θελήματι.

255. Σὺ νίκα] τὸ σὺ νίκα, πάνυ ἀναγκαίως, ἵν᾽ ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ᾽ ἑαυτὴν παραλήψεται.

256. Αἰσχύνομαι μὲν] αἰδοῦμαι εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν, καὶ ἀπαραμυθήτως ἔχειν.

257. Δυςφορεῖν] ἀγανακτεῖν· τὸ δυςφορεῖν κυρίως ἐπὶ νόσου λέγεται, ᾧ ἐναντίον, τὸ εὐφορεῖν, ὡς παρ᾽ Ἱπποκράτει, Εὐφόρως φορέουσι.

258. Ἀλλ᾽ ἡ βία γὰρ] ἐπείπερ αἱ τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. Λέγει δὲ, Ἀλλὰ σύγγνωτε· ἡ βία γὰρ ἀναγκάζει με δρᾷν ταῦτα.

Ib. Ἀλλ᾽ ἡ βία] τὸ ἀλλὰ πρὸς τὸ σύγγνωτε σύναπτε· τὸ δὲ ἡ βία γὰρ, διὰ μέσου ἐστί· κατασκευὴ γάρ ἐστι, τίνος χάριν αὐτῇ συγγνώσονται.

259. Ἥτις εὐγενὴς γυνὴ] οὐ χρὴ γράφειν τὸ ἥτις· τοιοῦτον γάρ ἐστιν οἷον τὸ ὅ,τι εὑρίσκομεν, ποτὲ μὲν τοῦ ὃ τὴν δύναμιν ἔχοντος, ποτὲ δὲ τοῦ τις· καὶ οἷον τὸ ὅντινα, καὶ ἥντινα, καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προείρηται, εἰς τὸ, Οὐκοῦν ἂν εἴποις ἥντιν᾽ αἰτίαν προςθείς· κἀνταῦθα οὖν τὸ τις μόνον ἔχει τὴν δύναμιν.

260. Οὐ δρῴη] Ἤγουν, εἰ ποιοίη ἂν τάδε ἅπερ ἐγὼ δηλονότι ποιῶ.

261. Ἃ ᾽γὼ κατ᾽ ἦμαρ] ἀναγκαίως κέχρηται τῷ νοήματι. Ἐπὶ μὲν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα· ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τὰ Αἰγίσθου ὁσημέραι γιγνόμενα, εἰκότως παρατείνει καὶ τὸ πενθεῖν.

262. Καταφθίνονθ᾽] μαραινόμενα, κατὰ μεταφορὰ, ἀντὶ τοῦ μειούμενα. Τὸ θάλλειν ἐπὶ τῶν φυτῶν λέγεται κυρίως, καὶ ἔχει ἐναντίον τὸ μαραίνεσθαι, ἢ τὸ φθίνειν· φθίνειν γὰρ καὶ μαραίνεσθαι ταὐτόν. Καὶ ἀπὸ τούτων, καὶ ἐπ᾽ ἄλλων, ὡς ἐνταῦθα, θάλλοντα μᾶλλον ἢ καταφθίνοντα, ἀντὶ αὐξάνοντα μᾶλλον καὶ τρεφόμενα, ἢ μειούμενα.

265. Ἐκ

Ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
Ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
Ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδέ μοι
Λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
Ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
Ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
Τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
Φοροῦντ' ἐκείνῳ ταυτὰ, καὶ παρεστίους
Σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν·
Ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
Τὸν αὐτοφόντην ἡμὶν ἐν κοίτῃ πατρὸς
Ξὺν τῇ ταλαίνῃ μητρί· μητέρ' εἰ χρεὼν
Ταύτην προσαυδᾷν τῷδε συγκοιμωμένην.
Ἡ δ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι.

265. Ἐν τοῖς ἐμαυτῆς] ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς.

266. Κἀκ τῶνδ' ἄρχομαι] καὶ βασιλεύομαι ὑπ' αὐτῶν. ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτετάχθαι.

Ib. Ἄρχομαι] Τὸ ἀρχὴν ποιοῦμαι, καὶ τὸ ἀρχὴν λαμβάνω. Ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε, ἤδε τῶν ἐπισκόπων. Καὶ ἄρχομαι, τὸ ἐξουσιάζομαι.

268. Ποίας ἡμέρας] τοῦτο ἢ ἀντὶ γενικῆς λάμβανε, ἢ ἀντὶ αἰτιατικῆς· καὶ εἰ μὲν αἰτιατική ἐστιν, οὐδεμίαν ἀσάφειαν ἔχει· εἰ δὲ γενικὴ, οὕτω λέγωμεν, ποίας ἡμέρας νομίζεις με ἄγειν, ἀντὶ τοῦ ποίου χρόνου τοῦτο λογίζομαι;

269. Ὅταν θρόνοις Αἴγισθον] καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος·

« Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης,
« Κτείνας Ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ'
« αὐτῷ. »

270. Εἰσίδω δ' ἐσθήματα φοροῦντ'] οὐ μόνον ἐσθὴς, ἐσθῆτος εὕρηται τὸ ἔνδυμα, ἀλλὰ καὶ ἔσθημα, ἐσθήματος· ὡς κἀνταυθα, καὶ ἔσθησις, ἐσθήσεως· τὰ ὕστερα ποιητῶν· τὸ δὲ ἐσθὴς, καὶ λογογράφων.

271. Φοροῦντ' ἐκείνῳ ταυτα] οὐχ ὅμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου· πάνυ γὰρ τοῦτο περιπαθὲς, καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός· ἐσθήματα μὲν καὶ ἐσθήσεις, ἐν πεζῷ λόγῳ ἄχρηστα, ἐσθὴς δὲ ἐν χρήσει.

Ib. Καὶ παρεστίους] ἤγουν ἐφεστίους· ἐφέστιοι δὲ λοιβαὶ, αἱ ἐν τῇ οἰκείᾳ τελούμεναι.

272. Σπένδοντα λοιβὰς] τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς ὅπου ἄδικος φόνος εἴργασται· σπένδω λοιβὰς, ὡς λέγω λόγον· καὶ σπένδειν ἐπὶ τῶν ὑγρῶν λέγεται.

273. Ἴδω δὲ τούτων] ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός.

274. Αὐτοφόντην] γράφεται καὶ αὐτοέντην. Τὸ δὲ ἡμῖν παρέλκει Ἀττικῶς.

275. Μητέρ' εἰ χρεὼν] χρεὼν ἀντὶ τοῦ χρέος, καὶ ἀπὸ τούτου πρέπον. Ὡς τὸ ὤφελεν ἀντὶ τοῦ ἐχρεώστει, καὶ ἀπὸ τούτου ἀντὶ τοῦ ἔπρεπεν.

277. Τλήμων] τολμηρὰ, ἀναιδής.

Ib. Μιάστορι] λυμεῶνι, φονεῖ· μιάστωρ, ὁ διὰ τὸν παρ' ἑαυτῷ μιασμὸν καὶ τοὺς ἄλλους μιαίνων.

Ib. Ὥστε

Ξύνες', Ἐριννὺν ὄτιν' ἐκφοβȣμένη·
Ἀλλ', ὥσπερ ἐγγελῶσα τοῖς ποιȣμένοις,
Εὑρȣ̃σ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
Πατέρα τὸν ἁμὸν ἐκ δόλȣ κατέκτανε,
Ταύτῃ χορȣ̀ς ἵςησι, καὶ μηλοσφαγεῖ
Θεοῖσιν ἔμμην' ἱερὰ τοῖς Σωτηρίοις.
Ἐγὼ δ' ὁρῶσ' ἡ δύςμορος κατὰ ςέγας
Κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
Τὴν δυςτάλαιναν δαῖτ' ἐπωνομασμένην,
Αὐτὴ πρὸς αὐτήν· ȣ̓δὲ γὰρ κλαῦσαι πάρα
Τοσόνδ', ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
Αὕτη γὰρ λόγοισι γενναία γυνὴ
Φωνȣ̃σα, τοιάδ' ἐξονειδίζει κακά.
Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
Τέθνηκεν, ἄλλος δ' ȣ̓τις ἐν πένθει βροτῶν;
Κακῶς ὄλοιο· μηδέ σ' ἐκ γόων ποτὲ
Τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
Τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
Ἥξοντ' Ὀρέςην, τηνικαῦτα δ' ἐμμανὴς

Ib. Ὥστε τῷ μιάςορι ξύνεσι] συνυπακȣ́εται ὁ καὶ σύνδεσμος· τὸ γὰρ ὥστε μόνον μετὰ ἀπαρεμφάτȣ ζητεῖ τάττεσθαι.

280. Εὑρȣ̃σ' ἐκείνην ἡμέραν] τὸ εὑρȣ̃σα, τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει· οἷον ἡδέως αὐτὴν θεωμένη.

281. Ἁμὸν] τὸν ἡμέτερον, ἤγȣν τὸν ἐμόν. Ἡμέτερον μὲν, ὃ πολλοὶ ἔχομεν· ἐμὸν δὲ, ὃ μόνος ἐγὼ ἔχω.

283. Θεοῖσιν ἔμμην' ἱερὰ] οἱ Ἀργολικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς γαμηλιῶνος, ὡς Δεινίας ἐν ἑβδόμῳ Ἀργολικῶν.

285. Κωκύω] δακρύω· λέγομεν δὲ δακρύω τὸν τεθνηκότα, ἐπιδακρύω δὲ τῷ τεθνηκότι.

286. Ἐπωνομασμένην] ἐφ' ᾧ ὠνομάσθην.

288. Ὅσον μοι θυμὸς] ἐπικȣφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἴσχυλος·

"Οἵτε ςεναγμοὶ τῶν πόνων ἐρείσματα."

289. Γενναία] εὐγενὴς λόγοις, καὶ ȣ̓ πράξεσιν.

291. Δύσθεον] Ἀντὶ τȣ̃ δυσθέατον· ἤγȣν, βαρὺ καὶ πικρὸν, καὶ δυσκόλως θεαθῆναι δυνάμενον· ἢ δύσθεον ἀντὶ τȣ̃ ἀσεβὲς, καὶ κακόθεον, καὶ κακόδαιμον μίσημα.

Ib. Ὦ δύσθεον] καὶ ταῦτα Ἀριςοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ· "δύσθεον δὲ, ἀσεβές".

Ib. Σοὶ μόνῃ πατὴρ τέθνηκεν] ȣ̓κ ἀνῃρέθη φησὶν, ἀλλὰ τέθνηκε. Τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

294. Θεοί] Ἤγȣν, ὁ Πλȣ́των, καὶ ἡ Περσεφόνη, καὶ ὁ Ἅδης.

296. Ἥξοντ' Ὀρέςην] Ἤγȣν, ἀφίξεσθαι τὸν Ὀρέςην.

ΧΡΥ. Τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
Ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
Κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
" Θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά."
Καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
Ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος
Λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
" Νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ·"
Καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
Τοιαῦτα δ' ἄλλα καὶ σὲ βούλομαι ποιεῖν·
Καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
Ἀλλ' ᾗ σὺ κρίνεις· εἰ δ' ἐλευθέραν με δεῖ
Ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ΗΛΕ. Δεινόν γέ σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
Κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
Ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα,
Κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.

330. Τίν' αὖ σὺ τήνδε] ἄφιξις Χρυσοθέμιδος, καὶ συμβουλὴ πρὸς τὴν ἀδελφήν.

Ib. Τίν' αὖ σὺ τήνδε] τὸ ἑξῆς, τίνα φάτιν φωνεῖς; ἐπίτηδες δὲ τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξε, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιῤῥήσεσι τὰ δράματα.

334. Καίτοι τοσοῦτόν γ' οἶδα] ὡς εἰ ἔλεγεν, οἶδα ὅτι καὶ αὐτὴ ἀλγῶ ἐπὶ τοῖς παροῦσιν.

335. Ὥστ' ἂν, εἰ σθένος] τρία γὰρ παρακολουθοῦσιν εἰς τὸ γενέσθαι τὶ, βούλησις, δύναμις, καὶ ἐπιστήμη.

337. Ὑφειμένῃ δοκεῖ] μὴ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ. Ἀντὶ τοῦ, δοκεῖ μοι ταπεινῶς διαλέγειν καὶ ὑπηκόως. μεταφορικῶς δὲ λέγεται ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοντες ὑφιᾶσι τῶν ἱστίων. Εἰς τὸ αὐτὸ, ὑφήσειν τὸ ἱστίον, οἷον συστέλλειν τὸ φρόνημα, καὶ μὴ ἄντικρυς μάχεσθαι· οἱονεὶ τῇ προαιρέσει χρῶμαι.

338. Πημαίνειν δὲ μή] ἤγουν βλάπτειν αὐτούς. Καὶ γὰρ αὐτὴ δοκεῖς πᾶσιν ἀλόγως ἀγανακτοῦσα, μὴ δυναμένη βλάψαι αὐτοὺς, πρὸς οὓς ἀγανακτεῖς.

339. Τοιαῦτα δ'] ἤγουν οὐ μόνον ἐγὼ βούλομαι, ἀλλὰ καὶ σε βούλομαι ποιεῖν τοιαῦτα.

340. Τὸ μὲν δίκαιον] ὁ νοῦς· τί ὄφελος τῆς δικαιοσύνης, εἴτις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;

342. Ἀκουστέα] Ἀττικῶς, ἀντὶ τοῦ ἀκουστέον· τουτέστιν, ἄξιόν ἐστιν ὑπακούειν κατὰ πάντα τῶν ἀρχόντων.

344. Μέλειν] φροντίζειν.

345. Ἅπαντα γάρ σοι] ταῦτα ὁποῖά ἐστι τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ, καί φησιν αὐτῇ τὰ Κρέοντος φρονεῖν.

Ib. Τἀμὰ νουθετήματα] οἷον, ἃ εἶπες ἐμὲ νουθετοῦσα.

346. Κείνης διδακτὰ] μὴ λάβῃς εἰς τὸ ἐκείνης ἔξωθεν τὸ ἀπὸ, ἀλλ' ὥσπερ φαμεν, ἐρώμενός ἐστιν ὁ δεῖνα τοῦ δεῖνος, οἷον Ἀλκιβιάδης Σωκράτους·

Ἐπεί θ' ἑλοῦ γε θάτερον*, ἢ φρονεῖν κακῶς,
Ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
Ἥτις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
Σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
Ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
Οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
Οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
Ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
Κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
Οὐ ζῶ; κακῶς μὲν, οἶδ', ἐπαρκούντως δέ μοι.
Λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
Τιμὰς προσάπτειν, εἴτις ἔστ' ἐκεῖ χάρις.
Σὺ δ' ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
Ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
Ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
Μέλλοι τὶς οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
Τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
Τράπεζα κείσθω, καὶ περιῤῥείτω βίος.

* ALD. TURN. in marg. θάτερ'.

Σωκράτους· οὕτω καὶ τοῦτο, διδακτὰ κείνης, ἀντὶ τοῦ ἐκείνης διδάγματα καὶ μαθήσεις.

347. Ἐπεί θ' ἑλοῦ γε] ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς, προστιθεμένην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν· οἷον, θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς. Τὸ δὲ θάτερα ἀντὶ τοῦ θάτερον, Ἀττικῶς εἴρηται. Τὸ δὲ, ἔπειθ' ἑλοῦ γε, ἀντὶ τοῦ, εἰ δὲ μή τοι, ἔκλεξαι θάτερον.

351. Πάντα τιμωρουμένης] εὕρηται οὐ μόνον ἐνεργητικῶς τιμωρῶ τὸ κολάζω, ἀλλὰ καὶ τὸ βοηθῶ· καὶ οὐ μόνον τιμωροῦμαι παθητικῶς τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὡς καὶ πᾶς τις ἐξετάζων εὑρήσει.

352. Τήν τε δρῶσαν] ἀντὶ τοῦ ἐμέ.

Ib. Ἐκτρέπεις] ἡ ἐκ ἀντὶ τῆς ἀποτρέπεις· ἐκτρέπειν, τὸ παρακλίνειν τῆς ὁδοῦ· καὶ ἐκτροπὴ, ὅταν τις ἣν βαδίζει ὁδὸν ἀφεὶς, ἑτέραν βαδίσῃ.

353. Οὐ ταῦτα πρὸς] Ἤγουν, πρὸς τῷ εἶναι σὲ κακὴν, ὑπάρχεις καὶ δειλή. Κακὴ μὲν, ὅτι οὐ τιμᾷς τὸν πατέρα· δειλὴ δὲ, ὅτι φοβῇ τοὺς κτανόντας τὸν πατέρα.

356. Κακῶς μὲν, οἶδ'] κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω· οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῇν.

357. Λυπῶ δὲ τούτους] διὰ τὸ τιμᾷν τὸν πατέρα.

362. Χλιδᾷς] Χλιδὴ ἐτυμολογεῖται, ἀπὸ τοῦ χαλᾷν τὴν ἰδέαν· ἡ γὰρ τρυφὴ χαλᾷ τὴν ἰδέαν, καὶ χαυνοῖ, καὶ ἀχρειοῖ.

364. Περιῤῥείτω] Ἤγουν, πανταχόθεν εὐπορία ἐχέτω.

365. Ἐμοὶ

Ἐμοὶ γὰρ ἔςω τοὐμὲ μὴ λυπεῖν μόνον
Βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
Οὐδ' ἂν σὺ, σώφρων δ' οὖσα· νῦν δ' ἐξὸν πατρὸς
Πάντων ἀρίςου παῖδα κεκλῆσθαι, καλοῦ
Τῆς μητρός· οὕτω γὰρ φανῇ πλείςοις κακὴ,
Θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.

ΧΟΡ. Μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν· ὡς τοῖς λόγοις
Ἔνεςιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
Τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.

ΧΡΥ. Ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθὰς εἰμί πως
Τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτὲ,
Εἰ μὴ κακὸν μέγιςον εἰς αὐτὴν ἰὸν
Ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.

ΗΛΕ. Φέρ' εἰπὲ δὴ τὸ δεινόν· εἰ γὰρ τῶνδέ μοι
Μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.

ΧΡΥ. Ἀλλ' ἐξερῶ τοι πᾶν, ὅσον κάτοιδ' ἐγώ·
Μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξοις γόων,
Ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου

365. Ἐμοὶ γὰρ ἔςω] ἐμοὶ (φησὶν) ἔςω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πείνην ἀπελαύνουσα· οὐ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν σχήσω. Ἢ οὕτως, τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.

367. Οὐδ' ἂν σὺ, σώφρων] οὐδὲ σὺ, εἰ ἐσωφρόνεις, ἀβρῶς ἔζης, ἠμεληκυῖα τοῦ πατρός.

Ib. Νῦν δ' ἐξὸν] ἀδείας οὔσης· τὸ ἐξὸν, τὸ παρὸν, τὸ ἐνὸν, καὶ ὅσα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε οἱ Ἀττικοὶ πλαγιάζουσιν, ὅτε πλαγιασμὸν ἡ σύνταξις ἀπαιτεῖ.

368. Καλοῦ] ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.

371. Μηδὲν πρὸς ὀργὴν] ἀντὶ τοῦ ὀργίλως. Καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως· καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς· καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς, καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ ἐπιῤῥήματος.

372. Εἰ σὺ μὲν μάθοις] εἰ συγκεράσετε τοὺς τρόπους, εὖ ἂν ἔχοι· ἡ μὲν γὰρ, αὐςηρά· ἡ δὲ, ἀνειμένη.

374. Ἠθάς εἰμι] ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. Ἔθος ἡ συνήθεια, ἦθος δὲ ὁ τρόπος· ἐνταῦθα οὖν ἐθὰς ὤφειλεν εἶναι, διὰ δὲ τὸ μέτρον ἐτέθη τὸ ἠθὰς ἀπὸ τοῦ ἦθος, ἐπεὶ πλησιάζει τὸ ἔθος καὶ τὸ ἦθος.

375. Τῶν τῆσδε μύθων] τῶν παρὰ ταύτης λεγομένων μύθων.

377. Μακρῶν] μεγάλων, ἢ πολυχρονίων.

Ib. Σχήσει] ἐφέξει, κωλύσει.

Ib. Γόων] γράφεται καὶ λόγων.

382. Ἐνταῦθα πέμψειν] ἐκεῖσε· τὸ ἐνταῦθα νοεῖται ἐν πρώτῳ προσώπῳ, ἤγουν ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ· τὸ αὐτοῦ, ἐν δευτέρῳ, οἷον αὐτοῦ

ἔνθα

Φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ
Στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
Πρὸς ταῦτα φράζου, καί με μήποθ' ὕστερον
Παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛΕ. Ἦ ταῦτα δή μοι καὶ βεβούλευνται ποιεῖν;
ΧΡΥ. Μάλισθ'· ὅτανπερ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛΕ. Ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡΥ. Τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛΕ. Ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾷν νοεῖ.
ΧΡΥ. Ὅπως πάθῃς τὶ χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛΕ. Ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω.
ΧΡΥ. Βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛΕ. Καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
ΧΡΥ. Ἀλλ' ἦν ἂν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛΕ. Μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡΥ. Ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
ΗΛΕ. Σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡΥ. Καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.

ἔνθα εἶ σύ· τὸ ἐκεῖ, ἐν τρίτῳ, οἷον ἐκεῖ ἔνθα ἐστὶν ἐκεῖνος· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκεῖσε λέγεται, τὸ ἐπίῤῥημα ἀντὶ τοῦ ἐπιῤῥήματος.

383. Κατηρεφεῖ] Ἤγουν, ἐν σκοτεινῇ φυλακῇ. ἔθος γὰρ ἦν τοῖς παλαιοῖς· ὅτε ἤθελον ἀπολέσαι τινὰ, καὶ μὴ μιανθῆναι τῷ αὐτοῦ αἵματι, ἐν φυλακῇ σκοτεινῇ ἔβαλον ἐκεῖνον, καὶ ἐκεῖ ἔθνησκε, λέγοντες οὐ παρ' ἡμῶν ἐφονεύθ'.

384. Ὑμνήσεις] θρηνήσεις· ὕμνος κυρίως ἡ εἰς θεὸν ᾠδή· παρὰ δὲ ποιηταῖς ἁπλῶς ἡ ᾠδὴ, εἴτε ἐπὶ ποιητικῆς ἐμμελείας (ἀφ' οὗ λέγεται ὑμνοπόλος παρ' αὐτοῖς, ταυτὸν τῷ ἀοιδοπόλος) εἴτε μέλους θρηνῳδοῦς, καθ' ὃ λέγεται ἐνταῦθα τὸ ὑμνήσεις.

386. Νῦν γὰρ ἐν καλῷ φρονεῖν] ἤγουν πρὸ τῆς πείρας κάλλιστόν ἐστι νοῦν λαμβάνειν, ὅπως ταύτην ἐκφύγῃς. Οἱ δὲ τὸ ἐγκαλῶ ἀντὶ τοῦ λέγω φάσκοντες, οὐκ οἶδα εἰ τὸ παράπαν μετέχουσι νοῦ.

387. Ἦ ταῦτα δή μοι] ἆρα δή μοι καὶ βεβούλευνται, ἤγουν οὐκ ἠπείλουν μόνον ταῦτα, ἀλλ' ἤδη καὶ βουλῇ κυροῦσιν.

389. Ἀλλ' ἐξίκοιτο] ἁρμόζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.

393. Ἀφ' ὑμῶν] πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτῆς συγκαταλέγει ὡς τὰ αὐτῶν αἱρουμένην.

395. Καλὸς γὰρ] εἰρωνεύεται ἐν ἤθει.

Ib. Ὥστε θαυμάσαι] ἀντὶ τοῦ ἀγαπῆσαι βιοῦν αὐτὸν δηλονότι τὸν βίοτον. Θαυμάζει τις ἀρετὴν, ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι ἀρετὴν, καὶ θαυμάζει λόγους, ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους· κατὰ τοῦτο λέγεται κἀνταῦθα τὸ θαυμάσαι· ἤγουν, καλὸς γὰρ ὁ ἐμὸς βίος, ὥστε θαυμάσαι αὐτὸν δηλονότι.

398. Ἀλλ' οὐ διδάσκω] ἀλλ' οὐ διδάσκω κακὴν εἶναι τοῖς φίλοις, διδάσκω δὲ εἴκειν τοῖς ἄρχουσιν.

400. Ἀβουλίας] ἐξ αἰτίας τῆς κακοβουλίας· ἤγουν διὰ κακοβουλίαν.

401. Πατρὶ

ΗΛΕ. Πεσούμεθ᾽, εἰ χρὴ, πατρὶ τιμωρούμεναι.
ΧΡΥ. Πατὴρ δὲ τούτων (οἶδα) συγγνώμην ἔχει.
ΗΛΕ. Ταῦτ᾽ ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡΥ. Σὺ δ᾽ οὐχὶ πείσῃ, καὶ συναινέσεις ἐμοί;
ΗΛΕ. Οὐ δῆτα· μήπω νοῦ τοσόνδ᾽ εἴην κενή.
ΧΡΥ. Χωρήσομαί τ᾽ ἄρ᾽ οἶπερ ἐστάλην ὁδοῦ.
ΗΛΕ. Ποῖ δ᾽ ἐμπορεύῃ*; τῷ φέρεις† τάδ᾽ ἔμπυρα;
ΧΡΥ. Μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛΕ. Πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡΥ. Ὃν ἔκταν᾽ αὐτή· τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛΕ. Ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ᾽ ἤρεσεν;
ΧΡΥ. Ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛΕ. Ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ᾽ ἀλλὰ νῦν.
ΧΡΥ. Ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛΕ. Εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ᾽ ἂν τότε.

* Ald. Turn. in marg. ἐκπορεύῃ. † Ald. ποῖ φέρεις.

401. Πατρὶ τιμωρούμενοι] ἀποροῦσιν ἐνταῦθα πῶς γυνὴ οὖσα, τιμωρούμενοι εἶπεν, ὅπερ ἐστὶν ἀρσενικόν. Καί φαμεν ὅτι πρὸς τὸ ὑμεῖς τοῦτο ἔφερεν.

402. Πατὴρ δὲ τούτων] οἶδα ὅτι ὁ πατὴρ ἕνεκα τούτων συγγνώμην ἔχει ἡμῖν δηλονότι.

403. Πρὸς κακῶν] Ἀντὶ τοῦ, κακῶν ἀνθρώπων ἐστὶν ἴδιον δηλονότι, ἐπαινέσαι ταῦτα τὰ ἔπη, ἤγουν, κακοὶ ταῦτα ἐπαινέσονται.

Ib. Οὐ δῆτα] ἀντὶ τοῦ, μηδαμῶς· ἤγουν, εἴθε μηδαμῶς εἴην κενὴ, ἤτοι λειπομένη νοῦ, τουτέστιν γνώσεως, κατὰ τοσοῦτον.

405. Νοῦ κενὴ] ἀντὶ τοῦ συνέσεως κούφη.

406. Οἶπερ ἐστάλην ὁδοῦ] καὶ τὸ οἷ μόνον ἱκανόν ἐστιν· οἷον πορεύσομαι οἷ ἀπεστάλην· ἐπεὶ δὲ ὁδὸς ἄγει ἐκεῖσε ὅποι ἀπεστάλη, λέγει οἷ τῆς ὁδοῦ. Ἐστάλην, ἀντὶ τοῦ ἀπεστάλην, στέλλομαι ἀντὶ τοῦ πορεύσομαι· ἀποστέλλομαι δὲ ὑφ᾽ ἑτέρου, ἀντὶ τοῦ πέμπομαι.

407. Ποῖ δ᾽ ἐμπορεύῃ] καλῶς εἶπε τὸ ἐμπορεύῃ· ὥσπερ γὰρ οἱ ἔμποροι κέρδους ἕνεκα σφῶν ταύτην τὴν τέχνην μετίασιν· οὕτω καὶ ἡ Χρυσόθεμις πρὸς Ἀγαμέμνονα τὴν θυσίαν ἔφερεν, κέρδος τῇ μητρὶ καὶ βοήθειαν ἐντεῦθεν πραγματευομένη. Οἱ δὲ λέγοντες τὸ ἐμπορεύῃ ἀντὶ τοῦ πορεύῃ, ἐκλαμβάνοντες τὸ ἐν ἀργὸν, ἀμαθεῖς. Καταχρηστικῶς δὲ εἶπε τὸ ἔμπυρα· ἔμπυρα γὰρ κυρίως τὰ διὰ πυρὸς γινόμενα.

408. Τυμβεῦσαι] σπεῖσαι τῷ τύμβῳ.

411. Ἐκ τοῦ φίλων] ἀντὶ τοῦ, ἐκ παρακινήσεως τινὸς ἀπὸ τῶν φίλων.

412. Δοκεῖν ἐμοὶ] ἤγουν, κατὰ τὸ δοκοῦν ἐμοί· δοκέον γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν· οὐ δοκοῦν· ὡς πλέον πλεῖν, δέον δεῖν.

413. Συγγένεσθέ] συμμαχήσατε· συνεργήσατε· συμπράξατε ἡμῖν κἂν νῦν· ἀκούσασα δὲ ὅτι ἐν τοῖς ὀνείροις δείγματά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θαρσεῖ, καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παριστάναι.

Ib. Ὦ θεοὶ] Ἀκούσασα ἡ Ἠλέκτρα ὅτι ἐν τοῖς ὀνείροις γεγόνασι τῇ Κλυταιμνήστρᾳ δείματα, θαρσεῖ, καὶ ἐπικαλεῖται τοὺς θεούς.

415. Τὴν ὄψιν] ἤγουν ὃ εἶδεν. Ὄψις, τὸ θεαθὲν, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ πρόσωπον.

416. Πλὴν

ΧΡΥ. Ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν * φράσαι.

ΗΛΕ. Λέγ' ἀλλὰ τοῦτο· " πολλά τοι σμικροὶ λόγοι
" Ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς."

ΧΡΥ. Λόγος τὶς αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
Τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
Ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
Πῆξαι λαβόντα σκῆπτρον, οὑφόρει ποτὲ
Αὐτὸς, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
Βλαστεῖν βρύοντα θαλλὸν, ᾧ κατάσκιον
Πᾶσαν γένεσθαι τὴν Μυκηναίων χθόνα.
Τοιαῦτά του παρόντος, ἡνίχ' ἡλίῳ

* Turn. in marg. σμικρῷ.

416. Πλὴν ἐπὶ σμικρὸν] ἀντὶ τοῦ πλὴν δι' ὀλίγων.

417. Λέγ' ἀλλὰ τοῦτο] λέγε κἂν τοῦτο.

Ib. Πολλά τοι] ἀντὶ τοῦ καταπολὺ, ἐπιῤῥηματικῶς. Ἔστι δὲ Ἀττικὸν, ὡς καὶ τὸ πότερα ἀντὶ τοῦ πότερον.

418. Ἔσφηλαν] ἔσφαλαν· σφαλῆναι ἐποίησαν.

419. Λόγος τὶς] λόγος τὶς ἐστιν εἰς αὐτὴν μητέρα ἡμῶν, λέγει ἰδεῖν δευτέραν ὁμιλίαν τοῦ σοῦ καὶ ἐμοῦ πατρὸς, ἐλθόντος εἰς τὴν ζωήν. Εἶτα εἶδε τὸν πατέρα ἡμῶν τοῦτον ἐφέστιον λαβόντα τὸ σκῆπτρον, ὅπερ ἔφερέ ποτε αὐτὸς, ὅτε ἔζη, τανῦν δὲ φέρει ὁ Αἴγισθος, πῆξαι. Καὶ ἐκ τοῦδε τοῦ σκήπτρου ἄνω, εἶδε ἀναβλαστῆσαι βρύοντα θαλλὸν, ᾧ, ἀντὶ τοῦ, δι' οὗ, εἶδε γενέσθαι κατάσκιον πᾶσαν τῶν χθόνα τῶν Μυκηναίων· ἰστέον ὅτι τὸ ἐφέστιον ἁρμόζει καὶ μετὰ τοῦ Ἀγαμέμνονος, ἵνα ᾖ, τὸν δὲ ὄντα ἐφέστιον· ἁρμόζει καὶ μετὰ τοῦ σκήπτρου. Ἵνα ᾖ, εἶτα τόνδε τὸν πατέρα ἡμῶν λαβόντα τὸ ἐφέστιον σκῆπτρον. Ἤγουν τὸ πατρικόν· ὅπερ ὁ Ζεὺς δέδωκε τῇ οἰκίᾳ ἡμῶν ἔκπαλαι.

420. Δευτέραν ὁμιλίαν] ὡς αὖθις αὐτοῦ ἀναζήσαντος, καὶ προσομιλήσαντος. Ὁμιλία δὲ, ἐπὶ τῶν ἑνουμένων· κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός· ἐπεὶ δὲ ἡ ἕνωσις καὶ διὰ λόγων γίνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι' ἑτέρων, λέγεται ἡ ὁμιλία καὶ ἐπὶ συνουσίας καὶ ἐπὶ διαλέξεως. Ὁμιλεῖ γάρ τις τινὶ, ἤγουν διαλέγεται· καὶ ὁμιλεῖ βιβλίῳ. Ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. Λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει· ὁμιλεῖ δὲ θανάτῳ, ἀντὶ τοῦ ἔνεστι· καὶ ὁμιλεῖ συμφοραῖς, ἀντὶ τοῦ ἔνεστι καὶ συγκρίνεται· κοινωνοῦσι δέ τινες, ἢ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας, ἢ γνώσεως, ἤ τινος τοιούτου τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον τραπέζης, ἢ χωρίων, ἢ τοιούτων τινῶν.

421. Ἐφέστιον] ἐπὶ τὴν οἰκίαν γενόμενον· τουτέστιν ἐπ' οἶκον. Ἐφέστιος, ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ· ὡς παρ' Ὁμήρῳ·

" Ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαί-
" μων."

Καὶ ὁ ἔχων οἰκίαν, ὡς παρὰ τῷ αὐτῷ, Τρῶας μὲν λέξασθε ἐφέστιοι ὅσσοι ἔασιν· ἐφέστιος ἁπλῶς καὶ ὁ ἐν οἰκίᾳ ὢν, ὡς ἐνταῦθα· ὁμέστιος δὲ καὶ συνέστιος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν.

424. Θαλλὸν] θαλλὸς καὶ θύρσος τὸ αὐτό· ἔστι δὲ ὁ ἁπαλὸς κλάδος.

426. Ἡνίχ' ἡλίῳ] τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα.

Ib. Ἡλίῳ] ἀντὶ τοῦ ἡμέρᾳ. Ἤκουσα (φησὶ) τοῦ ὀνείρου ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί.

Δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου·
Πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
Πέμπει με κείνη τοῦδε τοῦ φόβου χάριν.
Πρὸς νῦν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
Ἐμοὶ πιθέσθαι, μηδ' ἀβουλίᾳ πεσεῖν·
Εἰ γάρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.

ΗΛΕ. Ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν,
Τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις,
Οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
Κτερίσματ', οὐδὲ λουτρὰ προσφέρειν πατρί·
Ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
Κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
Τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
Κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
Ἀρχὴν γάρ, εἰ μὴ τλημονεστάτη γυνὴ

Ib. Ἡνίχ' ἡλίῳ] ἔθος ἦν τοῖς παλαιοῖς, ὁπότε καθ' ὕπνους ὄναρ δεινὸν θεάσαιντο, ἅμα πρωῒ πρὸς τὸν ἥλιον λέγειν, ἵν', ἐπειδὴ ἐναντίος οὗτός ἐστι τῇ νυκτὶ, ἀποτροπὴν ἐργάσηται τούτου.

427. Ἐξηγουμένου] ἀντὶ τοῦ διηγουμένου. ἑρμηνεία, συνθήκη λόγου δηλοῦσά τι, καὶ ἡ τῶν τυχόντων διασάφησις. Ἐξηγήσις δὲ, διασάφησις θείων· διήγησις δὲ, ἡ ἁπλῶς ἀφήγησις.

432. Εἰ γάρ μ' ἀπώσῃ] εἰ γὰρ νῦν (φησὶ) δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου μετὰ ταῦτα, αὐτὴ μετελεύσῃ με, καὶ ἀξιώσεις μετά σου γενέσθαι. Ἄλλως· μέτει, ἀντὶ τοῦ κολακεύσεις. Μετέρχομαι, τὸ ὑπέρχομαι, καὶ κολακεύω, καὶ τὸ κολάζω.

433. Ἀλλ', ὦ φίλη] συμβουλὴ Ἠλέκτρας πρὸς Χρυσόθεμιν, ἵνα ἀποῤῥίψῃ ἃ φέρει θύματα πρὸς τύμβον πατρός.

434. Οὐ γάρ σοι θέμις] ἵνα μὴ ἀποτρέψῃ, εἴτι κακὸν μέλλει γενέσθαι ἀπὸ τῶν ὀνείρων. Εὐνὴν δὲ νῦν, τὸν τάφον. Θέμις, τὸ εὔνομον. τὸ δίκαιον. ὅμως ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπου.

Ib. Προσάψῃς μηδέν] ἀντὶ τοῦ, μὴ προσάψῃς, ἤγουν ἀναθῇς. Κρεμάσῃς, προσεγγίσῃς, καὶ προσαρτίσῃς.

436. Κτερίσματ'] Κτερίσματα λέγονται τὰ ἐπὶ τοῖς νεκροῖς θύματα· ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ χέειν αὐτὰ κάτω τῆς ἔρας, ἤγουν τῆς γῆς.

437. Βαθυσκαφεῖ κόνει] εἰς βάθος ὀρωρυγμένῃ· πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ πνοαῖς οὐ δύναται ἁρμόσαι. Δεῖ οὖν συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ ῥίψον, ἢ τὸ δὸς, ἤτι τῶν τοιούτων· Καὶ ἐν ἑτέροις τοῦτο γίνεται πολλοῖς, ὡς παρ' Ὁμήρῳ·

——————————— " ἧχι ἑκάστῳ
" Ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔ-
" κειτο."

Οὐ γὰρ οἱ ἵπποι ἔκειντο (ἵν' ἀπὸ κοινοῦ τὸ ἔκειντο λέγηται, μετεσχηματισμένον ἀπὸ τοῦ ἔκειτο) ἀλλ' εἱστήκεσαν.

440. Κειμήλι'] Κειμήλια λέγονται, τὰ ἐναπόθετα χρήματα· Ἔχουσι δὲ τὴν ἐτυμολογίαν, ἀπὸ τοῦ κεῖσθαι καὶ μὴ τὸν ἥλιον ὁρᾷν.

441. Εἰ μὴ τλημονεστάτη] καθόλου (φησὶν) εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν

ποτε

Πασῶν ἔϐλαϛε, τάϛδε δυϛμενεῖς χοὰς
Οὐκ ἄν ποθ᾽, ὅν γ᾽ ἔκτεινε, τῷδ᾽ ἐπέϛεφε.
Σκέψαι γὰρ εἴ σοι προϛφιλῶς αὐτῇ δοκεῖ
Γέρα τάδ᾽ οὑν τάφοισι δέξασθαι νέκυς,
Ὑφ᾽ ἧς θανὼν ἄτιμος, ὥϛτε δυϛμενὴς,
Ἐμασχαλίσθη, κἀπὶ λȣτροῖσιν κάρα
Κηλῖδας ἐξέμαξεν· ἆρα μὴ δοκεῖς

ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τȣ̃ πατρὸς, ὃν αὐτὴ ἀνεῖλεν. Εἰκὸς ȣ̃ν αὐτὴν τȣ̃το ἐπί τινι λυσιτελȣ̃ντι πράττειν· ᾧ μὴ ὑπȣργήσῃς σύ.

Ib. Εἰ μὴ τλημ.] Εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεϛάτη γυνὴ πασῶν γυναικῶν, οὐκ ἄν ποτε ἔκτεινε τὸν ἄνδρα αὐτῆς, ὃν ἔκταγεν. Ἀλλ᾽ ȣ̓δὲ ἔϛεφεν ἐπὶ τῷδε τῷ τάφῳ αὐτȣ̃ τάϛδε τὰς δυϛμενεῖς χοάς. Ἢ ȣ̔́τως· εἰ μὴ γὰρ κατὰ τὴν ἀρχὴν ἐγένετο τλημονεϛάτη γυνὴ πασῶν τῶν γυναικῶν, ἤγȣν ἀπὸ σῶν τῶν γυναικῶν, οὐκ ἄν ποτε ἐπέϛεφε, καὶ ἐπεκόσμει τῷδε τῷ πατρὶ ἡμῶν καὶ ἀνδρὶ αὐτῆς, τάϛδε τὰς δυϛμενεῖς χοὰς, ὅν τινα ἔκτανε.

444. Προϛφιλῶς] τὸ αὐτῇ, ἢ πρὸς τὸ σοὶ συντακτέον, ἵν᾽ ᾖ ἐκ παραλλήλȣ αὐτῇ σοί· ἢ πρὸς τὸ γέρα, ȣ̔́τω, τὰ γέρα αὐτῇ, ἤγȣν αὐτῆς· ἢ πρὸς τὸ προϛφιλῶς, ἵν᾽ ᾖ, προϛφιλῶς αὐτῇ, ἤγȣν ἀποδεκτῶς αὐτῇ, καὶ ὡς αὐτὴ βȣ́λεται.

Ib. Εἴ σοι προϛφιλῶς αὐτῇ] σκέψαι γὰρ εἰ σοὶ αὐτῇ δοκεῖ ὁ νέκυς δέξασθαι ἐν τοῖς τάφοις προϛφιλῶς τάδε τὰ δῶρα.

447. Ἐμασχαλίσθη] ἔθος ἦν τοῖς παλαιοῖς, ἡνίκα τινὰ διεχρήσαντο, ἀκρωτηριάζειν αὐτὸν, καὶ ὑπὸ τῆς μασχάλης ταῦτα τιθέναι. Τȣ̃το δὲ ἐποίȣν ἵνα ἀνίσχυρον αὐτὸν ἐργάζωνται διὰ τῆς τῶν ἀκρωτηρίων τομῆς πρὸς τὴν αὐτῶν ἄμυναν, ἣν οἱ νεκροὶ τȣ̀ς ζῶντας ἀμύνονται, Ἐριννῦς αὐτοῖς ἐπιπέμποντες· ȣ̓ μόνον δὲ ταῦτα ἐποίȣν, ἀλλὰ καὶ τὸ ξίφος, δι᾽ ȣ̃ ἡ σφαγὴ ἐγίνετο, ἀπέματτον πρὸς τὴν τȣ̃ σφαγέντος κεφαλήν.

Ib. Ἐμασχαλίσθη] ὑπὸ τὰς μασχάλας ἔλαϐε τὰ ἄκρα, ἀντὶ τȣ̃ ἠκρωτηριάσθη, ἢ ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρȣμένων ἀπομάσσειν τὰ ξίφη, ὥϛπερ ἀποτροπιαζόμενοι τὸ μῦσος τὸ ἐν τῷ φόνῳ· κάρα δὲ, κατὰ τὴν κεφαλὴν ἑαυτȣ̃ δηλονότι. Τὸ δὲ ἐξέμαξεν, ἐπὶ τȣ̃ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήϛρας. Καὶ τὸ κάρα αὐτȣ̃, τὰς κηλῖδας τȣ́των τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. Οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεί φησιν ἐκεῖνος·

> " Δειπνίσσας, ὥς τίς τε κατέκτανε βȣ̃ν ἐπὶ
> " φάτνῃ."

Ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. Τὰ γὰρ κατὰ μέρος ἐξȣσίαν ἔχει ἕκαϛος ὡς βȣ́λεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως. Ἄλλως· εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τȣ̀ς ἀναιρεθέντας, ἐκ παντὸς μέρȣς τȣ̃ σώματος ἀποταμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες· διὰ τȣ́των ὥϛπερ τὴν δύναμιν ἐκείνων ἀφαιρȣ́μενοι διὰ τὸ μὴ παθεῖν ἐς ὕϛερον τὶ δεινὸν παρ᾽ ἐκείνων. Ἐφόρȣν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως· ἐπὶ ταῖς καθάρσεσι τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτῶν ἐκρέμαζον αὐτὰ, ἵνα (φασὶν) ἀσθενεῖς γένοιντο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. Καὶ Ἀπολλώνιος·

> " Ἐξάργματα τέμνε θανόντος, ὁ Ἰάσων τȣ̃
> " Ἀψύρτȣ."

448. Ἀρα μὴ] τὸ μὴ ἐνταῦθα παρέλκον ἐϛίν· ἀρκεῖ γὰρ εἰς τὴν ἔννοιαν τȣ̃ λόγȣ μόνον τὸ ἆρα δοκεῖς αὐτῇ Κλυταιμνήϛρᾳ τῇ μητρὶ ἡμῶν φέρειν ταῦτα τὰ κτερίσματα λυτήρια τȣ̃ φόνȣ; Ἀποκρ. ȣ̓κ ἔϛι. Ἀντὶ τȣ̃ ȣ̓δαμῶς.

Ib. Κηλῖδας ἐξέμαξεν] ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τȣ̃ ξίφȣς τὰς κηλῖδας, ἢ τῇ τȣ̃ φονευομένȣ· ὥϛπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι.

Λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
Οὐκ ἔστιν· ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
Τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
Κἀμοῦ ταλαίνης (σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
Ἃ 'χω) δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,
Καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
Αἰτοῦ δὲ προσπιτνοῦσα, γῆθεν εὐμενῆ
Ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
Καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
Ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ,
Ὅπως τολοιπὸν αὐτὸν ἀφνεωτέραις

450. Ἀλλὰ ταῦτα μὲν μέθες] προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.

453. Ἀλιπαρῆ τρίχα] περιπαθῶς μὲν, τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμηράν. Ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ· ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.

Ib. Ἀλιπαρῆ τρίχα] τρίχες κεφαλῆς λέγεται, οὐχὶ κεφαλὴ τριχῶν· οὐ γὰρ ὥσπερ ἡμέρα ἡλίου λέγεται, καὶ τὸ ἀνάπαλιν ἥλιος ἡμέρας λέγεται, ἐπεὶ διὰ τὴν ἡμέραν ὁ ἥλιος ἐγένετο, καὶ οὗ ἕνεκα ἐστὶν ἡμέρα. ποιεῖ οὖν ὁ ἥλιος τὴν ἡμέραν γεγονὼς, διὰ τοῦτο καὶ λέγεται ἥλιος ἡμέρας· ἡ δὲ κεφαλὴ ποιεῖ μὲν τρίχας. Οὐ μὲν δ' αὐτὸ τοῦτό ἐστιν ἡ κεφαλὴ, ἤγουν διὰ τὸ ποιεῖν τρίχας. Οὐδ' ὁ προηγούμενος σκοπὸς τῆς κεφαλῆς ἐστιν οὗτος. Διὸ οὐ λέγεται ἡ κεφαλὴ τῶν τριχῶν· καὶ ἐπὶ μὲν τῶν ποιούντων οὕτως· ἐπὶ δὲ τῶν γινομένων δεῖ σκοπεῖν· ἔοικεν οὖν, οὐ πάντα τὰ γινόμενα οἷς γίνεται τούτων λέγεσθαι. Οἷον ἡ θύρα τῷ πρίονι γίνεται ἢ τῷ σκεπάρνῳ. Οὐ μὲν ἡ θύρα τοῦ σκεπάρνου λέγεται, ἢ τοῦ πρίονος· οὐ γὰρ αὐτὸ δι' ἑαυτοῦ τὸ σκέπαρνον ποιεῖ τὴν θύραν, ἵν' ᾖ ἡ θύρα τοῦ σκεπάρνου· ἀλλ' ὁ ἐργαζόμενος, ἄλλος ἐστὶν, ἐργαλείῳ χρώμενος τῷ σκεπάρνῳ. Ἤγουν, ὁ τέκτων, οὗ λέγεται ἡ θύρα· λέγεται δὲ καὶ τοῦ οἴκου. Ὅτι ἕνεκα τοῦ οἴκου γίνεται· καὶ τοῦ κυρίου τοῦ οἴκου, ὡς δεσπόζοντος. Καθόλου δὲ τὰ λεγόμενα τινὸς, ἢ ὡς πρός τι λέγεται, ὡς πατὴρ υἱοῦ. Ἢ ὡς μέρη, ὡς ἡ χεὶρ τοῦ ἀνθρώπου. Ἢ ὡς δοῦλα· ὡς ὁ λαὸς τοῦ θεοῦ. Ἢ ὡς δεσπόζοντα, ὡς ὁ θεὸς τῶν ἀνθρώπων· καὶ ὁ βασιλεὺς τοῦ λαοῦ. Ἢ ὡς κτήματα, ὡς τὸ ἔνδυμα τοῦ δεῖνος. Ἢ ὡς γινόμενα ὑπό τινος· ὡς ἡμέρα ἡλίου. Ἢ ὡς γινόμενα διά τι, καὶ ποιοῦντα ἐκεῖνο δι' ὃ ἐγένοντο· ὡς ἥλιος ἡμέρας. Ἢ ὡς περιέχοντα· οἷον τόδε τὸ πλῆθος, τοσούτων ἀνθρώπων ἐστίν. ἤγουν, τοσούτους ἀνθρώπους περιέχει· ἢ ὡς περιεχόμενα, οἷον τοσοῦτοι ἄνθρωποι τούτου τοῦ πλήθους, ἤγουν, τοσοῦτοι περιέχονται ὑπὸ τούτου τοῦ πλήθους. Ἢ ὡς ἐπέχοντα, οἷον ὁ δρόμος οὗτος πέντε σταδίων ἐστί, ἤγουν, τοσούτους σταδίους ἐπέχει, ἢ ὡς ἐπικρατούμενα, οἷον τοσοῦτοι στάδιοι ἐπικρατοῦνται ὑπὸ τούτου τοῦ δρόμου. Καθὸ λέγεται καὶ ὁ δεῖνα τοσούτων ἐτῶν. Ἤγουν τοσαῦτα ἔτη ἡ ζωὴ αὐτοῦ ἐπέχει. Καὶ τὰ ἔπη τοῦ δεῖνος, ἤγουν, ἃ ἐπέχεται ὑπὸ τῆς ζωῆς αὐτοῦ·

454. Καὶ ζῶμα τοὐμὸν] σύμφωνον τοῦτο τῷ, ὧδε μὲν ἀσκεῖ σὺν στολῇ· ζῶμα δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα· ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας· δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας.

457. Ἐξ ὑπερτέρας] ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος.

458. Ἐπεμβῆναι] ἤγουν, λὰξ ἐπεμπηδῆσαι, καὶ ἐπιτεθῆναι.

459. Τολοιπὸν] ἤγουν κατὰ τὸ ἐπίλοιπον τοῦ χρόνου, τουτέστι, τὸ ἔμπροσθεν.

Χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα·
Οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον,
Πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
Ὅμως δ', ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε
Κἀμοί τ' * ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
Πάντων ἐν ᾅδου κειμένῳ κοινῷ πατρί.
ΧΟΡ. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ
Εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΟΡΕ. Δράσω· " τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
" Δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν·"
Πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
Σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω, φίλαι·
Ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
Δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Εἰ μὴ ἐγὼ παράφρων

* Aldus, ἐμοί τ'.

461. Οἶμαι μὲν] ἤγουν, ὑπολαμβάνω ὅτι διὰ φροντίδος ἐστὶ κἀκείνῳ τῷ πατρὶ ἡμῶν Ἀγαμέμνονι, πέμψαι ταῦτα τὰ δυσθέατα ὀνείρατα τῇ μητρὶ ἡμῶν Κλυταιμνήστρᾳ. Ἤγουν, οἶμαι μὲν οὖν, οἶμαι ὅτι ἦν ἐκείνῳ τῷ πατρὶ ἡμῶν τι μέλον, ἤγουν, τίς ποτε φροντὶς, πέμψαι τάδε τὰ δυσπρόσοπτα ὀνείρατα αὐτῇ τῇ μητρὶ ἡμῶν, Κλυταιμνήστρᾳ δηλονότι.

466. Πρὸς εὐσέβειαν] ἔστιν ὅτε τὴν πρὸς μετ' ὀνόματος κειμένην καὶ αἰτιατικῇ συντασσομένην, ἀντὶ ἐπιῤῥήματος λαμβάνουσιν, ὡς τὸ, μηδὲν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως· καὶ πρὸς ἀξίαν· καὶ ἐνταῦθα πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς.

468. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον] οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι· ἢ τὸ, οὐκ ἔχει λόγον, ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν. Ἄλλως· οὐ διστάγμου (φησὶ) καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο, πότερον δεῖ τούτων ποιεῖν ἢ προαιρεῖσθαι.

469. Ἀλλ' ἐπισπεύδειν] ἀλλὰ παρέχει σπεύδειν ἐπὶ τὸ δρᾶν. Σπεύδω ἐπὶ τόδε, ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

470. Πειρωμένῃ] Ἤγουν, ἁπτομένῃ καὶ ἀρχομένῃ τῶνδε τῶν ἔργων ἃ εἶπεν ἡ Ἠλέκτρα ἐμοὶ, ἔστω πρὸς θεῶν σιγὴ παρ' ὑμῶν, ὦ φίλαι. Ἰστέον ὅτι οὖσα εὐλαβὴς ἡ Χρυσόθεμις, ἀξιοῖ τὸν χορὸν κρύπτειν τὰ γινόμενα ἔργα. Διὸ καί φησι, ὦ φίλαι, πρὸς θεῶν ἔστω σιγὴ παρ' ὑμῶν, ἐμοὶ τῇ πειρωμένῃ τῶνδε τῶν ἔργων· τουτέστιν, ἔστω κρύψις παρ' ὑμῶν, ἐμοὶ τῇ ἐπιχειρούσῃ τῶνδε τῶν ἔργων· ἤγουν, ζητῶ γενέσθαι σιγὴν παρ' ὑμῶν, ἕνεκα ἐμοῦ τῆς ἐπιχειρούσης τῶνδε τῶν ἔργων· ἤγουν, σιωπήσατε ταῦτα τὰ ἔργα, ἃ ἐπιχειρῶ ποιεῖν ὅτι εἰ ἡ τεκοῦσα πεύσεται καὶ μαθήσεται ταῦτα, δοκῶ πῶς εἰς τὸ ἑξῆς μέλλω μέμψασθαι ἐμὲ, ἤγουν, ἐμαυτὴν, ὅτι ἐτόλμησα ἐργάσασθαι τήνδε τὴν πεῖραν πικράν.

474. Εἰ μὴ ἐγὼ παράφρων] κατανοήσας ὁ χορὸς ἀπὸ τοῦ ὀνείρου, ὡς ταχέως οἱ φονεῖς ὑπὸ

τῆς

Μάντις ἔφυν, καὶ γνώμας
Λειπομένα σοφᾶς,
Εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα
Χεροῖν κράτη· μέτεισιν, ὦ
Τέκνον, οὐ μακροῦ χρόνου·
Ὕπεςί μοι θράσος,
Ἁδυπνόων κλύουσαν
Ἀρτίως ὀνειράτων·
Οὐ γάρ ποτ᾽ ἀμναςεῖ γ᾽ ὁ φύσας
Ἑλλάνων ἄναξ,
Οὐδ᾽ ἁ παλαιὰ χαλκόπληκτος
Ἀμφήκης γένυς,

τῆς δίκης τιμωρηθήσονται, προμαντευόμενος δῆθεν φησὶ πρὸς τὴν Ἠλέκτραν, ὦ τέκνον, ὕπεςέ μοι θράσος, ἤγουν θαῤῥῶ, εἰ μὴ ἔφυν καὶ ὑπάρχω ἐγὼ μάντις παράφρων καὶ λειπομένη καὶ ἐςερημένη γνώμης σοφῆς, ἤγουν διανοίας φρονίμου· ἤγουν εἰ μὴ ἀνοήτως μαντεύομαι καὶ ἐςέρημαι γνώσεως φρονίμου, εἶσι καὶ ἐλεύσεται ἡ δίκη ἡ πρόμαντις, καὶ ἡ διὰ σημείων τινῶν προμαντευομένη, καὶ δεικνύουσα τὸ μέλλον, φερομένη ἐν ταῖν χεροῖν κράτη δίκαια· ἤγουν κατὰ τῶν φονέων τοῦ σοῦ πατρὸς δικαίαν ἐξουσίαν καὶ δύναμιν φερομένη, τοῦτ᾽ ἔςι, δικαίως αὐτοὺς μετὰ δυνάμεως τιμωρήσουσα, μέτεισι καὶ μετελεύσεται, καὶ τιμωρήσεται τινὰ κλύουσαν, καὶ ἀκούσασαν ἀρτίως καὶ πρὸ ὀλίγου ὀνειράτων ἡδυπνόων καὶ εὐφραντῶν ἡμῖν, οὐκ ἐπὶ μακροῦ χρόνου, ἀλλὰ ταχέως· ἤγουν, ταχέως τιμωρήσεται Κλυταιμνήςραν, ἥτις εἶδε τὰ ὀνείρατα· τοῦτο δὲ ὅμοιόν ἐςι τῷ παρ᾽ Ἀριςοφάνει,

"Ὁρῶ τιν᾽ ἐπὶ τοῦ βήματος καθεδούμενον·" καὶ τῷ,

"Ἥκει τῷ κακὸν, δώσει τὶς δίκην."

478. Δίκαια φερομένα] δίκαια φερομένη κράτη χεροῖν. Ἤγουν ἴσχυν δικαίαν ἐπιφερομένη διὰ τῶν χειρῶν.

479. Μέτεισιν] μέτεισι, φησὶ, παρέχουσα τούτοις δύναμιν ὡς χειρώσασθαι τοὺς ἐχθρούς. Ἄλλως· μέτεισι, κολάσει, οὐ διὰ μακροῦ χρόνου·

481. Ὕπεςί μοι] οἱ γράφοντες, Ὕπεςί μοι θάρσος, ἀμαθεῖς τῶν μέτρων. Διὰ τοῦτο θράσος χρὴ γράφειν, ὡς καὶ ἔν τινι τῶν παλαιῶν εὕρηται, ἵν᾽ οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς ἀντιςροφῆς· Εἰ δ᾽ ἄλλο μὲν σημαίνει θράσος, ἄλλο δὲ τὸ θάρσος, μὴ θαυμάσῃς, πολλὰ γὰρ τοιαῦτα καινοτομοῦσιν οἱ ποιηταὶ, μετατιθέντες τὰ σύμφωνα, καὶ μεταπλάττοντες τὰς λέξεις, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. Καὶ δηλοῖ τὸ κάρτος καὶ τὸ κραδία, καὶ τὰ τοιαῦτα.

484. Οὐ γάρ ποτ᾽ ἀμναςεῖ] οὐ γὰρ ἀμνημονεῖ (φησὶ) τῶν τολμηθέντων καθ᾽ ἑαυτοῦ ὁ βασιλεὺς, ἀλλ᾽ ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.

486. Χαλκόπληκτος] ἀπὸ κοινοῦ τὸ ἀμναςεῖ· οὐδ᾽ ἀμνημονεῖ (φησὶν) ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτὸν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων· χαλκόπληκτος δὲ λέγεται ὑπὸ χαλκοῦ πληγείς· ἐνταῦθα δὲ χαλκόπληκτος γῆνυς, ἡ ὑπὸ χαλκοῦ ἠλασμένη. Πάλαια δὲ ἀναφέρεται πρὸς τὴν πρᾶξιν, ἥτις πάλαι ἐγένετο.

Ib. Ἁ παλαιὰ γένυς] Ἀντὶ τοῦ, ὁ παλαιὸς πέλεκυς· ἀπὸ τοῦ ςόματος λέγει ὅλον τὸν πέλεκυν.

Ἅ νιν κατέπεφνεν αἰ-
σχίϛαις ἐν αἰκίαις.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἥξει δὲ καὶ πολύπους
Καὶ πολύχειρ, ἁ δεινοῖς
Κρυπτομένα λόχοις,
Χαλκόπους Ἐριννύς.
Ἄλεκτρ᾽, ἄνυμφα γὰρ ἐπέβα
Μιαιφόνων γάμων ἁμιλ-
λήμαθ᾽ οἷσιν οὐ θέμις·
Πρὸ τῶνδέ τοι μ᾽ ἔχει,
Μήποτε, μήποθ᾽ ἡμῖν
Ἀψεγὲς πελᾶν τέρας
Τοῖς δρῶσι καὶ συνδρῶσιν·
Ἤτοι μαντεῖαι βροτῶν
Οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
Οὐδ᾽ ἐν θεσφάτοις,
Εἰ μὴ τόδε φάσμα νυ-

κεκυν· παλαιὸν δὲ λέγει, ἀναφέρων πρὸς τὴν πρᾶξιν, ἥ τις πάλαι ἐγένετο.

489. Αἰκίαις] ὕβρεσιν· αἰκία, ὕβρις, ἀπὸ τοῦ μὴ ἐοικέναι· ἀφ᾽ οὗ καὶ τὸ ἀεικής· Γένυς δὲ, εἶδος πελέκεως.

497. Πρὸ τῶνδέ τοι μ᾽ ἔχει] τὸ τοι, σύνδεσμος παραπληρωματικός. Λείπει δὲ τὸ ἐλπὶς, ἢ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων (Αἴγισθον φησὶ καὶ Κλυταιμνήϛραν) τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν· ἀλλ᾽ ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως· θαῤῥῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔϛαι ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. Ἄλλως· ὑπὲρ τῶνδε ἔχει ἐμὲ τοῦτο μή ποτε πελᾶν· ἤγουν πλησιάζειν ἡμῖν τοῖς δρῶσι, καὶ τὰ ἑξῆς· τὸ δὲ τέρας ἀντὶ τοῦ σημείου.

499. Τέρας] τὸ τοῦ ὀνείρου τέρας λέγει.

500. Τοῖς δρῶσι καὶ συνδρῶσιν] ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.

501. Ἤτοι μαντεῖαι] ἢ μαντεῖαι ἀνθρώπων οὐκ εἰσὶν ἐν ὀνείροις δεινοῖς, ἀντὶ τοῦ ἀληθεύουσιν, οὐδὲ ἐν θεσφάτοις, ἤγουν χρησμοῖς ἀληθεύουσιν, εἰ μὴ τὸ φάσμα τόδε τῆς νυκτὸς εὖ κατασχήσει, ἀντὶ εὖ ἕξει.

Ib. Ἤτοι μαντεῖαι] ἤγουν εἰ μὴ ταχέως δώσουσι δίκην, ὥςπερ ὁ ὄνειρος ὑποτίθεται, οὐ χρὴ τὸ ἀπὸ τοῦδε ὀνείρασι προσέχειν, καὶ ἐκ χρησμῶν τὸ μέλλον ἔσεσθαι προορᾶν.

502. Ἐν δεινοῖς ὀνείροις] τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας ὅταν ὦσι δεινοί.

503. Θεσφάτοις] τοῖς τῶν ὀνείρων.

505. Ἐν]

κτὸς εὖ κατασχήσει.

ΕΠΩΔΟΣ.

῏Ω Πέλοπος ἁ πρόσθεν
Πȣλύπονος ἱππεία,
῾Ως ἔμολες αἰανὴ
Τᾷδε γᾷ.
Εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη
Παγχρύσων δίφρων
Δυστάνοισιν αἰκίαις
Πρόῤῥιζος ἐκριφθεὶς *,
Οὔτις πω
῎Ελειπεν ἐκ τȣ̃δ᾽ οἴκȣ
Πȣλύπονος αἰκία.

ΙΑΜΒΟΙ.

ΚΛΥ. Ἀνειμένη μὲν (ὡς ἔοικας) αὖ στρέφῃ·
Οὐ γὰρ πάρεσ᾽ Αἴγισθος, ὅς σ᾽ ἐπεῖχ᾽ ἀεὶ

* Turn in marg. ἐκριφεὶς.

505. Εὖ κατασχήσει] ȣ̓ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ.

506. ῏Ω Πέλοπος] οἷον ἦν καὶ τὸ πρῶτον, πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε· φησὶ δὲ Φερεκύδης ὅτι Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν Ἱπποδάμειον, ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τȣ̃ Μυρτίλȣ. Καθ᾽ ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔῤῥιψεν εἰς θάλασσαν.

507. Πȣλύπονος ἱππεία] πολύπονος γενομένη πᾶσιν Ἀργείοις· καὶ ἑρμηνεύει αὐτὸ, λέγων ὡς ἔμολες αἰανὴ τᾷδε γᾷ· αἰανὴ δὲ, θρηνητική. Ἐξ ȣ̃ γίνεται αἶ, αἴ. Ἱππασία παρὰ τοῖς κοινοῖς· ἱππεία δὲ καὶ ἱπποσύνη παρὰ τοῖς ποιηταῖς.

Ib. Πȣλύπονος ἱππεία] πȣλύπονος χρὴ γράφειν ἐνταῦθα καὶ ἐν τῷ ιβ´ κώλῳ, ἵν᾽ ᾖ παιονικὰ τὰ κῶλα, ὡς καὶ τὰ λοιπά.

508. Αἰανὴ] Ἀπὸ τȣ̃ αἰανὸν τὸ ποικίλον καὶ δόλιον. Λέγεται δὲ ȣ̆τω καὶ τὸ σκοτεινόν· αἰανὴ γȣ̃ν, πικρὰ καὶ ἐπώδυνος καὶ σκοτεινὴ καὶ θλιβερὰ ἐπῆλθες ἐν ταύτῃ τῇ ἡμετέρᾳ γῇ.

510. Εὖτε γὰρ ὁ ποντισθεὶς] ὁ νȣ̃ς τοιȣ̃τός ἐστιν, ἀφ᾽ ȣ̃ ὁ Μυρτίλος ἀπέθανεν, ȣ̓ διέλιπεν αἰκία τȣ̀ς πολυκτήμονας δόμȣς. Ὁ γὰρ Ἑρμῆς πατὴρ Μυρτίλȣ ἐμήνισε τοῖς Πελοπίδαις.

513. Αἰκίαις] αἰκισμοῖς, ὕβρεσι.

514. Πρόῤῥιζος] ἀντὶ τȣ̃ παντάπασιν.

516. Ἐκ τȣ̃δ᾽ οἴκȣ] ἐπεὶ καὶ οἴκȣς καὶ οἴκȣ εὕρηται, πρὸς μὲν τὸ οἴκȣς ȣ̆τω λέγε, ἐκ τȣ̃δε τȣ̃ καιρȣ̃ ȣ̆τις πω καὶ ȣ̓δεμία αἰκία πολύπονος ἔλειπε τȣ̀ς οἴκȣς· πρὸς δὲ τὸ οἴκȣ, ȣ̆τως, ȣ̆τις καὶ ȣ̓δεμία αἰκία πολύπονος ἔλειπεν ἐκ τȣ̃δε τȣ̃ οἴκȣ.

518. Ἀνειμένη] ἄνεσιν ἔχȣσα. Πανταχόθεν

Μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
Νῦν δ' ὡς ἄπες' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
Ἐμοῦ γε· καί τοι πολλὰ πρὸς πολλούς με δὴ
Ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
Ἄρχω, καθυβρίζουσα καί σε καὶ τὰ σά.
Ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
Λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
Πατὴρ γὰρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεὶ,
Ὡς ἐξ ἐμοῦ τέθνηκεν. Ἐξ ἐμοῦ· καλῶς
Ἔξοιδα *, τῶνδ' ἄρνησις οὐκ ἔνεςί μοι.
Ἡ γὰρ δίκη νιν εἷλε, κ' † οὐκ ἐγὼ μόνη·
Ἧ, χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες.
Ἐπεὶ πατὴρ οὗτος σὸς, ὃν θρηνεῖς ἀεὶ,
Τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
Θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
Λύπης ὅτ' ἔσπειρ', ὥςπερ ἡ τεκοῦσ' ἐγώ.
Εἶεν· δίδαξον δή με τοῦ χάριν τίνων ‡

* ALDUS, ἐξ ἐμοῦ. καλῶς ἔξοιδα. † ALDUS, εἷλεν, οὐκ.

‡ ALDUS, τοῦ χάριν τίνος.

θεν δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής.

Ib. Στρέφῃ] ἀναςρέφῃ. Γράφεται τρέφῃ, ἀντὶ τοῦ διάγεις.

520. Αἰσχύνειν] ἀντὶ τοῦ καθ' ὑμῶν λέγειν. Ἄλλως· Ὅς ἐπεῖχέ σε μὴ αἰσχύνειν τοὺς φίλους. Ἁρμόζει δὲ καὶ χωρὶς τοῦ μὴ λέγεσθαι, οἷον ἐπεῖχέ σε αἰσχύνειν τοὺς φίλους. Ἔνθα τὸ ἐπεῖχε, τὸ ἐκώλυε μόνον δηλοῖ, ἐν δὲ τῷ ἐπεῖχε μὴ αἰσχύνειν, ἀντὶ τοῦ κωλύων ἐποίει, λαμβάνεται.

522. Πρὸς] Πρὸς τὸ, ὡς θρασεῖα ἀποδίδοται τὸ καταπολύ.

527. Πρόσχημ'] Ἤγουν, πρόφασις, λέγεται καὶ ὁ καλλωπισμός· πρόσχημα, γάρ σοι ἀεὶ ὁ πατὴρ, ὅτι ἐξ ἐμοῦ τέθνηκεν, οὐδὲν ἄλλο· ἀντὶ τοῦ, πρόσχημά σοι τὸ τεθνηκέναι τὸν πατέρα ἐξ ἐμοῦ· τοῦτο καὶ μετὰ μετοχῆς δύναται λέγεσθαι· οἷον πρόσχημά σοι ὁ πατὴρ ἐξ ἐμοῦ τεθνηκώς.

528. Τέθνηκεν] ἐδύνατο δὲ λέγεσθαι καὶ μετὰ μετοχῆς, τεθνηκὼς πατήρ.

Ib. Ἐξ ἐμοῦ] καλῶς ἴδιον ῥητορικῆς, τὸ μὴ ἀρνεῖσθαι μὲν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν· οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητὴς, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

534. Οὐκ ἴσον λύπης ἐμοὶ] Ἀντὶ τοῦ, οὐκ ἴσης ἐμοὶ λύπην καμὼν, ἀντὶ τοῦ ὑπομείνας, ὅτε ἔσπειρεν, ὥςπερ ἐγὼ ἡ τίκτουσα. ἤγουν, ὥςπερ ἐγὼ, ὅτε ἔτικτον, ὑπέμεινα δηλονότι.

536. Τοῦ χάριν τίνων ἔθυσεν] Ἤγουν, τίνος χάριν

Ἔθυσεν αὐτήν; πότερον Ἀργείων ἐρεῖς;
Ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
Ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω; κτανὼν
Τἄμ', οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
Πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ;
Οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
Καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
Ἢ τῶν ἐμῶν ᾅδης τίν' ἵμερον τέκνων
Ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
Ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
Παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
Οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
Δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
Φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
Ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις

χάριν ἀποδιδοὺς ἐθυσίασεν. Τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς· ἔστι δὲ μετοχὴ, καὶ οὐ γενικὴ πληθυντική.

541. Πότερον ἐκείνῳ παῖδες] λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν. Ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι. Ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ, λέγοντι,

"Ἣ τέκεθ' Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ."
"Ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον
"Ἄρηος."

Οὐ περὶ μεγάλων δὴ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν. Ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν, ἐχρῆν. Ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. Ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς Κλυταιμνήστρας.

Ib. Παῖδες διπλοῖ] Ἑρμιόνη καὶ Νικόστρατος.

543. Ὃ δ'] Τὸ οὗτος, ἐπὶ τῶν ὁρωμένων λέγεται καὶ δακτυλοδεικτουμένων. Ἢ ἐπὶ τῶν εἰς ὄψιν ἀγομένων ἀπὸ διηγήσεως. Ἐνταῦθα οὖν οὐκ ἐπὶ διηγήσει τοῦ πλοῦ ἐπάγει τὸ, οὗτος, ἵνα καλῶς ἀποτείνῃ ἡ δεῖξις πρὸς ἃ διηγήσατο. Ἀλλ' ἀναφορὰν θέλει δηλοῦν ὅλως μετὰ δείξεως, ἣν δηλοῖ τὸ ἐκεῖνος, ἔστιν οὖν τὸ ὅδε, ἀντὶ τοῦ, ἐκεῖνος.

544. Ἢ τῶν ἐμῶν ᾅδης] τὸ ἑξῆς, ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα ᾅδης ἔσχεν ἢ τῶν ἐκείνης.

Ib. Ἢ τῶν ἐμῶν ᾅδης] Ἆρα ὁ ᾅδης ἔσχε τινὰ ἐπιθυμίαν τῶν ἐμῶν τέκνων εὐωχηθῆναι πλέον, παρὰ ἀπὸ τῶν ἐκείνης τῆς Ἑλένης παίδων δηλονότι; ἆρα ὁ πόθος τῶν ἐξ ἐμοῦ παίδων ἠμελεῖτο τῷ πανώλει πατρὶ Ἀγαμέμνονι, τῷ δὲ Μενελάῳ ἐνυπῆρχε πόθος τῶν αὐτοῦ παίδων.

Ib. Τίν' ἵμερον] τοῦτ' οὐκ ἔστι τίνα ἵμερον, εἰ διαλελυμένως εἴποις, ἀλλὰ τινὰ ἵμερον. Διὰ δὲ τὸ κούφισμα μετετέθη ὁ τόνος.

547. Παρεῖτο] ἠμελεῖτο, παρηρεῖτο.

551. Ἐγὼ μὲν οὖν] Τουτέστιν, ἐγὼ μὲν ἐφ' οἷς ἐποίησα, οὐδὲν μεταμέλομαι, οὐδὲ φαίνομαί σοι κακῶς φρονεῖν. Λαβοῦσα σὺ δικαίαν

γνώμην,

Δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
Γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.
ΗΛΕ. Ἐρεῖς μὲν οὐχὶ νῦν γε μ᾽ ὡς ἄρξασά τι
Λυπηρὸν, εἶτα σοῦ τάδ᾽ ἐξήκουσ᾽ ὕπο·
Ἀλλ᾽ ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος * θ᾽ ὕπερ
Λέξαιμ᾽ ἂν ὀρθῶς, τῆς κασιγνήτης θ᾽ ὁμοῦ.
ΚΛΥ. Καὶ μὴν ἐφίημ᾽· εἰ δέ μ᾽ ὧδ᾽ ἀεὶ λόγοις
Ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛΕ. Καὶ δὴ λέγω σοί· πατέρα φὴς κτεῖναι; τίς ἂν
Τούτου λόγος γένοιτ᾽ ἂν αἰσχίων ἔτι,
Εἴτ᾽ οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι
Ὡς οὐ δίκῃ γ᾽ ἔκτεινας, ἀλλά σ᾽ ἔσπασε
Πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
Ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
Ποινῆς, τὰ πολλὰ πνεύματ᾽ ἔσχ᾽ ἐν Αὐλίδι·

* Aldus, τεθνηκότος γ᾽ ὕπερ.

γνώμην, ἤγουν, εἰποῦσα σὺ δίκαια, ψέγε τοὺς πέλας, ἤγουν ἐμέ.

552. Δύσθυμος] μετάμελος, κακόβουλος.

553. Γνώμην δικαίαν] οἷον λογισμῷ χρησαμένη δικαίῳ, τότε δηλονότι.

Ib. Τοὺς πέλας ψέγε] ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. Τινὲς τοὺς πέλας, τοὺς περὶ Ἀγαμέμνονα ἔγνωσαν.

554. Ἐρεῖς μὲν οὐχὶ νῦν] οὐκ ἂν εἴποις ὡς λυπήσασά με, τοιαῦτα ἀντακήκοας; ἐμοῦ γὰρ εἰπούσης οὐδὲν, σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας.

Ib. Ἐρεῖς μὲν] προκατάστασις.

558. Εἰ δὲ μ᾽ ὧδ᾽ ἀεὶ λόγοις] εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

559. Λυπηρὰ] Ἤγουν, λύπην ἐμποιοῦσα εἰς τὸ κλύειν, ἤγουν ἀκούειν τινὰ σοῦ δηλονότι. Ὅμοιον τῷ, Ἡδὺς ὁ ποταμὸς πιεῖν. Ἤγουν εἰς τὸ πιεῖν, ἤγουν, εἰς τὸ πιεῖν τινὰ ἐξ αὐτοῦ.

560. Πατέρα φὴς κτεῖναι] ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. Καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴγε δικαίως, Δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ. Δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι.

561. Αἰσχίων ἔτι] ἀντὶ τοῦ ἀκμὴν παρὰ τοῖς κοινοῖς, οἷον, ἔτι νέος ἐστὶ, καὶ ἔτι ποιῶ τόδε. Λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. Λέγεται καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς, οἷον οὐ μὴ ἔτι ποιήσω τόδε. Ἔστι καὶ περισσὸν, ὡς ἐνταῦθα.

563. Ὡς οὐ δίκῃ γ᾽ ἔκτεινας] ἐναντίον τῷ, ἡ γὰρ δίκη νιν εἷλε, τὸ ὡς οὐ δίκῃ γ᾽ ἔκτεινας.

Ib. Ἀλλά σ᾽ ἔσπασε πειθὼ] αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν·

Ib. Ἔσπασε] παρήγαγε, παρέπεισεν.

565. Τίνος ποινῆς] λείπει ἡ διά.

Ἢ 'γὼ φράσω· κείνης γὰρ ȣ̓ θέμις μαθεῖν.
Πατήρ ποθ' οὑμὸς (ὡς ἐγὼ κλύω) θεᾶς
Παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
Στικτὸν κεράςην ἔλαφον, ȣ̔ κατὰ σφαγὰς
Ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών.
Κᾀκ τȣ̃δε μηνίσασα Λητῴα κόρη
Κατεῖχ' Ἀχαιȣ̀ς, ὡς πατὴρ ἀντίςαθμον
Τȣ̃ θηρὸς ἐκθύσειε τὴν αὑτȣ̃ κόρην.
Ὧδ' ἦν τὰ κείνης θύματ'· ȣ̓ γὰρ ἦν λύσις
Ἄλλη ςρατῷ πρὸς οἶκον, ȣ̓δ' εἰς Ἴλιον.
Ἀνθ' ὧν βιασθεὶς πολλὰ, κᾀντιβὰς, μόλις
Ἔθυσεν αὐτὴν, ȣ̓χὶ Μενέλεω χάριν.
Εἰ δ' ȣ̓̃ν (ἐρῶ γὰρ καὶ τὸ σὸν) κεῖνον θέλων
Ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τȣ̃τȣ θανεῖν
Χρῆν αὐτὸν ȣ̔́νεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
Ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
Μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
Εἰ γὰρ κτενȣ̃μεν ἄλλον ἀντ' ἄλλȣ, σύ τοι
Πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.

568. Πατήρ ποθ'] διήγησις.

Ib. Θεᾶς κατ' ἄλσος, ἤγȣν σύνδενδρον τόπον ἀνατεθειμένον τῇ θεᾷ.

572. Λητῴα κόρη] Αἱ κτητικαὶ ἀντωνυμίαι δύναμιν ἔχȣσι γενικῶν καὶ κτητικῶν γενικῶν· καὶ πατρικῶν γενικῶν. Οἷον, ὁ ἐμὸς υἱός· καὶ ὁ ἐμὸς οἶκος· καὶ ἡ ἐμὴ πατρίς. Τὰ δὲ κτητικὰ ὀνόματα γενικῶν κτητικῶν μόνον ἔχȣσι δύναμιν, οἷον Πλατωνικὸν βιβλίον, ȣ̓ μὴν καὶ Πλατωνικὸς υἱός. Καὶ Ἑκτόρειος ζωςὴρ, ȣ̓ μὴν καὶ Ἑκτόρειος υἱός. Ἀλλ' ὁ υἱὸς τȣ̃ Ἕκτορος, ἢ Ἑκτορίδης χωρὶς τȣ̃ υἱȣ̃. Οἱ ποιηταὶ δὲ καὶ Ἑκτόρειος υἱὸς λέγȣσι, καὶ Λητῴα θυγάτηρ, ὡς ἐνταῦθα. Ἔςι γὰρ Λητῴα κόρη, ἡ θυγάτηρ τῆς Λητȣ̃ς, ἤγȣν Ἄρτεμις.

557. Κᾀντιβὰς] ἀντὶ παραταττόμενος, καὶ μὴ βȣλόμενος. Διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκȣ́σιον τῆς προαιρέσεως. Ἀντιβαίνειν δὲ καὶ ἀντισπᾷν καὶ ἀντιτείνειν, ταὐτόν· παρὰ δὲ τοῖς κοινοῖς, ἀντιπατεῖν.

579. Εἰ δ' ȣ̓̃ν (ἐρῶ γὰρ καὶ τὸ σὸν) πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλȣ ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς.

583. Μετάγνοιαν] ἀντὶ τȣ̃ μετάνοιαν, τȣτέςι μεταμέλειαν. Ἄγνοια ἡ παντελὴς ἀφροσύνη· ἄγνοια δὲ, ἑνός τινος πράγματος. Μετάνοια δὲ καὶ μετάγνοια ταὐτὸν, πλὴν ὅτι τὸ μέν ἐςιν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ μετάνοια· τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς.

584. Ἄλλον ἀντ' ἄλλȣ] Ἤγȣν, τὸν Ἀγαμέμνονα ἀντὶ τȣ̃ Μενελάȣ.

585. Εἰ δίκης] Τȣτέςιν, εἰ ἀξία ὑπάρχεις δίκης καὶ τιμωρίας.

586. Ἀλλ'

Ἀλλ᾽ εἰσόρα μὴ σκῆψιν ἐκ ἐσαν τιθῇς.
Εἰ γὰρ θέλεις, δίδαξον ἀνθ᾽ ὅτε τανῦν
Αἴσχιςα πάντων ἔργα δρῶσα τυγχάνεις,
Ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ᾽ ἕ
Πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
Καὶ παιδοποιεῖς· τὲς δὲ πρόσθεν εὐσεβεῖς,
Κἀξ εὐσεβῶν βλαςόντας, ἐκβαλὲσ᾽ ἔχεις.
Πῶς ταῦτ᾽ ἐπαινέσαιμ᾽ ἄν; ἢ καὶ τὲτ᾽ ἐρεῖς,
Ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
Αἰσχρῶς δ᾽, ἐάνπερ καὶ λέγῃς· ἐ γὰρ καλὸν
Ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς ἕνεκα.
Ἀλλ᾽ ἐ γὰρ ἐδὲ νεθετεῖν ἔξεςί σε,
Ἣ πᾶσαν ἵης * γλῶσσαν ὡς τὴν μητέρα
Κακοςομἑμεν· καί σ᾽ ἔγωγε δεσπότιν
Ἢ μητέρ᾽ ἐκ ἔλασσον εἰς ἡμᾶς νέμω,

* TURN. in marg. ἱεῖς.

586. Ἀλλ᾽ εἰσόρα] ὅρα (φησὶ) μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.

587. Εἰ γὰρ θέλεις] ἔνςασις καὶ κατηγορία τῶν ἔργων ὧν ἀθέσμως πράττει.

588. Τυγχάνεις] τὸ τυγχάνω εὑρισκόμενον μετὰ μετοχῆς εἰς τὸ τῆς μετοχῆς ῥῆμα ἀναλύεται ὁ λόγος· οἷον δρῶσα τυγχάνεις, ἀντὶ τὲ ἔδρασας.

591. Εὐσεβεῖς] ἀντὶ τὲ ἐννόμες· τετέςιν ἐξ ἐννόμε γάμε.

592. Εὐσεβῶν] Ἀντὶ τὲ ἐν νόμων, τετέςιν ἐννόμῳ γάμῳ ἡρμοσμένων.

597. Ἀλλ᾽ ἐ γὰρ ἐδὲ νεθετεῖν ἔξεςί σε] ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη, φησὶν ὅτι ἐδὲ νεθετεῖν σε δεῖ. Χαλεπαίνεις γὰρ ὡς λοιδορεμένη. Τὸν ἔλεγχον ἐν νεθεσίαν ὠνόμασεν.

598. Πᾶσαν ἵης γλῶσσαν] ἀντὶ τὲ, πάντα λόγον κινεῖς· ἀκρατῶς πάντα λέγεις. Ἐπεὶ ὄργανα τὲ λόγε εἰσὶν ἡ γλῶττα, τὰ χείλη, καὶ τὸ ςόμα· οἰκείως ἐνίοτε ταῦτα, ἀντὶ τε λόγε λαμβάνεται· ὡς ἐνταῦθα κακοςομἑμεν, ἀντὶ τὲ κακῶς λέγομεν· καὶ πᾶσαν γλῶσσαν, ἀντὶ τὲ πάντα λόγον.

599. Δεσπότιν] Ἰςέον ὅτι τὰ εἰς ης λήγοντα ὀνόματα, εἰ μὲν διγενῆ ὄντα, ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ. Καὶ τὸ ἐδέτερον ἔχει εἰς ες λῆγον. Οἷον ὁ εὐτυχὴς, ἡ εὐτυχὴς, τὸ εὐτυχές· διγενῆ γὰρ λέγονται, διότι ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ, καὶ ἔςι μία φωνὴ ὁμοία, τὰ δύο, καὶ τὸ ἐδέτερον πάλιν λῆγον εἰς ες ἑτέρα φωνὴ, καὶ διὰ τἔτο λέγεται διγενῆ· εἰ δὲ κλίνεται ἰσοσυλλάβως τὸ ἀρσενικὸν, καὶ ἐδέτερον ἐκ ἔχει, ἐχ ὁμοφωνεῖ τὸ θηλυκὸν τῷ ἀρσενικῷ· ἀλλὰ τὸ μὲν ἀρσενικὸν εἰς ης λήγεται διὰ τὲ η, οἷον ὁ δεσπότης. Τὸ δὲ θηλυκὸν εἰς ις, διὰ τὲ ι, οἷον ἡ δεσπότις. Καὶ τὸ μὲν ἀρσενικὸν κλίνεται ὡς ὁ Κρύσης. Τὸ δὲ θηλυκὸς ὡς ὁ Πάρις·

603. Ἔξω

Ἣ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
Πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συνόμου.
Ὁ δ' ἄλλος, ἔξω χεῖρα σὴν μόλις φυγὼν,
Τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον.
Ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
Ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
Ἔδρων ἂν, εὖ τοῦτ' ἴσθι· τοῦδέ γ' οὕνεκα
Κήρυσσέ μ' εἰς ἅπαντας εἴτε χρὴ κακὴν,
Εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
Εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
Σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

ΧΟΡ. Ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
Ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.

ΚΛΥ. Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
Ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,

603. Ἔξω φυγὼν] Ἀντὶ τοῦ ἐκφυγών.

Ib. Χεῖρα σὴν] Ἀντὶ τοῦ, τῆς σὴν κατάσχεσιν, κάκωσιν.

604. Δυστυχῆ τρίβει βίον] Ἤγουν, μετὰ κατατριβῆς καὶ κακώσεως ἀνύει.

605. Ὃν πολλὰ μιάστορα] Ἤγουν, καὶ πολλὰ ἐπῃτιάσω ἐμέ· λέγουσα, ὅτι δυνατόν ἐστι τρέφειν σοι ὃν, ἤγουν αὐτὸν τὸν Ὀρέστην μιάστορα, τουτέστιν φονέα, καὶ μὰ τὴν ἀλήθειαν δηλονότι, εἴπερ ἔσθενον τοῦτο, ἔδρων ἄν· εὖ τοῦτο ἴσθι, ἔπρασσον ἂν τόδε εἴπερ ἔσθενον· καὶ γὰρ σὸν εἰμὶ τέκνον, καὶ τῶν σῶν ἠθῶν μέτεστί μοι. Οἷον γὰρ οἱ γονεῖς, τοιοῦτοι καὶ οἱ παῖδες.

607. Ἔδρων ἂν] ὑπόθεσις.

609. Εἴτε στόμαργον] εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς (ὡς φὴς) οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σοι φανήσομαι. Ζηλῶ σε (φησὶν) ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτω κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ.

610. Εἰ γὰρ πέφ.] Εἰ γὰρ γέγονα ἔνοχος τούτοις τοῖς κακοῖς, ἤγουν στόμαργος, κακὴ, καὶ ἀναιδὴς, ὡς φῇς, οὐ καταισχύνω σου τὴν φύσιν. Διότι οὐ φαίνομαι ἐλάττων σου, ἀλλ' ὁμοία. Καὶ ζηλῶ σε κατὰ πάντων· καὶ ὥσπερ σὺ ἔθρεψας Αἴγισθον κατὰ Ἀγαμέμνονος, οὕτω καὶ αὐτὴ θρέψω Ὀρέστην κατὰ σοῦ.

Ib. Ἔργων] Ἤγουν τῆς ἀναιδείας, τῆς φλυαρίας, καὶ τῶν τοιούτων.

611. Σχεδόν τι] ἴσως καὶ ἀντὶ τοῦ πλησίου.

Ib. Καταισχύνω] ἐξουθενημένην ποιῶ τὴν σὴν φύσιν, ἐπεὶ καὶ αὐτὴ οὐκ ἀμέτοχος τούτων ἐστίν.

612. Ὁρῶ μένος πνέουσαν] ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησὶν, Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου τοῦ μένους φροντίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. Εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου, φησὶ, ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος.

613. Οὐκ ἔτ' εἰς ὁρῶ] ἀντὶ τοῦ οὐκ ἐννοῶ.

614. Ποίας δέ μοι] ποίας γνώσεως χρεία ἐστὶν ἐμοὶ εἰς τὸ ἰδεῖν εἰ δίκαια αὕτη λέγει, ἥτις τοιαῦτα ὕβρισε τὴν τεκοῦσαν;

615. Ἥτις τοιαῦτα] Ἤγουν τοιαύτας ὕβρεις;

Καὶ ταῦτα τηλικȣ̃τος; ἆρ' ȣ̓ σοι δοκεῖ
Χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ΗΛΕ. Εὖ νῦν ἐπίςω τῶνδέ μ' αἰσχύνην ἔχειν;
Κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὅθ' ȣ̔́νεκα
Ἔξωρα πράσσω κȣ̓κ ἐμοὶ προςεικότα.
Ἀλλ' ἡ γὰρ ἐκ σȣ̃ δυςμένεια καὶ τὰ σὰ
Ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
" Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται."
ΚΛΥ. Ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
Καὶ τἄργα τἀμὰ, πόλλ' ἄγαν λέγειν ποιεῖ;
ΗΛΕ. Σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
Τȣ̓̃ργον· " τὰ δ' ἔργα τȣ̀ς λόγȣς εὑρίσκεται."
ΚΛΥ. Ἀλλ' ȣ̓, μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσȣς
Τȣ̃δ' ȣ̓κ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛΕ. Ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
Λέγειν ἃ χρῄζοιμ', ȣ̓δ' ἐπίςασαι κλύειν;

ρεις ὕβριστεν· ἀντὶ τȣ̃ τοιαύτας ἀτιμίας ἠτίμασεν.

616. Καὶ ταῦτα τηλικȣ̃τος] ὑπὲρ ἐπιτάσεως, ὅτι εἰ καὶ δοίη τὶς ἐξȣσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' ȣ̓ ταύτῃ παρθένῳ ȣ̓́σῃ ἔπρεπε πηλικαύτῃ.

617. Αἰσχύνης ἄτερ] ἀντὶ τȣ̃ ἀναισχύντως. Τὸ χωρὶς, τὸ ἄνευ, καὶ τὸ δίχα, κοινά· τὸ δὲ ἄτερ, ποιητικόν.

618. Εὖ νῦν] καὶ εἰ μὴ δοκῶ καὶ φαίνομαί σοι τῇ Κλυταιμνήςρᾳ ἔχειν ἐμὲ αἰσχύνην ἕνεκα τῶνδε, ἀλλὰ νῦν ἐπίςασο καλῶς ὅτι αἰσχύνομαι.

Ib. Ἐπίςω] Ἐπίςασο· καὶ κατὰ ἀποβολὴν τȣ̃ σ', ἐπίςαο. Κατὰ δὲ κρᾶσιν τȣ̃ αο εἰς ω μέγα, ἐπίςω.

Ib. Τῶνδε] Ἀντὶ τȣ̃, ἕνεκα τȣ́των αἰσχύνεσθαι.

620. Ἔξωρα πράσσω] κἀγὼ (φησὶ) αἰσθάνομαί ἐπονείδιςα πράσσȣσα, καὶ ȣ̓ κατὰ τὴν ἐμὴν ὥραν.

621. Καὶ τὰ σὰ ἔργα ἐξαναγκάζει με] ἐμφατικώτερον τὸ ἐξαναγκάζει με, διὰ τῆς προθέσεως.

623. Ἐκδιδάσκεται] Διδάσκεται τίς ὑπό τινος· καὶ διδάσκεται ὑπό τινος τοιαύτη διδασκαλίᾳ· καθ' ὃ λέγεται ἐνταυθα.

624. Ἦ σ' ἐγὼ, καὶ τάμ' ἔπη] ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζȣσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ Κλυταιμνήςρα.

628. Θράσȣς τȣ̃δ' ȣ̓κ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ] πιθανῶς ἐπὶ τῶν ἀγρῶν ἔφη τὸν Αἴγισθον, ὑπὲρ τȣ̃ παῤῥησίαν δοθῆναι τῇ κόρῃ.

630. Ἐκφέρῃ] ἐκκλίνεις, τὸ ἐκφέρεσθαι, κυρίως ἐπὶ νεκρȣ̃ λέγεται, καὶ ὅταν φέρῃ τινα ἵππος ἔξω τῆς εὐθείας ὁδȣ̃· ἀφ' ȣ̓ κατὰ μεταφορὰν λέγεται ἐνταῦθα τὸ πρὸς ὀργὴν ἐκφέρῃ.

Ib. Ἐκφέρῃ] ἤγȣν, ἐκκλίνεις τȣ̃ προσήκοντος, ἐκτρέπῃ. Ἔξω τȣ̃ πρέποντος φέρῃ ὥσπερ ὑπὸ ἵππȣ.

Ib. Μεθεῖσα] ἤγȣν, ἐνδȣ̃σα, παραχωρήσασα.

631. Χρῄζοιμι] θέλοιμι. χρῄζω, τὸ χρείαν

ἔχων

ΚΛΥ. Οὔκȣν ἐάσεις ȣ̓δ᾽ ὑπ᾽ εὐφήμȣ βοῆς
Θῦσαί μ᾽, ἐπειδὴ σοί γ᾽ ἐφῆκα πᾶν λέγειν;
ΗΛΕ. Ἐῶ, κελεύω· θῦε, μηδ᾽ ἐπαιτιῶ
Τοὐμὸν ϛόμ᾽· ὡς οὐκ ἂν πέρα λέξαιμ᾽ ἔτι.
ΚΛΥ. Ἔπαιρε δὴ σὺ θύμαθ᾽ ἡ παρȣ̃σά μοι
Πάγκαρπ᾽, ἄνακτι τῷδ᾽ ὅπως λυτηρίȣς
Εὐχὰς ἀνάσχω δειμάτων ἃ νῦν * ἔχω.
Κλύοις ἂν ἤδη, Φοῖβε προϛατήριε,
Κεκρυμμένην μȣ βάξιν· ȣ̓ γὰρ ἐν φίλοις
Ὁ μῦθος, ȣ̓δὲ πᾶν ἀναπτύξαι πρέπει
Πρὸς φῶς, παρȣ́σης τῆσδε πλησίας ἐμοί.
Μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
Σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν·
Ἀλλ᾽ ὧδ᾽ ἄκȣε· τῇδε γὰρ κἀγὼ φράσω.
Ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα

* Ald. ὧν νῦν.

ἔχω, καὶ τὸ θέλω· ὧν τὸ μὲν συντάσσεται γενικῇ, τὸ χρείαν ἔχω, τὸ δὲ θέλω, αἰτιατικῇ.

632. Οὔκȣν ἐάσεις] ȣ̓κ ἐμμενεῖς οἷς πρότερον εἶπα; ἔφη γὰρ, καὶ μὴν ἐφίημι. Πιθανῶς δέ· ȣ̓ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμȣ̃σθαι τὸν ἡττώμενον.

634. Ἐῶ, κελεύω· θῦε, μηδ᾽ ἐπαιτιῶ] δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν· διὸ ȣ̓ ποιεῖται πλείονας ἀντιῤῥήσεις.

636. Ἔπαιρε δὴ σὺ] πρὸς θεράπαιναν φησί.

Ib. Θύμαθ᾽] θυμιάματα.

637. Πάγκαρπ᾽] πάγκαρπα ὑπερβολικῶς λέγεται. Ἀντὶ τȣ̃, ἐκ διαφόρων καρπῶν. ἐκ παντοίων καρπῶν.

Ib. Λυτηρίȣς] ἤγȣν δυναμένȣς λυτρȣ̃σθαι καὶ ἐξελευθερȣ̃ν τῶν δειμάτων.

638. Εὐχὰς ἀνάσχω] ἀναπέμψω· ἀνέχω, ἐπὶ εὐχῆς, τὸ ἀναπέμπω· ἀνέχω, ἐπὶ χειρῶν, ἀντὶ τȣ̃ ὑψῶ· ἀνέχω, ἐπὶ βάρȣς ἀντὶ τȣ̃ βαϛάζω· ἀνίσχει δὲ ὁ ἥλιος, ἀντὶ τȣ̃ ἀνατέλλει· καὶ ἀνίσχει ἡ βοτάνη, ἀντὶ τȣ̃ βλαϛάνει· ἀνίσχομαι δὲ παθητικῶς, τὸ ὑπομένω.

639. Κλύοις ἂν] ἐπάκȣε· ἐπὶ γὰρ μεγάλων προσώπων, ἐφ᾽ ὧν ἐδόκει βαρὺ τὸ φανερῶς προστάττειν, ἐχρῶντο οἱ Ἀττικοί· εὐκτικῷ μετὰ τȣ̃ ἂν, ὡς ἐνταῦθα.

Ib. Προϛατήριε] ὅτι πρὸ τῶν θυρῶν ἵδρυται.

640. Κεκρυμμένην βάξιν] εὐχὴν, δέησιν, τὸν λόγον ὃν ἔχω ἐν τῇ ψυχῇ μȣ.

Ib. Βάξιν] λόγον.

Ib. Οὐ γὰρ ἐν φίλοις] ȣ̓κ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλ᾽ εἰς τὴν Ἠλέκτραν.

641. Ἀναπτύξαι] ἐπιπτύξαι, τὸ ἀσφαλίσαι· ὡς καὶ τὸ πτυχῆς, ἀναπτύξαι δὲ, τὸ ἀνακαλύψαι ψευδῆ καὶ ἀληθῆ.

644. Σπείρῃ ματαίαν] τὸ ματαίαν ȣ̓κ ἔϛι ψευδῆ, ἀλλ᾽ ἀνωφελῆ· τί γὰρ πράξει τȣ̀ς κρατȣ̃ντας διαβάλλȣσα; ματαίαν γȣ̃ν, κενὴν λέγει, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.

645. Ἀλλ᾽ ὧδ᾽ ἄκȣε] ȣ̔́τως ἐμȣ̃ λεγȣ́σης.

Ib. Τῇδε γὰρ] ἀντὶ τȣ̃ τȣ́τῳ τρόπῳ.

647. Δισσῶν

Δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει᾽ ἄναξ,
Εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεςφόρα·
Εἰ δ᾽ ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
Καὶ μή, με πλέτε τε παρόντος εἴ τινες
Δόλοισι βελεύεσιν ἐκβαλεῖν, ἐφῇς·
Ἀλλ᾽ ὧδέ μ᾽ αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
Δόμες Ἀτρειδῶν σκῆπτρά τ᾽ ἀμφέπειν τάδε,
Φίλοισί τε ξυνεσαν οἷς ξύνειμι νῦν,
Εὐημερεσαν, καὶ τέκνων ὅσων ἐμοὶ
Δύςνοια μὴ πρόςεςιν, ἢ λύπη πικρά.
Ταῦτ᾽, ὦ Λύκει᾽ Ἄπολλον, ἵλεως κλύων,
Δὸς πᾶσιν ἡμῖν, ὥςπερ ἐξαιτέμεθα·
Τὰ δ᾽ ἄλλα πάντα, καὶ σιωπώσης ἐμε,
Ἐπαξιῶ σε δαίμον᾽ ὄντ᾽ ἐξειδέναι·
" Τὲς ἐκ Διὸς γὰρ εἰκός ἐςι πάνθ᾽ ὁρᾷν."

ΠΑΙ. Ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς

647. Δισσῶν ὀνείρων] ἤγεν διπλῆν φύσιν ἐχόντων· ἀληθῆ γάρ ἐσθ᾽ ὅτε καὶ ψευδῆ ἀποβαίνεσιν. Ἔςι δὲ ὅμοιον τῷ παρ᾽ Ὁμήρῳ·

" Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων."

Ib. Λύκει᾽ ἄναξ] διότι ἐν τῇ Λυκίᾳ ἐτιμᾶτο, ἤγεν ἐν τῇ Λυκίᾳ σέβεσιν αὐτὸν ἄγαν.

650. Καὶ μή, με] καὶ μὴ ἐφῇς, ἤγεν ἐάσῃς ἐκβαλεῖν ἐμὲ τε πλέτε τε παρόντος, εἴ τινες σὺν δόλῳ βελεύεσιν ἐκβαλεῖν με δηλονότι· ἀλλ᾽, ἔασον ἀπὸ κοινε, διέπειν με τὲς δόμες τῶν Ἀτρειδῶν, καὶ τὰ σκῆπτρα τάδε, ζῶσαν ὅτως ὡς ζῶ ἀεὶ ἐν ἀβλαβεῖ βίῳ· καὶ συνεσαν φίλοις οἷς σύνειμι νῦν μετὰ εὐημερίας, καὶ ἐκείνοις δηλονότι συνεσαν ἀπὸ τῶν τέκνων, ὅσων ἐμοὶ μὴ πρόςεςι δύςνοια ἢ λύπη πικρά.

652. Ἀλλ᾽ ὧδέ μ᾽ ἀεὶ ζῶσαν] τὸ ὅλον ὑπὲρ τε Αἰγίσθε εὔχεται. Διὰ δὲ τε πληθυντικε τε φίλες τὸ τολμηρὸν τε λόγε ἐπεκάλυψεν.

653. Ἀμφέπειν] τὸ γὰρ διέπειν, εὐθετεῖν· περιέπειν δὲ, τὸ φίλον τινὰ κυβερνᾷν καὶ σκέπειν.

654. Φίλοισί τε ξυνεσαν] ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν, ἀπὸ κοινε λαμβανόμενον, φίλοισί τε καὶ τέκνοις συνεσαν, οἷς ξύνειμι νῦν. Τὸ δὲ δύςνοια, ἀπ᾽ αὐτῶν εἰς ἐμέ. Ἢ ἀπ᾽ ἐμε εἰς αὐτές.

655. Εὐημερεσαν] ἑκάςην ἡμέραν εὖ διάγεσαν· τά δ᾽ ἄλλα πάντα τὰ περὶ τῆς τελευτῆς Ὀρέςε ἔοικεν εὔχεσθαι. Ζητεσι δὲ διὰ τί ἐνταῦθα μὲν ἐκ ἐμφαίνει περὶ τε Ὀρέςε, ὕςερον δὲ τε ἀγγέλε ἐλθόντος φαίνεται ἐφηδομένη. Ῥητέον ἐν, ὅτι νῦν μὲν προςδοκῶσα αὐτὸν ἥξοντα ζῶντα, τότε δ᾽ ὡς κατὰ ἀποθανόντος παῤῥησιάζεται, ἄφοβος γενομένη.

Ib. Ὅσων ἐμοὶ] μὴ λάβῃς εἰς τὸ ὅσων ἔξωθεν τὴν ἀπὸ, ἀλλὰ πρὸς τὸ δύςνοια τὴν τοιαύτην γενικὴν νόει.

662. Ξέναι γυναῖκες] ἄφιξις τε παιδαγωγε πρὸς τὸν οἶκον Αἰγίσθε.

Ib. Ξέναι γυναῖκες] ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τε θανάτε Ὀρέςε, τὸ δὲ ἦθος αὐτε μέσον ἐςὶν, ὅτε ἀποικτιζομένε παντάπασιν, ὅτε ἡδομένε, ἀλλ᾽ ὡς ξένε εὐκαί-

Εἰ τῦ τυράννυ δώματ' Αἰγίσθυ τάδε;

ΧΟΡ. Τάδ' ἐςὶν, ὦ ξέν'· αὐτὸς εἴκασας καλῶς.

ΠΑΙ. Ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
Κείνυ; πρέπει γὰρ ὡς τύραννος εἰσορᾷν.

ΧΟΡ. Μάλιςα πάντων ἥδέ σοι κείνη πάρα.

ΠΑΙ. Ὦ χαῖρ' ἄνασσα· σοὶ φέρων ἥκω λόγυς
Ἡδεῖς φίλυ παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμῦ.

ΚΛΥ. Ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σε
Πρώτιςα χρήζω, τίς σ' ἀπέςειλε βροτῶν.

ΠΑΙ. Φανοτεὺς ὁ Φωκεὺς, πρᾶγμα πορσύνων μέγα.

ΚΛΥ. Τὸ ποῖον, ὦ ξέν'; εἰπέ. Παρὰ φίλυ γὰρ ὢν
Ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγυς.

ΠΑΙ. Τέθνηκ' Ὀρέςης· ἐν βραχεῖ ξυνθεὶς λέγω.

ΗΛΕ. Οἴ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.

ΚΛΥ. Τί φὴς, τί φὴς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.

ΠΑΙ. Θανόντ' Ὀρέςην νῦν τε καὶ τότ' ἐννέπω.

ΗΛΕ. Ἀπωλόμην δύστηνος· ὐδέν εἰμ' ἔτι.

ΚΛΥ. Σὺ μὲν τὰ σαυτῆς πρᾶσσ'· ἐμοὶ δὲ σὺ, ξένε,
Τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται.

ρως δὲ ἥκει, ἔξω ὐσῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ δισσολογοίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων· πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν.

664. Ὦ ξέν'] Ξένος ὃν ἀπὸ ξένης τίς φιλοφρονήσεται. Λέγεται τὸ ξένος καὶ ἐπὶ τῶν μὴ γνωρίμων προσφιλῶς. Καὶ ξένος ἁπλῶς ὁ ἀπὸ ἄλλυ τόπυ. Ξένος ὃν ἐν τῇ οἰκείᾳ πατρίδι φιλοφρονήσεται τίς ἀπὸ ξένης ἐλθόντα· καὶ ἁπλῶς ὁ ἀπὸ ἀλλοτρίυ τόπυ· τὸ δὲ Ὦ ξένε φιλοφρόνως λέγεται ἐπὶ τῶν μὴ γνωρίμων.

Ib. Αὐτὸς εἴκασας] ἤγυν ἀπὸ σαυτῦ καὶ ἀπὸ οἰκείυ ςοχασμῦ ἔγνως. Πρὸς ὅπερ ἐκεῖνος, ἆρ' ὖν ἀπεικάζω καὶ τήνδε τὴν γυναῖκα ἐκείνυ; ἤγυν ἀπὸ ςοχασμῦ καταλαμβάνω;

665. Ἀπεικάζων] τὸ ἀπεικάζων μετὰ τῦ κυρῶ ἐνταῦθα εὑρισκόμενον, εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀναλύεται ὁ λόγος. Ἤγυν ἀπεικάζω.

666. Πρέπει γὰρ ὡς τύραννος] ςοχάζεται ἐκ τῆς ςολῆς καὶ τῶν βασιλείων.

670. Ἐδεξάμην] λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπεδεξάμην.

Ib. Εἰδέναι δὲ] ὐ μόνον ὐ λάβοις εἰς τὸ σῦ ἔξωθεν τὸ ἀπὸ, ὥς τινες, ἀλλὰ καὶ πρὸς τὸ χρήζω συντάσσων, εὖ ἂν ποιήσης.

681. Τῷ τρόπῳ διόλλυται] ἴδιον καὶ τῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος, ἡδόμενοι πυνθάνονται· ἔπειτα ὁ ποιητὴς βύλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων Ἑλληνικῦ.

682. Κἀπεμπόμην]

ΠΑΙ. Κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
Κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
Πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν·
Ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
Δρόμον προκηρύξαντος, ὃ πρώτη κρίσις,
Εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
Δρόμȣ δ' ἰσώσας τῇ φύσει τὰ τέρματα,
Νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
Χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
Οὐκ οἶδα τοιȣ̃δ' ἀνδρὸς ἔργα καὶ κράτη*·
Ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβεῖς
Δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται,
Τȣ́των ἐνεγκὼν πάντα τἀπινίκια

* Turn. in marg. ἔργα ȣ̓δὲ κράτη.

682. Κἀπεμπόμην] προκατάστασις καὶ διήγησις, ὅπως δῆθεν Ὀρέστης τέθνηκεν.

684. Πρόσχημ' ἀγῶνος] εἶδος, καλλώπισμα. λέγει δὲ τȣ̀ς Δελφȣ̀ς· ὅτι δὲ τȣ̃το δηλοῖ τὸ πρόσχημα, μαρτυρεῖ καὶ Ἀριστείδης λέγων, τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνῄρηται.

Ib. Δελφικῶν ἄθλων χάριν] ὅπȣ ἦν ἐπὶ Ὀρέστȣ ὁ Πυθικὸς ἀγών.

Ib. Δελφικῶν ἄθλων] τῶν εἰς τȣ̀ς Δελφȣ̀ς ἐν τῇ τῶν Πυθίων πανηγύρει τοῖς νενικηκόσι διδομένων βραβείων. Τὰ δὲ Πύθια ἦν ἑορτὴ τȣ̃ Ἀπόλλωνος.

685. Ὀρθίων] ὄρθιος, ὁ ἱστάμενος ὀρθὸς καὶ μὴ συγκεκυφώς. Καὶ ὄρθιον ἐπὶ φωνῆς, τὸ ὑψηλόν.

686. Οὗ πρώτη κρίσις] εἰσήγετο γὰρ ὁ δρόμος πρῶτος τῶν ἄλλων ἄθλων, πυγμῆς, πάλης, δίσκȣ, διάλματος. Τȣ̃το δὲ ἐγίνετο διὰ τὸ πάντας τȣ̀ς ἀγῶνας πορείας δεῖσθαι· ἔστι δὲ ὁ δρόμος ȣ̓κ ἄλλό τι ἢ μόνον πορεία καὶ τάχος ποδῶν· ὡς ἂν τὸ φύσει πρῶτον μόνος ἰδιοποιησάμενος προετάττετο.

688. Δρόμȣ δ' ἰσώσας] τȣ̃ ἐκ ποδὸς δρόμȣ· τινὲς δόλιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην (ὅς ἐστιν εἴκοσι στάδια) εἴκοσι ἐτῶν ὄντα· ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τȣ̃ δρόμȣ ἐποιήσατο. Ἄλλως· δρόμȣ δ' ἰσώσας τῇ φύσει τὰ τέρματα, οἷον, ȣ̓κ ἐλλιπὼν κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι, κατὰ τὴν αὐτȣ̃ φύσιν τῆς νίκης ἔτυχεν. Ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ. Ἀντὶ τȣ̃, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, ȣ̃τω καὶ τῷ ἔργῳ, ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, ȣ̃τω καὶ ἐπὶ τῷ ἔργῳ.

Ib. Δρόμȣ] τὰ τέρματα τȣ̃ δρόμȣ ἰσώσας τῇ φύσει, ἤγȣν ἁρμοδίως τῇ ἑαυτȣ̃ φύσει δραμών.

692. Βραβεῖς] βραβεῖς, καὶ οἱ βραβευταὶ, καὶ διοικηταὶ τȣ̃ ἀγῶνος, οἱ τὰ ἆθλα διδόντες· ἀφ' ȣ̃ βραβεῖον, τὸ ἆθλον.

693. Δρόμων διαύλων] ἰστέον ὅτι ἀντὶ τȣ̃ ἀγώνων, διαύλων εἶπε· δέονται γὰρ πάντες οἱ ἀγῶνες (ὡς ἄνωθεν ἔφημεν) πορείας πρὸς τὸ τελεσθῆναι· ἐσαφήνισε δὲ διὰ τȣ̃ εἰπεῖν, ἃ νομίζεται πένταθλα· δέον δὲ εἰπεῖν, οἳ νομίζονται, πρὸς τὸ πένταθλα ἐπήνεγκε· καὶ ἔστιν ὅμοιον τῷ, Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὁ δ' εἴληχεν τύχην, Θανόντες ἂν πρȣκείμεθ' ἐχθίστῳ μόρῳ. εἰσὶ δὲ αἱ τοιαῦται γενικαὶ τὸ ἴσον δρόμων, πρὸς τὸ τȣ́των ἐνεγκών· εἰ καί τινες ἀγνοȣ̃ντες τὴν σύνταξιν, τὸ ἴσον δρόμον μικρογραφȣ̃σι.

Ib. Πεντάεθλ', ἃ νομίζεται] ἅλμα, δίσ-

Ὠλβίζετ᾽, Ἀργεῖος μὲν ἀνακαλούμενος,
Ὄνομα δ᾽ Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ᾽ ἀγείραντός ποτε.
Καὶ ταῦτα μὲν τοιαῦθ᾽· "ὅταν δέ τις θεῶν
" Βλάπτῃ, δύναιτ᾽ ἂν οὐδ᾽ ἂν ἰσχύων φυγεῖν."
Κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ᾽ ἱππικῶν
Ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγὼν*,
Εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα·
Εἷς ἦν Ἀχαιὸς, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
Κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
Ἵππους ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
Ξανθαῖσι πώλοις· ἕβδομος, Μάγνης ἀνήρ·
Ὁ δ᾽ ὄγδοος Λεύκιππος, Αἰνιὰν† γένος·
Ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος δέκατον ἐκπληρῶν ὄχον.

* Turn. in marg. ἀγών. † Ald. Αἰνειάν.

κον, ἄκοντα, δρόμον, πάλην· ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.

698. Ὅταν δέ τις θεῶν] ὅμοιον τούτῳ τὸ Πινδαρικὸν, Θεὸς ὁ καὶ πτερόεντ᾽ αἐτὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα.

700. Κεῖνος γὰρ ἄλλης] μὴ λάβῃς εἰς τὸ ἡμέρας ἔξωθεν τὸ ἐπὶ, ἀλλ᾽ οὕτω λέγε, ἐκεῖνος γὰρ ὅτε ἄλλης ἡμέρας, πρὸς τὸ ὅτε τὴν τοιαύτην γενικὴν συντάσσων. Ὥσπερ γάρ φαμεν, ὅτε τῆς ἡμέρας ἔκλειψις ἡλίου γέγονεν, οὕτω καὶ τοῦτο. Τὸ δὲ ἱππικῶν, ἀντὶ τοῦ ἡνιόχων, οὐχ ὥς τινές φασιν, ἀντὶ τοῦ ἵππων, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ, ληροῦντες. Ἐπεὶ δὲ ἱππικῶν εἶπεν, ἤτοι ἡνιόχων, τοιούτων δὲ οὐχ ἕτερός ἐστιν ἀγὼν ἢ δι᾽ ἵππων, διὰ τοῦτο ὠκύπους εἰς τὸ ἀγὼν προσέθηκε· περὶ γὰρ τάχους ἵππων ἠγωνίζοντο.

702. Εἰσῆλθε πολλῶν] φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται.

705. Κἀκεῖνος ἐν τούτοισιν] ὁ Ὀρέστης.

707. Μάγνης] αὕτη ἡ Μαγνησία ἐν δύσει ἐστίν.

703. Αἰνιὰν] κλίνεται τοῦ Αἰνιᾶνος· καὶ πληθυντικῶς Αἰνιᾶνες· ἤγουν, ἀπὸ τῶν ὑπηκόων τῷ Αἰνείᾳ. Οἱ ἀπὸ τοῦ Αἰνείου καταγόμενοι.

Ib. Λεύκιππος Αἰνιὰν] ἐμοὶ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι· ὄνομα γὰρ κύριον οὐ προτέθεικε, πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται. οἱ δὲ, Αἰνιᾶν, τῶν Θεσπρωτῶν, ἢ Θρᾳκῶν. Ὅμηρος·

" Τῷ δ᾽ Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε
" Περαιβοί."

709. Ἔνατος] ἐννέα, δύο νν· ἔνατος, ἕν.

Ib. Ἀθηνῶν τῶν θεοδμήτων ἄπο] προσχαρίζεται τοῖς Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

Ib. Τῶν θεοδμήτων ἄπο] τοῦτο σεμνύνων τοὺς Ἀθηναίους ὡς Ἀθηναῖος ὁ Σοφοκλῆς λέγει, τῷ ὄντι γὰρ θεόδμητος ἦν ἡ Τροία, ἐκ Ποσειδῶνος καὶ Ἀπόλλωνος κατὰ τὸν μῦθον κτισθεῖσα.

710. Ὄχον] ὄχος ποιητικόν· ὄχημα δὲ κοινόν·

ὄχημα,

Στάντες δ' (ὅτ' αὐτοὺς οἱ τεταγμένοι βραβεῖς
Κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους)
Χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν· οἱ δ' ἅμα
Ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
Ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
Κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
Φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
Φείδοντο κέντρων οὐδὲν, ὡς ὑπερβάλοι
Χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
Ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
Ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,

ὄχημα, ἐφ' ᾧ ὀχεῖταί τις. Ὄχος, ἀρσενικῶς, τὸ ἄρμα. Ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ, οὐδετέρως· ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό. Ὡς παρὰ Λουκιανῷ· ——

—" Καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ."

712. Κλήροις ἔπηλαν] ἀντὶ τοῦ μετὰ κλήρων ἔστησαν· ἔστι δὲ τὸ κλήροις ὥσπερ ἀργόν· τὸ γὰρ ἔπηλαν καὶ χωρὶς τούτου σώζει τὴν φύσιν· τὸν αὐτὸν δὲ λόγον φαμὲν καὶ εἰς τὸ, περιήει κύκλῳ· ὃ γὰρ συναμφότερον δύναται· τοῦτο μόνον τὸ, περιήει.

Ib. Ἔπηλαν] πάλλω, παλῶ, ἔπηλα, ὡς ἔψηλα· ἐν τῇ περικεφαλαίᾳ δὲ ἔβαλον κλήρους ἕκαστος τούτων τῶν βουλομένων δραμεῖν. Εἶτα ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν· οὗ τινος δὲ ὁ κλῆρος ἐπήδα πρῶτος ἀπὸ τῆς περικεφαλαίας, αὐτὸν ἐτίθουν πρῶτον ἐν τῇ τάξει, καὶ πάλιν βάλλοντες τοὺς κλήρους αὐτῶν οἱ λοιποὶ, ἔπαλεν ὁ ἀγωνοθέτης τὴν περικεφαλαίαν· καὶ πάλιν οὗ τινος ἐπήδα πρῶτος ὁ κλῆρος, τοῦτον ἐτίθουν ἐν τῇ δευτέρᾳ τάξει· καὶ πάλιν οἱ λοιποὶ ἔβαλον τοὺς κλήρους ἐν τῇ περικεφαλαίᾳ, μέχρι τέλους.

717. Ἀναμεμιγμένοι] Μίγω, ὃ καὶ μίσγω γράφεται ἐνίοτε· ὁ μέλλων μίξω, μέμικα, ὁ παθητικὸς παρακείμ. μέμιγμαι· καὶ ἡ μετοχὴ, μεμιγμένος· καὶ μετὰ τῆς ἀνὰ ἐν συνθέσει καὶ συγκοπῆς, ἀναμεμιγμένος· πληθυντικῶς, ἀναμεμιγμένοι.

718. Ὡς ὑπερβάλοι χνόας τις αὐτῶν] οἷον πρῶτος τοῦ δρόμου γενέσθαι· χνόας δὲ, τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ ἱππικὰ φρυάγματα· ἀπὸ δὲ μέρους τὸ ὅλον ἄρμα. Σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. Καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται· λείπει δὲ τὸ ἐλαύνων· τὸ δὲ χνόας, βαρέως· τὰ γὰρ εἰς η δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασὺ, βαρύνεται, χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ, οὐκ ἔχει δασύ.

Ib. Ὑπερβάλοι] ὑπεκδράμοι.

719. Φρυάγματα] φυσήματα· πνεύματα.

Ib. Χνόας τις αὐτῶν] ἤγουν τὸ ἄρμα τοῦ ἑτέρου· ἀπὸ μέρους τὸ πᾶν· χνόαι γὰρ τὰ ἀκροξόνια· ἔστι δὲ τὸ χνόας καὶ τὸ φρυάγματα ἱππικὰ ταυτόν.

720. Τροχῶν βάσεις] τῶν περὶ τὰ στηρίγματα· βάσεις δὲ τροχῶν εἰσὶν οἱ ζυγοὶ, οἵτινες κεῖνται ἐν ταῖς αὐχέσι, εἴτουν νώτοις, τῶν ἵππων· ὑπὸ τούτων γὰρ τῶν ζυγῶν τὰ ἅρματα ἕλκονται συνδεδεμένα τούτοις τοῖς ζυγοῖς δηλονότι.

722. Κεῖνος] ἤγουν, ἐκεῖνος δὲ ὁ Ὀρέστης δηλονότι, ἐλαύνων ὑπ' αὐτὴν τὴν ἐσχάτην στήλην, ἐπλησίαζεν ἀεὶ τῷ καμπτῆρι τὴν σύριγγα·

Ἔχριμπτ' ἀεὶ σύριγγα· δεξιόν τ' ἀνεὶς
Σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
Καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
Ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
Πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς
Τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
Μέτωπα συμπαίουσι* Βαρκαίοις ὄχοις·
Κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ,
Ἔθραυε, κἀνέπιπτε· πᾶν δ' ἐπίμπλατο
Ναυαγίων Κρισσαῖον ἱππικῶν πέδον.
Γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
Ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς

* TURN. in marg. συμπταίουσι.

γα· ἤγουν, τοῦ τροχοῦ τὴν ὀπήν. Ὅθεν τὸν σειραῖον ἵππον τὸν ὄντα ἔξω τοῦ καμπτῆρος, ἤγουν, τὸν δεξιὸν ἀπολύων καὶ ἀχαλινῶν, ἐπεῖχεν ἀεὶ τὸν προσκείμενον ἵππον καὶ πλησιάζοντα τῷ καμπτῆρι, ἤγουν τὸν ἀριστερὸν, ἵνα μὴ πλησιάζῃ ἡ σύριγξ τῷ καμπτῆρι δηλονότι.

Ib. Στήλην] ἤγουν, καμπτῆρα· καμπτῆρες μὲν λέγονται τὰ πλαίθρα τοῦ τόπου ἐκείνου, ἐν ᾧ οἱ δρομεῖς τρέχουσιν· ἤγουν οἱ τοῖχοι οἱ ἀφ' ἑνὸς μέρους καὶ τοῦ ἑτέρου, διὰ πετρῶν καὶ ἀσβέστου κατασκευασμένοι.

Ib. Στήλην] τὸν λίθον τὸν καμπτῆρα· στῆλαι, κυβοειδεῖς λίθοι, ἐπιγράμματα τινῶν ἔχοντες· ἐσχάτην δὲ λέγει, ἐπεὶ καὶ ἄλλαι ἦσαν ἐν τῷ μέσῳ τοῦ δρόμου.

723. Ἔχριμπτ' αἰεν] ὅ ἐστι, προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.

Ib. Σύριγγα] τὴν ὀπὴν τοῦ τροχοῦ.

724. Σειραῖον ἵππον] τὸν ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι ἀριστερόν.

726. Ἄστομοι] σκληρόστομοι.

727. Ἐκ δ' ὑποστροφῆς] ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων.

Ib. Πῶλοι βίᾳ] ἤγουν, σὺν βίᾳ εἵλκουσιν ἔξω τοῦ πρέποντος, ἀπειθεῖς γενόμενοι ταῖς ἡνίαις. ἤγουν, ἀπειθεῖς ἐγένοντο ταῖς ἡνίαις. ἤγουν, ἀπειθεῖς ἐγένοντο ταῖς ἡνίαις, καὶ ἐξήνεγκε τοῦ προσήκοντος.

728. Τελοῦντες ἕκτον ἕβδομόν τ'] ἰστέον, ὅτι οἱ ἀγωνισταὶ τῶν δρομέων, οὐχ ἅπαξ ἔτρεχον τὸν ἀγῶνα ἐκεῖνον ὅν τινα οὖν ἤθελον, ἀλλ' ἐνίοτε μὲν ἐτίθουν αὐτὸν ἐν ἓξ δρόμοις· ἐνίοτε δὲ ἐν ἑπτά· καὶ ὅστις οὖν αὐτῶν ἐπλήρου πρότερος τοὺς δρόμους τῶν ἄλλων, αὐτὸς ἐκεῖνος ἐνίκα τὸν ἀγῶνα, τούτων δὲ Ὀρέστου δηλονότι καὶ τῶν ἄλλων, οἱ μὲν ἐτέλουν ἕκτον ἤδη δρόμον, οἱ δὲ ἕβδομον.

729. Βαρκαίοις ὄχοις] τοῖς Λιβυκοῖς· Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.

732. Ναυαγίων] Ναυάγια κυρίως, τὰ συντρίμματα τῶν νηῶν· ἀπὸ τοῦ ναῦς, καὶ τοῦ ἄγω τὸ συντρίβω.

Ib. Κρισσαῖον] ἤτοι Φωκικόν. Ἔστι γὰρ πόλις Φωκίδος, ἐν ᾗ Φωκίδι καὶ τὸ ἐν Δελφοῖς μαντεῖόν ἐστιν· ἔστι δὲ τὸ ναυαγίων ἱππικῶν ὅμοιον τῷ, Νέκταρ ἐῳνοχόει.

Ib. Ναυαγίων] τῶν πλωμάτων.

733. Γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος] ἀντὶ τοῦ ἔμπειρος. Πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.

734. Κἀνακωχεύει] Ἀνακωχεύω κυρίως, ὅτε οἱ ναῦται συστέλλουσι τὸ ἅρμα τῶν νηῶν ἐν τῷ πελάγει, καὶ ἠρεμοῦσιν ὀλίγον. ὁμοίως καὶ ἐπὶ

πολέμου,

Κλύδων᾽ ἔφιππον ἐν μέσῳ κυκώμενον.
Ἤλαυνε δ᾽ ἔσχατος μὲν, ὑςέρας δ᾽ ἔχων
Πώλȣς Ὀρέςης, τῷ τέλει πίςιν φέρων.
Ὁδ᾽ ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
Ὀξὺν δι᾽ ὤτων κέλαδον ἐνσείσας θοαῖς
Πώλοις, διώκει· κἀξισώσαντες ζυγὰ
Ἠλαυνέτην, πότ᾽ ἄλλος, ἄλλοθ᾽ ἅτερος
Κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
Καὶ τȣ̀ς μὲν ἄλλȣς πάντας ἀσφαλεῖς δρόμȣς
Ὠρθȣ̃θ᾽ ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
Ἔπειτα, λύων ἡνίαν ἀριςερὰν,
Κάμπτοντος ἵππȣ, λανθάνει ςήλην ἄκραν
Παίσας· ἔθραυσε δ᾽ ἄξονος μέσας χνόας,
Κἀξ ἀντύγων ὤλισθε· σὺν δ᾽ ἑλίσσεται
Τμητοῖς ἱμᾶσι. Τȣ̃ δὲ πίπτοντος πέδῳ,
Πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον.
Στρατὸς δ᾽, ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
Δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
Οἷ᾽ ἔργα δράσας, οἷα λαγχάνει κακὰ,

πολέμȣ, ὅτε οἱ ςρατιῶται ἄνω ἔχȣσι τὰς ἀκωκὰς τῶν δοράτων· ὅθεν καὶ ἀνακωχή.

Ib. Ἔξω παρασπᾷ] φυλαξάμενος (φησὶ) τȣ́τοις συμπεσȣ̃σιν ἐμπεσεῖν, ἔξω ἀπ᾽ αὐτῶν παρασπᾷ.

Ib. Κἀνακωχεύει] ἀνασειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει, ςείλαντες τὰ ἄρμενα, σαλεύωσιν αὐτόθι· μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς ȣ̃ν ἐπὶ τȣ̃ ἅρματος εἴρηκεν, ȣ̓ διημιλλήσατο, ἀλλ᾽ ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕςερος ἠρέμα ἤλαυνε.

737. Πώλȣς] πῶλος λέγεται ἀρσενικῶς καὶ θηλυκῶς.

Ib. Τῷ τέλει πίςιν φέρων] οἷον πιςεύων ὅτι ἐπὶ τῷ τέλει τȣ̃ δρόμȣ παρελεύσεται. Ἢ νομίζων ἕως τȣ̃ τέλȣς ȣ̃τως ἐλαύνειν.

740. Κἀξισώσαντες ζυγά] ὁ Ὀρέςης καὶ ὁ Ἀθηναῖος.

745. Λύων ἡνίαν] χαυνῶν· διὰ τὸ συμπεπλέχθαι.

Ib. Ἔπειτα] ἔπειτα ὁ Ὀρέςης λύων καὶ ἀχαλινῶν τὴν ἀριςερὰν ἡνίαν, κλίναντος τȣ̃ ἵππȣ εἰς αὐτὸ τὸ μέρος τὸ ἀριςερὸν, ἔλαθε παίσας, ἤγȣν κρȣ́σας, εἰς τὸν καμπτῆρα αὐτὸν τὸν τελευταῖον ὁ Ὀρέςης δηλονότι, καὶ ἔθραυσε τȣ̃ ἄξονος τὰς τρύπας μεσακάς.

747. Μέσας χνόας] ἀντὶ τȣ̃ κατὰ τὸ μέσον ἔθραυσε τὰς χνόας τȣ̃ ἄξονας. Ἀντὶ τȣ̃ ἑνικȣ̃, ἤγȣν τὸ μέρος τȣ̃ ἄξονος τὸ ἐν τῇ ὀπῇ τȣ̃ τροχȣ̃.

Ib. Ἔθραυσε δ᾽ ἄξονος μέσας χνόας] τὸ λεπτὸν μέρος τȣ̃ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος.

Φυρούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
Σκέλη προφαίνων· ἔστέ νιν διφρηλάται,
Μόλις κατασχέθοντες ἱππικὸν δρόμον,
Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
Γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
Καί νιν πυρᾷ κείαντες* εὐθὺς, ἐν βραχεῖ
Χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
Φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
Ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
Τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις,
Ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν οἵπερ εἴδομεν,
Μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.

ΧΟΡ. Φεῦ, φεῦ, τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
Πρόῤῥιζον, ὡς ἔοικεν, ἔφθαρται γένος.

ΚΛΥ. Ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
Ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
Εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.

* Ald. κήαντες.

χοινικίδος. Εἴρηται δὲ ὁμοίως τὸ παρ' Ἀπολλωνίῳ,

« Ἀζόμενος πλήμνῃσι παρακλιδὸν αἰνυμένοιο. »

757. Ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα] καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ.

Ib. Αἱματηρὸν] ᾑμαγμένον· αἱματηραὶ γὰρ σταγόνες, αἱ ἀπὸ αἵματος στάζουσαι· ᾑμαγμέναι δὲ, τῷ αἵματι μεμιγμέναι.

759. Ἐν βραχεῖ χαλκῷ] ἀγγείῳ· ἡ εὐθεῖα ὁ βραχὺς χαλκὸς, ὃ δηλοῖ τὴν οὐσίαν τοῦ χαλκοῦ καὶ τὴν ὕλην· ἀπὸ δὲ τῆς ὕλης ἐνταῦθα δηλοῦται τὸ ἀγγεῖον τὸ ἐκ τῆς ὕλης.

Ib. Κήαντες] ἀπὸ τοῦ κάω, καύσω· ὁ ἀόριστος, κοινῶς μὲν, ἔκαυσα· ποιητικῶς δὲ, ἔκηα· καὶ ἡ μετοχὴ, ὁ κήας, κήαντος.

760. Μέγιστον σῶμα δειλαίας σποδοῦ] ἀντίπτωσις, ἀντὶ τοῦ, σποδὸν δειλαίαν μεγίστου σώματος.

Ib. Δειλαίας σποδοῦ] δέον οὕτως εἰπεῖν, δειλαίαν σποδὸν μεγίστου σώματος, ἀντιστρόφως εἴρηται, ὥσπερ καὶ ἄλλα μυρία τοιαῦτα εὑρίσκεται.

768. Ὦ Ζεῦ] δεινοπάθεια δῆθεν Κλυταιμνήστρας ἐπὶ τῷ ἀκούσματι τούτῳ.

Ib. Πότερον εὐτυχῆ] ἀντὶ τοῦ, ἆρα δίκαια ταῦτα εἴπω, ἢ δεινὰ μὲν, ἐπικερδῆ δὲ, ἐπειδὴ τοῖς κακοῖς τούτοις τοῖς τοῦ υἱοῦ μου, σώζω ἐγὼ τὸν βίον ἐμαυτῆς· ἤγουν, διὰ τῶν κακῶν καὶ θανάτων τοῦ υἱοῦ μου, ἐγὼ σώζω τὴν ἐμὴν ζωήν· ἀλλὰ λυπηρῶς ταῦτα διάκεινται.

770. Ἐν τοῖς ἐμαυτῆς] τὸ πᾶν οὕτως, ἐὰν ἐν τοῖς κακοῖς τοῖς ἐμαυτοῦ σώζω τὴν ζωήν. Καλὸν [κακόν] γὰρ αὐτῆς ἦν τὸ τεθνηκέναι τὸν Ὀρέστην, εἰ ἔσωζε τὸν βίον αὐτῆς.

ΠΑΙ. Τίδ᾽ ὧδ᾽ ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
ΚΛΥ. Δεινὸν τὸ τίκτειν ἐςίν· “ ἐδὲ γὰρ κακῶς
“ Πάσχοντι μῖσος ὧν τέκῃ προσγίνεται.”
ΠΑΙ. Μάτην ἄρ᾽ ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛΥ. Οὔτοι μάτην γέ· πῶς γὰρ ἂν μάτην λέγοις;
Εἴ μοι θανόντος πίς᾽ ἔχων τεκμήρια
Προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
Μαςῶν ἀποςὰς καὶ τροφῆς ἐμῆς; φυγὰς
Ἀπεξενῦτο· καί μ᾽, ἐπεὶ τῆσδε χθονὸς
Ἐξῆλθεν, ἐκέτ᾽ εἶδεν· ἐγκαλῶν δέ μοι
Φόνες πατρῴες, δείν᾽ ἐπηπείλει τελεῖν.
Ὥςτ᾽ ὅτε νυκτὸς ὕπνον, ὅτ᾽ ἐξ ἡμέρας
Ἐμὲ ςεγάζειν ἡδύν· ἀλλ᾽ ὁ προςτατῶν
Χρόνος διῆγέ μ᾽ αἰὲν ὡς θανεμένην.
Νῦν δ᾽ ἡμέρᾳ γὰρ τῇδ᾽ ἀπήλλαγμαι φόβε
Πρὸς τῆσδ᾽ ἐκείνε θ᾽· ἥδε γὰρ μείζων* βλάβη
Ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνεσ᾽ ἀεὶ
Ψυχῆς ἄκρατον αἷμα· νῦν δ᾽ ἕκηλά πε
Τῶν τῆσδ᾽ ἀπειλῶν ἕνεχ᾽ ἡμερεύσομεν.

* Aldus, μείζω.

771. Τῷ νῦν λόγῳ] ἀντὶ τῦ, κατὰ τὸν νῦν λόγον, ἐπὶ τῇ νῦν ἀγγελίᾳ.

773. Πάσχοντι] ἤγεν, τῷ γονεῖ. Οὐδαμῶς γίνεται λύπη τῷ παιδὶ, εἰ συμβῇ ὁ παῖς πταῖσαι ἁμάρτημα μέγιςον εἰς τὸν γονέα.

774. Μάτην] ἤγεν, ματαίως, ἀναίρεως. Τῦτο λέγει ὁ παιδαγωγὸς ὑποκρινόμενος, ὅτι ὁρᾷ τὴν Κλυταιμνήςραν λυπεμένην· καὶ γὰρ ἐδόκει ὁ παιδαγωγὸς κομίσαι ταύτῃ ἰδέα μηνύματα.

778. Φυγὰς] ἀντὶ τῦ φυγών. Φυγάδες γὰρ κυρίως οἱ διωχθέντες ἀπὸ τῆς οἰκείας πατρίδος.

782. Ὥςτ᾽ ὅτε] ὥςτε ὅτε κατὰ τὸν καιρὸν τῆς νυκτὸς, ὅτε κατὰ τὸν καιρὸν τῆς ἡμέρας, ἦν δυνατὸν ἐμὲ λαβεῖν γλυκὺν ὕπνον ὑπὸ τὴν ςέγην· ἀλλ᾽ ὁ ἐνιςάμενος χρόνος διεβίβαζεν ἐμὲ αἰεὶ ὡς θανεμένην.

783. Ὁ προςτατῶν χρόνος] ὁ ἐπιγενόμενος.

787. Ξύνοικος ἦν μοι] τῦτο οἰκονομικῶς· εἰ γὰρ ἀποςῆσασα ἐπὶ τοῖς ἠγγελμένοις, ἀπέκλινεν ἑαυτὴν, διελύετο ἂν ἡ ὑπόθεσις.

788. Νῦν δ᾽] τῦτο τὸ νῦν ἐπανάληψίς ἐςι τῦ προτέρε νῦν.

789. Ἡμερεύσομεν] διημερεύσομεν· διημερεύω, τὸ τὴν ἡμέραν διαβιβάζω· ὅτω καὶ διανυκτερεύω· ἐνταῦθα δὲ τὸ διημερεύσομεν ἀντὶ τῦ βιώσομεν.

Ib. Τῶν τῆσδ᾽ ἀπειλῶν] ἕνεκα τῶν ταύτης ἀπειλῶν· ἤγεν, ἵνα μὴ κακολογῇ ἡμᾶς, καὶ ἵνα μὴ κατακρίνῃ ἡ Ἠλέκτρα, ὅτι ἐκ ἐλυπήθημεν

ΗΛΕ. Οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
'Ορέςα, τὴν σὴν ξυμφορὰν, ὅθ' ὧδ' ἔχων
Πρὸς τῆσδ' ὑϐρίζῃ μητρός. Ἆρ' ἔχει καλῶς;
ΚΛΥ. Οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.
ΗΛΕ. Ἄκȣε, Νέμεσις, τȣ̃ θανόντος ἀρτίως.
ΚΛΥ. Ἤκȣσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ΗΛΕ. Ὕϐριζε· νῦν γὰρ εὐτυχȣ̃σα τυγχάνεις.
ΚΛΥ. Οὐκȣ̃ν 'Ορέςης καὶ σὺ παύσετον* τάδε;
ΗΛΕ. Πεπαύμεθ' ἡμεῖς, ȣ̓χ ὅπως σε παύσομεν.
ΚΛΥ. Πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
Εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσȣ βοῆς.
ΠΑΙ. Οὐκȣ̃ν ἀποςείχοιμ' ἂν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛΥ. Ἥκις'· ἐπείπερ ȣ̓̃τ' ἐμȣ̃ καταξίως
Πράξειας, ȣ̓́τε τȣ̃ πορεύσαντος ξένȣ·
'Αλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοσθεν βοᾷν
Ἔα τά θ' αὐτῆς καὶ τὰ τῶν φίλων κακά.

* TURN. in marg, παύσατον.

θημεν ἐπὶ θανάτῳ τȣ̃ 'Ορέςȣ, ȣ̓δὲ ἐθρηνήσαμεν αὐτὸν, ἄγε ἵνα μεθ' ἡσυχίας πȣ̃ καὶ ἡμεῖς τὸ τῆς παρȣ́σης ἡμέρας διαϐιϐάσωμεν διάςημα.

794. Ἄκȣε, Νέμεσις] ἤγȣν, ἄκȣε, ὦ Νέμεσις, τίνας εἰρωνείας λέγει, κατὰ τȣ̃ θανόντος ἀρτίως.

Ib. Ἄκȣε, Νέμεσις] Νέμεσις, θεὰ μεμφομένη τȣ̀ς τοῖς θανȣ̃σιν ἐφυϐρίζοντας, καὶ τȣ́τȣς τιμωρȣμένη· σύντασσε δὲ τὸ θανόντος πρὸς τὸ Νέμεσις, καὶ μὴ πρὸς τὸ ἄκȣε, ὥσπερ τινὲς ποιȣ̃σιν· ἄλλοι δὲ καὶ λαμϐάνȣσιν ἔξωθεν τὸ ἕνεκα.

797. Οὐκȣ̃ν 'Ορέςης] εἰ μὲν γράφεις ἥκȣν, κατ' ἐρώτησιν μὲν ȣ̓̃· καθ' ὁμαλισμὸν δὲ εἰρωνικῶς· εἰ δὲ καὶ παύσατον γράφεις (εὕρηται γὰρ καὶ τȣ̃το) προςτακτικῶς ἐρεῖς ȣ̔́τως, ȣ̓κȣ̃ν παύσατε τάδε σύ τε καὶ 'Ορέςης, εἰ δύνασθε.

798. Πεπαύμεθ' ἡμεῖς] ȣ̔́τως ἦν τὸ σαφὲς, ȣ̓ μόνον ȣ̓ παύσομέν σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς· νῦν δὲ προθεὶς τὸ πεπαύμεθα, εἶτ' ἐνεγκὼν τὸ, ȣ̓χ ὅπως σε παύσομεν, ἀσάφειάν τινα ἐποίησε. Σὺ δὲ, ὡς ἔφαμεν, λέγε συντάσσων.

799. Ὦ ξένε] ἄξιος ὑπάρχεις τυχεῖν πολλῶν χαρίτων, ἕνεκα ὧν ἥκεις καὶ ἦλθες· ἐπειδὴ ταύτην τὴν 'Ηλέκτραν ἔπαυσας τῆς πολυλόγȣ βοῆς.

Ib. Πολλῶν ἂν ἄξιος] ἄξιος ἂν εἴης, ὦ ξένε, διὰ τὴν ὁδὸν, ἣν ἦλθες, τυχεῖν πολλῶν ἀγαθῶν.

803. Πορεύσαντος] ἀποςείλαντος· πορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον, ἀντὶ τȣ̃ ἄγω· ὡς παρὰ Πλάτωνι, ᾧ δὴ προςτέτακται τȣ̀ς ἐνθένδε ἐκεῖσε πορεῦσαι. 'Αντὶ τȣ̃ ἀγαγεῖν· ἐνταῦθα δὲ πορεύσαντος ἀντὶ τȣ̃ πέμψαντος, λέγεται.

804. 'Αλλ' εἴσιθ' εἴσω] περισσὸν τὸ εἴσω· τὸ γὰρ εἴσιθι τὸ εἴσω ἐλθὲ δηλοῖ· εἰςῆλθε δὲ εἰς τὴν οἰκίαν, λέγεται κατὰ λόγον· τὸ γὰρ εἰςῆλθε δηλοῖ μὲν τὸ εἴσω ἦλθεν, ȣ̓ μὴν καὶ ὅποι εἰςῆλθεν ὡρισμένως· διὸ ἐπάγεται εἰς τὴν οἰκίαν, ἢ εἰς τὴν πόλιν· καὶ ȣ̓ δοκεῖ φορτικόν.

ΗΛΕ. Ἆρ᾿ ὑμὶν ὡς ἀλγȣ̃σα κὠδυνωμένη,
Δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
Τὸν υἱὸν ἡ δύςηνος ὧδ᾿ ὀλωλότα;
Ἀλλ᾿ ἐγγελῶσα, φρȣ̃δος. Ὦ τάλαιν᾿ ἐγὼ,
Ὀρέςα φίλταθ᾿, ὡς μ᾿ ἀπώλεσας θανών.
Ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς,
Αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
Σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
Κἀμȣ̃ ταλαίνης· νῦν δὲ, ποῖ με χρὴ μολεῖν;
Μόνη γάρ εἰμι, σȣ̃ τ᾿ ἀπεςερημένη
Καὶ πατρὸς ἤδη. Δεῖ με δȣλεύειν πάλιν
Ἐν τοῖσιν ἐχθίςοισιν ἀνθρώπων ἐμοὶ,
Φονεῦσι πατρός· ἆρά μοι καλῶς ἔχει;
Ἀλλ᾿ ȣ̓́τι μὴν ἔγωγε τȣ̃ λοιπȣ̃ χρόνȣ
Ξύνοικος ἔσσομ᾿· ἀλλὰ τῇδε πρὸς πύλῃ
Παρεῖσ᾿ ἐμαυτὴν, ἄφιλος αὐανῶ βίον·
Πρὸς ταῦτα, καινέτω τὶς, εἰ βαρύνεται
Τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἢν κτάνῃ·
Λύπη δ᾿, ἐὰν ζῶ· τȣ̃ βίȣ δ᾿ ȣ̓δεὶς πόθος.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Πȣ̃ ποτε κεραυνοὶ Διὸς, ἢ

816. Καὶ πατρὸς ἤδη] τὸ ἤδη εἰ μὲν ἀντὶ τȣ̃ πάλαι νοήσεις, πρὸς τὸ πατρὸς συνάψεις· εἰ δὲ ἀντὶ τȣ̃ νῦν, πρὸς μὲν τὸ πατρὸς ςίξεις, αὐτὸ δὲ πρὸς τὸ ἐπαγόμενον συνάψεις.

817. Ἐχθίςοισιν ἀνθ᾿] Ἐχθρός μοι ἐςὶν ὁ δεῖνα· καθὸ ἁπλȣ̃ν, δοτικῇ· ἔχθιςος δὲ τῶν ἀνθρώπων. Καθὸ ὑπερθετικὸν, γενικῇ.

821. Αὐανῶ βίον] Ἀντὶ τȣ̃, τὰ σκληρότητος διαβιβάσω· διαβιβάσω τὸν βίον, ἄφιλος· ἤγȣν ἐςερημένη φιλίας· μὴ ποιήσασα σπονδὰς μετὰ τȣ̃ Αἰγίσθȣ, καὶ τῆς Κλυταιμνήςρας.

823. Χάρις] Ἤγȣν, εὐεργεσία, εὐχαριςία ἐμοὶ δηλονότι· χαρίζομαι τὸ δωρȣ̃μαι. Καὶ τὸ χάριν ποιῶ.

825. Πȣ̃ ποτε κεραυνοὶ Διὸς] ἐν τοῖς ἔμπροσθεν παραμυθȣ́μενος ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγε, Θάρσει μοι, τέκνον, θαρσει· ἔςι μέγας ἐν ȣ̓ρανῷ Ζεὺς, καὶ τὰ ἑξῆς. Νῦν ȣ̃ν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας καὶ προςτεθείσης τῆς κατὰ τὸν Ὀρέςην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥςτε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν εἰ ὅλως ἐν ȣ̓ρανῷ εἰσὶν, εἴγε περιορῶσι τοιαῦτα γιγνόμενα. Καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν· τὸν δὲ Δία,

Πῦ φαέθων Ἅλιος,
Εἰ ταῦτ' ἐφορῶντες
Κρύπτυσιν ἕκηλοι;

ΗΛΕ. Ἒ, ἒ, αἶ, αἶ.
ΧΟΡ. Ὦ παῖ, τί δακρύεις;
ΗΛΕ. Φεῦ.
ΧΟΡ. Μηδὲν μέγ' αὔσῃς.
ΗΛΕ. Ἀπολεῖς με.
ΧΟΡ. Πῶς;
ΗΛΕ. Εἰ τῶν φανερῶς οἰ-
χομένων εἰς ἀΐδαν
Ἐλπίδ' ὑποίσεις, κατ' ἐμῦ
Τακομένας
Μᾶλλον ἐπεμβάσῃ.

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων

ὡς πάντων δεσπότην ὄντα. Δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς ὐρανὸν, καὶ τὰς χεῖρας ἀνατεῖναι. Ὃ δὴ κωλύει ὁ χορὸς Μηδὲν μέγ' αὔσῃς.

Ib. Πῦ ποτε] Ἀγανακτῶν ὁ χορὸς τῦτο λέγει. Καὶ ἀμφιβάλλων εἰ εἰσὶν οἱ κεραυνοὶ τῦ Διὸς, καὶ ὁ Ἥλιος· εἴτε ἡσυχίαν ἄγυσι τοιύτων γινομένων.

826. Φαέθων] ἐπίθετον ὄνομα ἐνταῦθα, ἀντὶ τῦ λάμπων. Λέγεται δὲ φαέθων καὶ ὁ υἱὸς τῦ Ἡλίυ καὶ ὁ ἕτερος τῶν ἵππων αὐτῦ.

827. Εἰ ταῦτ' ἐφορῶντες κρύπτυσιν] οἷον, ὐκ ἄγυσιν εἰς φῶς τῶν τύτων παρανομίαν.

828. Κρύπτυσιν] τῦτ' ἔστιν ἡσύχως φέρυσιν, ὐ δεικνύυσιν ἀγανακτῦσι.

829. Ἒ, ἒ, αἶ, αἶ] Θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ τοιῦτον μέρος.

832. Μέγ' αὔσῃς] ἤγυν βοήσῃς, εἴπῃς· ἤγυν μὴ πρὸς θρήνυς ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀργὴν Κλυταιμνήστραν κινήσῃς.

833. Ἀπολεῖς με] ἀποκναίεις με (φησὶν) ἐν τοῖς ἀθεραπεύτοις παρηγορῦσα. Δαιμονίως δὲ τῦτο ἐπήγαγεν· ὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ χόρυ ἐπιτιμήσεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεὺς (ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τὺς θεὺς βλασφημῶν· καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων) ἀλλ' ὥσπερ δυσχεραίνυσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τῦτό φησιν· οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιῦσιν.

835. Εἰ τῶν φανερῶς] Εἰ τῶν φανερῶς ἀπεληλυθότων εἰς ᾄδην ἐλπίδυ λαθῦσα προτενεῖς, μᾶλλον ἐπιτεθήσῃ κατ' ἐμῦ διαρρεομένης.

837. Ἐλπίδ' ὑποίσεις] ὑπενέγκῃς, ὑποβαλεῖς, ὡς ἐξ ἐκείνων βοήθειά τις μοὶ γενήσεται.

839. Ἐπεμβάσῃ] ἤγυν ἐπιπέσῃς νενικημένη, καὶ μείζονα ἐργάσῃ τὴν συμφοράν.

840. Ἀμφιάρεων] Ἀμφιάρεως ἦν ἄριστος μάντις καὶ ἄψευστος. Ὅστις ᾔδει τὸν ἐσόμενον θάνατον τοῖς ἀπερχομένοις ἐς τὸν Θηβαϊ-

κὸν

Χρυσοδέτοις ἕρκεσι
Κρυφθέντ' ἀπάταισι·
Καὶ νῦν ὑπὸ γαίας——
ΗΛΕ. (Ἒ, ἔ· ἰώ.)
ΧΟΡ. Πάμψυχος ἀνάσσει.
ΗΛΕ. Φεῦ.
ΧΟΡ. Φεῦ δῆτ'· ὀλοὰ γάρ.

κὸν πόλεμον, ὑπὸ τῷ στρατηγῷ Ἀδράστῳ. ὑφ' οὗ Ἀδράστου πολλὰ βιασθεὶς καὶ μηδόλως ὑπείξας ἐς Θήβας συναπελθεῖν, πείθεται ὕστερον ὑπὸ τῆς ἰδίας αὐτοῦ γυναικὸς Ἐριφύλης ἀπελθεῖν, ἥτις αὖ ὑπὸ Ἀδράστου ἀπατηθεῖσα δώροις, ἅ τινα δῶρα ἦσαν χρυσόδητα ἕρκεα, ἤγουν κόσμος τις γυναικεῖος, ἠνάγκασε τὸν Ἀμφιάρεων ἀπελθεῖν· διὸ καὶ ἐτιμωρήθη πρὸς τοῦ υἱοῦ Ἀλκμαίωνος· ἀπελθὼν γὰρ ὁ Ἀμφιάρεως εἰς τὸν πόλεμον ἀναιρεῖται. Ὁ δὲ υἱὸς αὐτοῦ Ἀλκμαίων, μαθὼν ὅτι ὑπὸ τῆς Ἐριφύλης κατεπείσθη, ἀπέκτεινε ταύτην.

Ib. Οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις] ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ δοθέντος ὅρμου Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. Ἄλλως· Χρυσοδέτοις ἕρκεσιν. Ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις. Ἅπερ ἕρκη εἶπεν, οἷον περιφράγματα καὶ τείχη ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. Ἢ χρυσοδέτοις, τῷ ὅρμῳ ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος. Τὸ δὲ ἕρκεσιν, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ ὅρμου γενομένῃ.

841. Ἕρκεσι] ἤγουν τοῖς περιδεῤῥαίοις, ἅπερ Ἄδραστος ἔδωκεν Ἐριφύλῃ, τῇ σφετέρᾳ μὲν ἀδελφῇ, ἐκείνου δὲ τοῦ Ἀμφιάρεω γυναικὶ, ἵνα πείσῃ αὐτὸν ἀπελθεῖν εἰς τὰς Θήβας μετὰ Πολυνείκους. Ἅτε γὰρ μάντις ὢν, ᾔδει ἀπολουμένην τὴν στρατιάν· καὶ διὰ τοῦτο οὐκ ἤθελε στρατεῦσαι. Εἰκότως δὲ τὰ περιδέῤῥαια ἕρκη ἐκάλεσε, διὰ τὸ αἴτια αὐτῷ ἀπωλείας γενέσθαι. Φασὶ δέ ὅτι ἐν τῷ τόπῳ τῶν Θηβῶν, ἔνθα κατεχώσθη Ἀμφιάρεως, μαντεῖον ἦν αὐτοῦ τὸ λοιπόν. Ἰστέον δὲ ὅτι οὐ χρὴ γράφειν, γυναικῶν ἀπάταις (οὐ γὰρ ἁρμόζει οὕτω τῷ μέτρῳ. Περσσὸν γὰρ ἐστὶ τὸ γυναικῶν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ) ἀλλὰ κρυφθέντα ἀπάταισι γράφε· τὸ δὲ γυναικὸς ἔξωθεν λάμβανε. οὕτω γὰρ κατὰ τὴν σύνταξιν καὶ τὸ μέτρον ἔχει καλῶς.

842. Γυναικῶν ἀπάταις] ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν· θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὕτως διὰ γυναικῶν ἀπώλετο. Ἄλλως· οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων, ὁ χορὸς φησὶν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία. Τιμὴν δὲ αὐτῷ φησὶν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν.

844. Ἒ, ἔ] οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα.

845. Πάμψυχος ἀνάσσει] ἀντὶ τοῦ πάσων ψυχῶν ἀνάσσει· ἃ δὴ ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς· ἢ πάμψυχος, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν· ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος.

Ib. Πάμψυχος ἀνάσσει] ἤγουν πασῶν τῶν ψυχῶν ἀνασσει· ἢ ὅλος ζῶν ἀνάσσει. Ἢ ζῶν ἀνάσσει.

846. Φεῦ] μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ, ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα.

847. Φεῦ δῆτ'· ὀλοὰ γὰρ] ὁ χορὸς συγκατατιθέμενος, φησὶν ὅτι δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη· ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός. Ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα.

Ib. Φεῦ δῆτ'· ὀλοὰ] ἐπὶ θηλυκοῦ ληπτέον τὸ ὀλοὰ, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς· ἤγουν ὀλοὰ καὶ ὀλεθρία ὑπῆρχεν ἡ Ἐριφύλη. Ἐδά-

μη

ΗΛΕ. Ἐδάμη γάρ.
ΧΟΡ. Ναί.
ΗΛΕ. Οἶδ᾽, οἶδ᾽· ἐφάνη γὰρ
Μελέτωρ ἀμφὶ τὸν ἐν
Πένθει· ἐμοὶ δ᾽ ὄτις ἔτ᾽ ἔ-
σθ᾽· ὃς γὰρ ἔτ᾽ ἦν,
Φροῦδος ἀναρπασθείς.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Δειλαία, δειλαίων κυρεῖς.
ΗΛΕ. Κἀγὼ τοῦδ᾽ ἴστωρ, ὑπερίστωρ,

μη γὰρ ὑπὸ τοῦ υἱοῦ αὐτῆς Ἀλκμαίωνος. Εἰ δ᾽ ἄλλως εἴποις, οὐκ ἔχει ὀρθῶς.

848. Ἐδάμη] ἡ Ἐριφύλη δηλονότι. Ὁ δὲ λόγος ἀποφαντικός. Ὁ χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ναί.

850. Οἶδ᾽, οἶδ᾽· ἐφάνη] οἶδα ὅτι ἐδάμη· ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ τουτέστι τιμωρὸς τοῦ πατρός. Ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. Ὁ μὲν οὖν χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος· ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. Πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ἐμοὶ δ᾽ οὔτις.

851. Μελέτωρ] φροντιστής. ᾧ ἐπιμελὲς γέγονε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον τοῦ Ἀμφιαράου.

854. Ἀναρπασθεὶς] ἀναρπάζω· ὁ μέλλων, ἀναρπάξω ποιητικῶς, ἀναρπάσω κοινῶς· ὁ παρακείμενος ἀνήρπακα· ὁ παθητικὸς, ἀνήρπασμαι· ὁ ἀόριστος, ἀνηρπάσθην· ἡ μετοχὴ ἀναρπασθείς.

855. Δειλαία δειλαίων] ἤγουν, ἀθλία ἀθλίων ὑπάρχεις, ὑπερβολικῶς. Ὡς ματαιότης ματαιοτήτων, καὶ ἑορτὴ ἑορτῶν. Τουτέστιν ἀθλιωτάτη καὶ ἀποκρύπτουσα τὴν ἀθλιότητα τῶν ἄλλων, ὡς μόνην αὐτὴν ἐν ταῖς ἀθλίαις δοκεῖν ἀθλίαν.

856. Κἀγὼ τοῦδ᾽ ἴστωρ] καὶ ἐγὼ ἴστωρ καὶ ἐπιστήμων καὶ ὑπερίστωρ εἰμὶ τοῦδ᾽· ὅτι δηλονότι δειλαία κυρῶ καὶ ὑπάρχω, ἤγουν ἀθλία, τῶν Ἀχαιῶν τῶν ἀθλίων, ἕνεκα τῶν πολλῶν δεινῶν, τῶν πανσυρτῶν καὶ πάντα συρόντων, καὶ ἀπολλύντων, καὶ στυγνῶν, ἤτοι τῶν στυγνάζειν ποιούντων, ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ. Ἤγουν, ἐπίσταμαι ὅτι ἀθλιωτέρα εἰμὶ τῶν Ἀχαιῶν, τῶν διὰ τοῦτο ἀθλίων ὅτι πολλῶν δεινῶν πανσύρτων καὶ στυγνῶν πεῖραν ἔλαβον ἐν τῷ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ὃν δηλονότι ἐν Τροίᾳ πεποιήκασιν. Εἰ δὲ πανσύρτων καὶ ἀρχαίων γράψεις (ἐν τισὶ γὰρ τῶν πάνυ παλαιῶν οὕτως εὕρηται βιβλίων) ὀρθότερον ἔχει πρὸς τὸ μέτρον. Εἴγε μὴν πανσύρτῳ γράψεις (ἐν πολλοῖς γὰρ καὶ οὕτως εὕρηται) πρὸς τὸ παμμήνῳ συνάψεις. Ἤγουν τῷ διηνεκεῖ χρόνῳ τῷ κατὰ πάντα συρομένῳ, ἤτοι τῷ πολυκινήτῳ. ἐπεὶ δ᾽ ὑποσκάζει τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς, τὸ δεινῶν στυγνῶν τ᾽ Ἀχαιῶν (ἐκεῖνο γὰρ ἐκ σπονδείων δι᾽ ὅλου σύγκειται) ἀρχαίων φημὶ δεῖν γράφειν (ἀπὸ τούτου γὰρ καὶ τὸ Ἀχαιῶν ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, τοῦ ρ κατὰ λήθην τοῦ γραφέως ἐκλελοιπότος) καὶ οὕτω συνάπτειν, καὶ ἐγὼ ἴστωρ καὶ ὑπερίστωρ εἰμὶ τοῦδε, ὅτι δειλαία εἰμὶ δηλονότι, ἐν τῷ πανσύρτῳ καὶ παμμήνῳ καὶ διηνεκεῖ χρόνῳ, ἕνεκα τῶν δεινῶν τῶν ἀρχαίων τῶν πολλῶν καὶ στυγνῶν. Ἀρχαία δέ φησι τὰ δεινὰ, ἐπεὶ καὶ πρότερον εἴρηκεν ὡς ἐκ τῆς πρόσθεν Πέλοπος

ἱππείας

Πανσύρτῳ* παμμήνῳ πολλῶν
Δεινῶν στυγνῶν τ᾽ ἀχαιῶν†.

ΧΟΡ. Εἴδομεν ἃ θροεῖς.

ΗΛΕ. Μή με νῦν μηκέτι
Παραγάγῃς, ἵν᾽ οὐ——

ΧΟΡ. Τί φής;

ΗΛΕ. Πάρεισιν ἐλπίδων
Ἔτι κοινοτόκων
Εὐπατριδᾶν τ᾽ ἀρωγοί.

## ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. "Πᾶσι θνατοῖς ἔφυ μόρος."

ΗΛΕ. Ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
Οὕτως ὡς κείνῳ δυστάνῳ
Τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;

ΧΟΡ. Ἄσκοπος ἁ λώβα.

ΗΛΕ. Πῶς γὰρ οὐκ, εἰ ξένος,

* Turn. in marg. πανσύρτων. † Turn. in marg. ἀρχαίων.

ἱππείας, καὶ τοῦ φόνου Μυρτίλου, οὐκ ἔλιπε τοὺς οἴκους αὐτῶν πολύπονος αἰκία.

857. Πανσύρτῳ] τῷ πάντα σύροντι τὰ κακά· ἢ πανσυρτῷ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ.

Ib. Παμμήνῳ] τῷ πολυχρονίῳ καὶ διηνεκεῖ· Δειλαία οὖν εἰμὶ, οἷον κατ᾽ αὐτὸ τοῦτο καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν.

860. Μή με νῦν μηκέτι] μηκέτι οὖν με (φησὶ) παρηγορήσητε (παρηγορήσῃς) ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ των ἀδελφῶν.

861. Παραγάγῃς ἵν᾽ οὐ] τὸ ἵν᾽ οὐ, πρὸς τὸ πάρεισι συναπτέον· εἰ καὶ τὸ τί φῄς, διὰ μέσου τίθεται. Συντάσσεται δὲ οὕτω, μή με νῦν μηκέτι παραγάγῃς, ἵνα καὶ ὅπου οὐ πάρεισιν ἐλπίδες ἐλπίδων, τῶν εὐπατριδῶν κοινοτόκων, ἤγουν τοῦ εὐγενοῦς Ὀρέστου τοῦ ἐμοῦ ἀδελφοῦ ἀρωγοὶ ἐμοί. Ἤγουν, μὴ εἰς ἐλπίδας ἐμβάλῃς Ὀρέστου, ὡς ἥξει ἐμοὶ βοηθός. Ἰστέον δὲ ὅτι τὸ τί φῄς, πάρεισιν ἐλπίδων, ἓν κῶλόν ἐστι· τὰ γὰρ δύο πρόσωπα ἓν ἀποτελεῖ κῶλον, ὡς καὶ ἐν τῇ πρώτῃ ἀντιστροφῇ δείκνυται. Διὸ τὸ αὐδᾷς δὲ ποῖον, περισσὸν ὂν ἐξεβλήθη παρ᾽ ἐμοῦ. Ταὐτὸν γάρ ἐστι τῷ τί φῄς.

867. Ἐν ἁμίλλαις] διὰ τοῦ εἰπεῖν ἁμίλλαις, ἐδήλωσε τὸ ἵπποις· τούτων γὰρ ἡ ἅμιλλα. Τὸ δὲ χαλαργοῖς, ἢ τοῖς τὰς χηλὰς (καὶ τοὺς πόδας, ἀπὸ μέρους τὸ πᾶν) ἀργὰς ἔχουσι, κατ᾽ ἀντίφρασιν, ὥσπερ ἐστὶ καὶ τὸ στόμαργος καὶ τὸ πύγαργος· ἢ χαλαργοῖς καὶ λευκόποσιν.

869. Τμητοῖς ὁλκοῖς] τμητοῖς λώροις, τοῖς ἱμᾶσιν· ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη.

870. Ἄσκοπος] ἀπροόρατος ὁ θάνατος.

871. Πῶς γὰρ οὐκ] ναὶ, καλῶς ἔφης. πῶς γὰρ οὐκ ἔστιν ἀνέλπιστος ἡ βλάβη, ἐπειδὴ καὶ ὁ Ὀρέστης ξένος ἀπώλετο δηλονότι καὶ κέκευθεν.

874. Κέκευθεν]

Ἄτερ ἐμαῖν χεροῖν * ;

ΧΟΡ. Παπαί.

ΗΛΕ. Κέκευθεν, οὔτε τοῦ
Τάφου ἀντιάσας,
Οὔτε γόων παρ᾽ ἡμῶν.

## ΙΑΜΒΟΙ.

ΧΡΥ. Ὑφ᾽ ἡδονῆς τοι, φιλτάτη, διώκομαι,
Τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
Φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν, ὧν
Πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.

ΗΛΕ. Πόθεν δ᾽ ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
Ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ᾽ ἰδεῖν ;

ΧΡΥ. Πάρεστ᾽ Ὀρέστης ἡμίν· ἴσθι τοῦτ᾽ ἐμοῦ
Κλύουσ᾽ ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.

ΗΛΕ. Ἀλλ᾽ ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς

* Ald. ἐμαῖν χεραῖν.

874. Κέκευθεν] τὸ κέκευθεν, ἀλλοίωσίς ἐστι κατὰ διάθεσιν, ἐνεργητικὸν ὂν λαμβάνεται ἀντὶ παθητικοῦ, ἤγουν, ἐσκεπάσθη, ἐκρύβη· ἢ ὂν τὸ κέκευθεν μέσος παρακείμενος ἀπὸ τοῦ κεύθω, κεύσω, κέκευκα· ὁ μέσος παρακείμ. κέκευθα, δύναται εἶναι καὶ ἐνεργητικὸς, καὶ παθητικός.

877. Ὑφ᾽ ἡδονῆς τοι] ἡ Χρυσόθεμις παραγέγο, τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. Τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ὀλόφυρσις ἡ Ἠλέκτρας γένηται.

Ib. Σὺν τάχει μολεῖν] λείπει ἡ ὑπέρ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.

878. Τὸ κόσμιον] ἤγουν τὴν κοσμιότητα, τὸ κόσμιον Ἀττικῶς, ἀντὶ τοῦ κόσμον, καὶ τὴν εὐταξίαν· ὡς τὸ ῥητορικὸν τοῦ λόγου, ἀντὶ τοῦ, ὁ ῥητορικὸς λόγος.

879. Ἀνάπαυλαν] ἀνάπαυσις καὶ κατάπαυσις λέγεται· ἀνάπαυλα δὲ μόνον· οὐχὶ καὶ κατάπαυλα. Ἀνάπαυσιν τῶν κακῶν, ὧν εἶχες πρότερον καὶ ἔστενες.

881. Τῶν ἐμῶν σὺ πημάτων] τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστιν ἄρηξις. Τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ᾽ οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

882. Οἷς ἴασιν] εἰ μὲν ἴασιν γράψεις, πρὸς τὸ ἰδεῖν συντάξεις· εἰ δὲ ἴασις, πρὸς τὸ ἐστίν.

883. Πάρεστ᾽] πάρεστιν ὁ Ὀρέστης ἡμῖν ἐναργῶς οὕτως ὥσπερ ὁρᾷς ἐμὲ παροῦσαν δηλονότι ἐναργῶς. Ἴσθι τοῦτο, ἤγουν γίνωσκε, κλύουσα ἐμοῦ.

885. Ἀλλ᾽] ὁ ἀλλὰ ἐνίοτε μέν ἐστι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς, καὶ συστάσει ἑτέρου· οἷον, οὐκ ἔστι τόδε, ἀλλὰ τόδε. καὶ ὅτε ἐφ᾽ ἑτέρῳ ἕτερον ἐπάγεται νοουμένης ἑτέρας ἀναιρέσεως. Οἷον, ἔστι τόδε· ἀλλὰ καὶ τόδε. Καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων. Ὡς ἔχει τὸ, ἀσπίδα, φρῦνον, ὄφιν· καὶ λαδικέας περίφυγε καὶ κύνα λυσσητήν. Καὶ πάλιν λαδικέας, ἀλλὰ τὰς πινακίδας ἀθάλιος ὁ λαδικεὺς ἔχει λαβών. Ἐνίοτε δὲ, ὁ ἀλλὰ ἐστὶ συλλογιστικὸς, καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος,

Σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡΥ. Μὰ τὴν πατρῴαν ἑςίαν, ἀλλ᾽ ἐχ ὕϐρει
Λέγω τάδ᾽, ἀλλ᾽ ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛΕ. Οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
Τόνδ᾽ εἰςακέσασ᾽, ὧδε πιςεύεις ἄγαν;
ΧΡΥ. Ἐγὼ μὲν ἐξ ἐμῦ τε κὐκ ἄλλυ, σαφῆ
Σημεῖ᾽ ἰδῦσα, τῷδε πιςεύω λόγῳ.
ΗΛΕ. Τίν᾽, ὦ τάλαιν᾽, ἰδῦσα πίςιν; ἐς τί μοι
Βλέψασα, θάλπῃ τῷδ᾽ ἀνηκέςῳ πυρί;
ΧΡΥ. Πρὸς νῦν θεῶν ἄκυσον, ὡς μαθῦσά μυ
Τολοιπὸν, ἢ φρονῦσαν, ἢ μωρὰν λέγῃς.
ΗΛΕ. Σὺ δ᾽ ῦν λέγ᾽, εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡΥ. Καὶ δὴ λέγω σοὶ πᾶν ὅσον κατειδόμην.
Ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
Ὁρῶ κολώνης ἐξ ἄκρας νεοῤῥύτυς
Πηγὰς γάλακτος, καὶ περιςεφῆ κύκλῳ
Πάντων ὅσ᾽ ἐςὶν ἀνθέων θήκην πατρός.
Ἰδῦσα δ᾽ ἔσχον θαῦμα, καὶ περισκοπῶ
Μήπυ τὶς ἡμῖν ἐγγὺς * ἐγχρίμπτῃ βροτῶν·
Ὡς δ᾽ ἐν γαλήνῃ πάντ᾽ ἐδερκόμην τόπον,
Τύμϐυ προςεῖρπον ᾶσσον· ἐσχάτης δ᾽ ὁρῶ

* Aldus, ἐγχρίπτῃ.

πράγματος, ὡς ἐνταῦθα· ἀλλ᾽ ἦ μιμνῄσκῃς· καὶ ἀλλὰ μὴν τόδε ἐςίν.

887. Ὑφ᾽ ἡδονῆς] ὑποςροφὴ Χρυσοθέμιδος μετὰ τινὸς εὐφροσύνης.

894. Θάλπῃ ἀνηκέςῳ πυρὶ] ἤγυν, θάλπῃ καὶ θερμαίνῃ ὕτως, ὥσπερ ὑπὸ ἀθεραπεύτυ πυρός. Ὁ γὰρ πῦρ βλέπεται μακρόθεν, τῦτο τοῖς ὁρῶσιν ἐςὶν ἀθεράπευτον. Ἤγυν ὐδεμίαν θεραπείαν δύναται δῦναι τύτοις.

898. Καὶ δὴ λέγω] διήγησις ὧν εἶδεν ἐν τάφῳ.

900. Κολώνης] ἤγυν ὑψηλῦ καὶ ἐπανεςηκότος τόπυ.

Ib. Νεοῤῥύτυς πηγὰς γάλακτος] ἤγυν χύσεις γάλακτος, νεωςὶ ῥυείσας. ἤγυν γάλα ὑπὸ πηγῆς ἀναδοθὲν νεόῤῥυον.

901. Πηγὰς γάλακτος] πολὺ γάλα· ὡς τὸ δακρύων πηγὰς, ἀντὶ τῦ πολλὰ δάκρυα.

902. Θήκην πατρὸς] τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη.

907. Νεωρῆ] τὸν νεωςὶ ἠρτημένον· ἢ ἐκ νέυ τινὸς καὶ ὥραν ἔχοντος νέαν.

Πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
Κεὐθὺς τάλαιν᾽ ὡς εἶδον, ἐμπαίει τί μοι
Ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
Πάντων Ὀρέστου τοῦθ᾽ ὁρᾶν τεκμήριον·
Καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
Χαρᾷ δὲ πίμπλημ᾽ εὐθὺς ὄμμα δακρύων·
Καὶ νῦν θ᾽ ὁμοίως καὶ τότ᾽ ἐξεπίσταμαι,
Μή του τόδ᾽ ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
Τῷ γὰρ προσήκει πλήν γ᾽ ἐμοῦ καὶ σοῦ τόδε;
Κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ᾽ ἐπίσταμαι,
Οὐδ᾽ αὖ σύ· πῶς γάρ, ᾗ γε μηδὲ πρὸς θεοὺς
Ἔξεστ᾽ ἀκλαύστῳ τῆσδ᾽ ἀποστῆναι στέγης;
Ἀλλ᾽ οὐδὲ μὲν δὴ μητρὸς οὔθ᾽ ὁ νοῦς φιλεῖ
Τοιαῦτα πράσσειν, οὔτε δρῶσ᾽ ἐλάνθανεν·
Ἀλλ᾽ ἔστ᾽ Ὀρέστου ταῦτα τἀπιτίμια·
Ἀλλ᾽, ὦ φίλη, θάρσυνε· " τοῖς αὐτοῖσί τοι
" Οὐχ αὑτὸς αἰεὶ δαιμόνων παραστατεῖ·"
Νῷν δ᾽ ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως

908. Κεὐθὺς τάλαιν᾽] ἤγουν, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα ἐπεὶ εἶδον τὸν νεωρῆ βόστρυχον ἐκεῖνον τετμημένον, ἐπέρχεται τῇ ψυχῇ μου σύνηθες τὸ ὄμμα του Ὀρέστου τοῦ φιλτάτου ἀπὸ τῶν βροτῶν, ὥστε νομίζειν ὁρᾶν τοῦτο, ἕν τι τεκμήριον ἐκείνου. Ἢ, καὶ εὐθὺς ἐγὼ ἡ τάλαινα ἐπειδὴ εἶδον βόστρυχον τετμημένον νεωρῆ, παίει ἐν τῇ ψυχῇ μοι ὁρᾶν τοῦτο σύνηθες τί θέαμα καὶ τεκμήριον, Ὀρέστου τοῦ φιλτάτου ἀπὸ πάντων τῶν βροτῶν.

909. Σύνηθες ὄμμα] ὅραμα ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

914. Μή του τόδ᾽ ἀγλάϊσμα] μὴ λάβῃς ἔξωθεν εἰς τὸ του, ἀπὸ, ἀλλὰ πρὸς τὸ ἀγλάϊσμα νόει τὴν γενικήν. Μηδὲ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς εἴπῃς, ἀλλ᾽ ἀντὶ τοῦ εἰ μή. Ἔστι δὲ ἡ γενικὴ τὸ ἐκείνου πρὸς τὸ του.

915. Τῷ γὰρ προσήκει πλήν γ᾽ ἐμοῦ καὶ σοῦ τόδε;] τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. Τὸ μὲν γὰρ ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. Πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει.

917. Ἧ, γε] ἤγουν, ᾗ τινι σοὶ τῇ ἀκλαύστῳ ἤγουν πολυθρηνήτῳ, ἔξεστιν ἀποστῆναι τῆσδέ τῆς στέγης, καὶ ἐλθεῖν πρὸς τοὺς θεοὺς, ἤγουν εἰς τοὺς ναοὺς τῶν θεῶν.

920. Τοιαῦτα πράσσειν] τὰ ἐπὶ τῇ τιμῇ γιγνόμενα τοῦ πατρός.

921. Ταῦτα τἀπιτίμια] γράφεται τἀγλαΐσματα.

923. Δαιμόνων] τῷ αὐτῷ καὶ ἑνὶ ἀνθρώπῳ οὐκ ἔστιν ἀεί ποτε ὁ αὐτὸς Θεός. Ἤγουν ἡ αὐτὴ τύχη· Θεὸς, ἤγουν τύχη.

Πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛΕ. Φεῦ τῆς ἀνοίας· ὥς σ᾽ ἐποικτείρω πάλαι.
ΧΡΥ. Τίδ᾽ ἐςίν; ȣ̓ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛΕ. Οὐκ οἶσθ᾽ ὅποι γῆς ȣ̓δ᾽ ὅποι γνώμης φέρῃ.
ΧΡΥ. Πῶς δ᾽ οὐκ ἐγὼ κάτοιδ᾽, ἅγ᾽ εἶδον ἐμφανῶς;
ΗΛΕ. Τέθνηκεν, ὦ τάλαινα· τὰ κείνȣ δέ σοι
Σωτήρι᾽ ἔῤῥει· μηδὲν ἐς κεῖνόν γ᾽ ὅρα.
ΧΡΥ. Οἴ μοι τάλαινα· τȣ̃ τάδ᾽ ἤκȣσας βροτῶν;
ΗΛΕ. Τȣ̃ πλησίον παρόντος ἡνίκ᾽ ὤλλυτο.
ΧΡΥ. Καὶ πȣ̃ ᾽ςιν ȣ̃τος; θαῦμά τοι μ᾽ ὑπέρχεται.
ΗΛΕ. Κατ᾽ οἶκον, ἡδὺς, ȣ̓δὲ μητρὶ δυςχερής.
ΧΡΥ. Οἴμοι τάλαινα· τȣ̃ γὰρ ἀνθρώπων πότ᾽ ἦν
Τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛΕ. Οἶμαι μάλις᾽ ἔγωγε τȣ̃ τεθνηκότος
Μνημεῖ᾽ Ὀρέςȣ ταῦτα προςθεῖναί τινα.
ΧΡΥ. Ὦ δυςτυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγȣς
Τοιȣ́ςδ᾽ ἔχȣσ᾽ ἔσπευδον, οὐκ εἰδυῖ᾽ ἄρα
Ἵν᾽ ἦμεν ἄτης· ἀλλὰ νῦν ὅθ᾽ ἱκόμην,
Τά τ᾽ ὄντα πρόσθεν ἄλλα θ᾽ εὑρίσκω κακά.
ΗΛΕ. Οὕτως ἔχει σοὶ ταῦτ᾽· ἐὰν δέ μοι πιθῇ,
Τῆς νῦν παρȣ́σης πημονῆς λύσεις βάρος.
ΧΡΥ. Ἦ τȣ̀ς θανόντας ἐξαναςήσω ποτέ;

925. Ὑπάρξει κῦρος] ἐπιτυχίαν ἄρξει.

926. Φεῦ τῆς ἀνοίας] μέμψις Ἐλέκτρας ἐφ᾽ οἷς διηγήσατο Χρυσόθεμις.

928. Οὐκ οἶσθ᾽] ἤγȣν, ȣ̓ γινώσκεις εἰς ποῖον μέρος τῆς γῆς φέρῃ. Οὐδὲ εἰς ποῖον μέρος τȣ̃ νȣ̃.

934. Θαῦμα τοί μ᾽ ὑπέρχεται] ἀντὶ τȣ̃, θαυμάζω κατ᾽ ἐμαυτήν.

935. Οὐδὲ μητρὶ δυςχερὴς] ὅ ἐςιν, ȣ̓ κατὰ τȣ̃το τῇ μητρὶ δυςχερὴς ὀφθεὶς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. Γράφεται καὶ μητρὶ δυςμενής.

937. Τὰ πολλὰ κτερίσματα] ἤγȣν, ἐντάφια πρὸς τὸν τάφον τȣ̃ πατρός.

939. Μνημεῖ᾽ Ὀρέςȣ] ἤγȣν ἐνθυμήσεις. Θανόντος γὰρ ἐκείνȣ, τμηθεὶς ὁ βόςρυχος τῆς κεφαλῆς ὑπὸ τινὸς τῶν αὐτȣ̃ φίλων, ἐπετέθη τῷ τάφῳ τȣ̃ Ἀγαμέμνονος, ἵνα τις ὁρῶν αὐτὸν κείμενον, εἰς μνήμην ἀφικνῆται Ὀρέςȣ.

943. Τά τ᾽ ὄντα] καὶ τὰ ὄντα πρότερον κακὰ εὑρίσκω, καὶ ἄλλα κακὰ εὑρίσκω, καὶ τὰς πρόσθεν θλίψεις ἔχω. Ἔρχονται δέ μοι καὶ ἕτεραι θλίψεις.

ΗΛΕ. Οὐκ ἔσθ᾽ ὅγ᾽ εἶπον· οὐ γὰρ ὧδ᾽ ἄφρων ἔφυν.
ΧΡΥ. Τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
ΗΛΕ. Τλῆναί σε δρῶσαν ἄν ᾽ν σ᾽ ἐγὼ παραινέσω.
ΧΡΥ. Ἀλλ᾽ εἴ τις ὠφέλειά γ᾽, οὐκ ἀπώσομαι.
ΗΛΕ. Ὅρα· "πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ."
ΧΡΥ. Ὁρῶ· ξυνοίσω πᾶν ὅσον περ ἂν σθένω.
ΗΛΕ. Ἄκουε δὴ νῦν, ᾗ βεβούλευμαι τελεῖν.
Παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
Ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ᾽ ᾅδης λαβὼν
Ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
Ἐγὼ δ᾽ ἕως μὲν τὸν κασίγνητον βίῳ
Θάλλοντά τ᾽ εἰσήκουον, εἶχον ἐλπίδας
Φόνου ποτ᾽ αὐτὸν πράκτορ᾽ ἵξεσθαι πατρός·
Νῦν δ᾽ ἡνίκ᾽ οὐκέτ᾽ ἐστὶν, εἰς σὲ δὴ βλέπω,
Ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
Ξὺν τῇδ᾽ ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν
Αἴγισθον· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ᾽ ἔτι.
Ποῖ γὰρ μενεῖς ῥάθυμος; εἰς τίν᾽ ἐλπίδων
Βλέψασ᾽ ἔτ᾽ ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
Πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
Πάρεστι δ᾽ ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
Ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.

948. Ὧν ἐγὼ φερέγγυος] ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι. Φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι· οἷον ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι.

950. Ἀλλ᾽ εἴ τις ὠφέλειά γ᾽] τοῦτο τῷ προτέρῳ ὅμοιον, ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;

951. Εὐτυχεῖ] ἀντὶ τοῦ ἐπιτυγχάνεται.

952. Συνοίσω] συμπονήσω τοῦτο συνῳδὸν τῷ, τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος.

953. Ποιεῖν] γράφεται τελεῖν.

Ib. Ἄκουε δὲ νῦν] Ἠλέκτρας συμβουλὴ, ὅπως ἀνέλωσιν Αἴγισθον.

958. Θάλλοντά τ᾽ εἰσήκουον] μὴ εἴπῃς καὶ αὐτὸς τὸ τε ἀργὸν, (ὥς τινές φασιν) ἀλλ᾽ οὕτω σύνταστε, ἕως μὲν εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ καὶ ζωῇ καὶ θάλλοντα, ἤγουν ζῶντα πάλιν. Ἔστι δὲ τὸ βίῳ καὶ τὸ θάλλοντα ἐκ παραλλήλου. Εἴρηται δὲ τὸ θάλλοντα ἐκ μεταφορᾶς τῶν φυτῶν· ζωὴ γὰρ φυτοῦ τὸ θάλλειν, ὥσπερ αὖ τοὐναντίον ἡ μάρανσις.

963. Οὐδὲν γάρ σε δεῖ] οἱ ἀγνοοῦντες τὸ τοῦ Εὐριπίδου, τὸ, Κρύπτειν θ᾽ ἃ κρύπτειν ὄμματ᾽ ἀρσένων χρεών, καὶ ἐναλλαγὰς καὶ προσθέσεις ἔξωθεν καινοτομοῦντες, ἵνα συντάξωσιν,

ἐντεῦθεν

Καὶ τῶνδε μέντοι μηκέτ᾽ ἐλπίσῃς ὅπως
Τεύξῃ πότ᾽· ὐ γὰρ ὧδ᾽ ἄϐυλός ἐς᾽ ἀνὴρ
Αἴγισθος, ὥςτε σόν ποτ᾽ ἢ κἀμὸν γένος
Βλαςεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.
Ἀλλ᾽ ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βυλεύμασι,
Πρῶτον μὲν εὐσέϐειαν ἐκ πατρὸς κάτω
Θανόντος οἴσῃ, τῦ κασιγνήτυ θ᾽ ἅμα·
Ἔπειτα δ᾽ ὥςπερ ἐξέφυς, ἐλευθέρα
Καλῇ τολοιπὸν, καὶ γάμων ἐπαξίων
Τεύξῃ· "Φιλεῖ γὰρ πρὸς τὰ χρηςὰ πᾶς ὁρᾷν."
Λόγῳ γε μὴν εὔκλειαν ὐχ ὁρᾷς ὅσην
Σαυτῇ τε κἀμοὶ προςϐαλεῖς πεισθεῖσ᾽ ἐμοί;
Τίς γάρ ποτ᾽ ἀςῶν ἢ ξένων ἡμᾶς ἰδὼν,
Τοιοῖσδ᾽ ἐπαίνοις ὐχὶ δεξιώσεται;
Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,

ἐντεῦθεν διδαχθήτωσαν μὴ τοιαῦτα ποιεῖν, ἀλλ᾽ ὀρθῶς συντάσσειν, ὡς ἔχει τῦτο.

970. Ἄϐυλός] κακόϐολος, ἀνόητος ἦν ὁ Αἴγισθος, εἰ τῶν ἐμῶν καὶ σῶν παίδων βλαςεῖν εἴασεν.

972. Πημονὴν αὐτῷ] τῦτο κομματικὸν ὂν, πρὸς τὸ ὄπισθεν συνάπτεται τὸ βλαςεῖν, τῇ ἐννοίᾳ· τὸ γὰρ ἀναϐλαςῆσαι τὸ γένος αὐτῶν, ὐχ ἕτερόν ἐςιν ἢ πημονὴ τῷ Αἰγίσθῳ· Μὴ λαϐῃς δὲ εἰς τὸ πημονὴν ἔξωθεν τὸ λέγω, ἀλλ᾽ ὕτω σύντασσε, ἐᾶσαι ἀναφῦναι τὸ ἐμόν τε καὶ σὸν γένος πημονὴν αὐτῷ σαφῆ, τῆς τοιαύτης αἰτιατικῆς πρὸς τὸ βλαςεῖν ἐχύσης τὴν φύσιν καὶ φερομένης. Ἔςι δὲ ὅμοιον ὡς πρόσθεν ἔφημεν, τῷ, μνήματα Τροίας.

Ib. Αὐτῷ σαφῆ] τῷ Αἰγίσθῳ πρόδηλον, ὁμολογυμένην, ἀναμφίϐολον, φαρὰν, ἀληθῆ.

973. Ἐπίσπῃ] Ἐφέπομαι, ἐπέψομαι, ὁ δεύτερος ἀόριςος ἐπεσπόμην. Καὶ τὸ ὑποτακτικὸν παθητικὸν, ἐὰν ἐπίσπωμαι, ἐὰν ἐπίσπῃ.

974. Πρῶτον μὲν εὐσέϐειαν] ἀντὶ τῦ δόξαν εὐσεϐείας ἀποίσῃ κάτω, ἤγυν ἐν τῷ ᾅδῃ, ἐκ πατρὸς ἀποθανόντος. Τὸ εὐσεϐὲς, λέγεται ἐπὶ τῶν θεῶν, τὸ ὅσιον, ἐπὶ τῶν θανόντων, τὸ δὲ δίκαιον, ἐπὶ τῶν ζώντων.

975. Θανόντος οἴσῃ] ἤγυν λάϐῃς· συνάπτε δὲ πρὸς τὸ κάτω. Ὃ δὲ λέγει τοιῦτόν ἐςιν, εὐσεϐὴς δόξεις τοῖς ἐν ᾅδυ θεοῖς, ἐκ πατρὸς θανόντος καὶ κασιγνήτυ. Τῦτ᾽ ἔςιν δι᾽ ὧν ὑπὲρ τεθνηκότος πατρὸς καὶ ἀδελφῦ σπυδάσεις.

978. Φιλεῖ] γνωμικόν.

981. Τίς γάρ ποτ᾽ ἀςῶν] ὅρα ἐν τύτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ ἅπερ αὐταῖς παρέςαι ἀνελύσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξῄρηκεν, ὁποῖα πείσονται ἀλῦσαι. Καί τοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι. Ὅτι καλόν μοι ἀποθανεῖν ὕτω δυςτυχύσῃ· ὁποῖα καὶ πρόσθεν ἔλεγεν, ὡς χάρις μὲν, ἂν θάνω· λύπη δὲ, ἂν ζῶ. Ἀλλ᾽ ᾔδει τὸ περίφοϐον τῆς Χρυσοθέμιδος, ὥςτε ἑκῦσα τὺς δειλοτέρυς τῶν λόγων ὑπεξεῖλεν, ὥςτε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταςῆσαι.

982. Δεξιώσεται] ἤγυν, φιλοφρονήσεται. ἀπὸ μεταφορᾶς τῶν τὰς δεξιὰς ἐμϐαλλόντων ἀλλήλοις· μετὰ φιλοφροσύνης.

983. Ἴδεσθε τώδε] ἀντὶ τῦ τάςδε. Ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ χεῖρε γάρ φασι καὶ Ὅμηρος· "Τὼ

Ὦ τὸν πατρῷον οἶκον ἐξεσωσάτην·
Ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
Ψυχῆς ἀφειδήσαντε, πρȣ̈ςήτην φόνȣ.
Τȣ́τω φιλεῖν χρὴ, τώδε χρὴ πάντας σέβειν·
Τώδ' ἔν θ' ἑορταῖς, ἔν τε πανδήμῳ πόλει
Τιμᾷν ἅπαντας, ἕνεκ' ἀνδρίας χρεών.
Τοιαῦτά τοι νῷ πᾶς τις ἐξερεῖ βροτῶν,
Ζώσαιν θανȣ́σαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
Ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί·
Σύγκαμν' ἀδελφῷ· παῦσον ἐκ κακῶν ἐμέ·
Παῦσον δὲ σαυτὴν, τȣ̃το γινώσκȣσ', ὅτι
" Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν."

ΧΟΡ. Ἐν τοῖς τοιȣ́τοις ἐςὶν ἡ προμηθία
Καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.

ΧΡΥ. Καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
Ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσώζετ' ἂν
Τὴν εὐλάβειαν, ὥσπερ ȣ̓χὶ σώζεται·
Ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιȣ̃τον θράσος

" Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ'
" ὁμοίαι."

Ib. Ἴδεσθε τώδε τὼ κασιγνήτω] εἰώθασιν οἱ Ἀττικοὶ τὰ τȣ̃ θηλυκȣ̃ γένȣς δυϊκὰ ἀρσενικῶς ἐκφέρειν· ὅθεν καὶ παρὰ λογοποιοῖς τὼ χεῖρε μόνον ἐπεκράτησεν. Εὕρηται δὲ παρ' Ἰσοκράτει καὶ ἄλλοις τὼ πόλεε καὶ τοῖν πολέοιν, εὕρηται δὲ ȣ̓ μόνον ἐν τοῖς δυϊκοῖς ἡ αὐτὴ καινοτομία, ἀλλὰ καὶ ἐν τῇ γενικῇ τῶν ἑνικῶν, ὥσπερ τὸ παρ' Εὐριπίδη,

" Οὔτ' ἐλπίδος τȣ̃ȣ̃τε δόξης ὁρῶ θάρσος."

φησὶ δήπȣ καὶ ȣ̃τος·

" Οὔτε τȣ̃ κλύων σάλπιγγος."

καὶ Συνέσιος·

" Ἢ πάντως ἀπὸ μιᾶς γέ τȣ συμφορᾶς
" ἀναπεισθέντας."

985, 986. Ὦ — πρȣ̈ςήτην] ἀντὶ τȣ̃ αἵτινες προεςήσαν πὲρ τȣ̃ φόνȣ τῶν ἐχθρῶν.

998. Καὶ πρίν γε φωνεῖν] ἐπειδὴ φορτικὸν ἦν τὴν Χρυσόθεμιν μέμφεσθαι τῇ Ἠλέκτρᾳ ὡς ἀφρόνως βȣλευομένη (ἔοικε γὰρ αἰδῶ καὶ ὑποςολὴν πρὸς αὐτὴν ἔχειν ὡς προγενεςέραν ȣ̓̃σαν) διὰ τȣ̃τό φησιν, ὦ γυναῖκες, καὶ πρὶν φωνεῖν καὶ λέγειν ἐμὲ αὐτῇ, ὅτι κακῶς καὶ ἀσυνέτως βȣλεύεται, εἰ ἐτύγχανεν αὕτη φρενῶν ȣ̓ κακῶν, ἀλλὰ καλῶν, ἐσώζετο ἂν τὴν εὐλάβειαν, καὶ τὴν ὀφειλομένην ἐξ ἐμȣ̃ αὐτῇ αἰδῶ καὶ ὑποςολήν· καὶ ἦν ἂν αἰδέσιμος ȣ̃τως· ὥσπερ ȣ̓χὶ σώζεται νῦν ταύτην, ἀφρόνως τοιαῦτα βȣλευομένη. Τȣ̃τ' ἔςιν, οὐκ ἔδει ἐμὲ αὐτῇ νȣθετεῖν τὰ προσήκοντα, ἀλλ' αὐτὴν οἴκοθεν εἰδέναι.

999. Ἐσώζετ' ἂν τὴν εὐλάβειαν] ȣ̓ σώζει (φησὶ) τὴν εὐλάβειαν, ἀλλ' ἔςι θρασεῖα καὶ ῥιψοκίνδυνος.

1001. Τοιȣ̃τον θράσος αὐτή θ' ὁπλίζῃ] λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι,

Αὐτή θ᾽ ὁπλίζῃ, κἄμ᾽ ὑπηρετεῖν καλεῖς;
Οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐδ᾽ ἀνὴρ ἔφυς·
Σθένεις δ᾽ ἔλαττον τῶν ἐναντίων χεροῖν*.
Δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ᾽ ἡμέραν,
Ἡμῖν δ᾽ ἀποῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται.
Τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
Ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
Ὅρα, κακῶς πράσσοντε, μὴ μείζω κακὰ
Κτησώμεθ᾽, εἴτις τούσδ᾽ ἀκούσεται λόγους.
Λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ᾽ ἐπωφελεῖ,
Βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
“ Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ᾽ ὅταν θανεῖν
“ Χρήζων τὶς, εἶτα μηδὲ τοῦτ᾽ ἔχῃ λαβεῖν.”
Ἀλλ᾽ ἀντιάζω, πρὶν πανωλέθρους τοπᾶν
Ἡμᾶς τ᾽ ὀλέσθαι, κἀξερημῶσαι γένος,
Κατάσχες ὀργήν· καὶ τὰ μὲν λελεγμένα
Ἄῤῥητ᾽ ἐγώ σοι κἀτελῆ φυλάξομαι·
Αὐτὴ δὲ νοῦν σχὲς, ἀλλὰ τῷ χρόνῳ ποτὲ,
Σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.
ΧΟΡ. Πείθου· “ προνοίας οὐδὲν ἀνθρώποις ἔφυ

* Ald. χερὶ.

ὡς μηδὲν ἀμυντήριον αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος.

1004. Σθένεις δ᾽ ἔλαττον] τοῦτο δεύτερον κεφάλαιον.

1005. Δαίμων δὲ] τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης.

1011. Λύει γὰρ] οὐδὲν ὧν λέγεις ἀπαλλάττει καὶ ἐλευθεροῖ ἡμᾶς τοῦ πρότερον πολλαῖς καὶ ποικίλαις περιπεσούσας κολάσεσι καὶ ἀδοξίᾳ μεγίστῃ, εἶτα θανεῖν.

1012. Δυσκλεῶς θανεῖν] ἐνταῦθα δηλοῖ τὸ μετ᾽ αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. Καὶ Ὅμηρος·
“ Μὴ μὴν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν
“ ἑλοίμην.”

1014. Εἶτα μηδὲ τοῦτ᾽ ἔχῃ λαβεῖν] οὐ τὸ τοῦ θανάτου δεινὸν, ἀλλ᾽ ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. Τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος.

1019. Αὐτὴ δὲ νοῦν] ἤγουν, οὐδὲ αὐτὴ μηδὲν σθένουσα λάβε τινὰ γνῶσιν κἂν διὰ χρόνου, ὥστε ὑποτάσσεσθαι τοῖς κρατοῦσιν.

1021. Οὐδὲν ἀνθρώποις] οὐδὲν ἄλλο δηλονότι

" Κέρδος λαβεῖν ἄμεινον, ἐδὲ νῦ σοφῦ."
ΗΛΕ. Ἀπροσδόκητον ἐδὲν εἴρηκας· καλῶς
Δ' ᾔδειν σ' ἀποῤῥίψεσαν ἃ 'πηγγελλόμην.
Ἀλλ' αὐτοχειρί μοι μόνη τε δραςέον
Τἔργον τόδ'· ἐ γὰρ δὴ κένον γ' ἀφήσομεν.
ΧΡΥ. Φεῦ, εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
Θνήσκοντος εἶναι· πάντα γὰρ κατειργάσω.
ΗΛΕ. Ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νῦν ἥσσων τότε.
ΧΡΥ. Ἄσκει τοιαύτη νῦν δι' αἰῶνος μένειν.
ΗΛΕ. Ὡς ἐχὶ συνδράσεσα νεθετεῖς τάδε;
ΧΡΥ. " Εἰκὸς γὰρ ἐγχειρῦντα καὶ πράττειν κακῶς."
ΗΛΕ. Ζηλῶ σε τῦ νῦ, τῆς δὲ δειλίας ςυγῶ.
ΧΡΥ. Ἀνέξομαι κλύεσα, χ' ὤταν εὖ λέγῃς.
ΗΛΕ. Ἀλλ' ἔποτ' ἐξ ἐμῦ γε μὴ μάθῃς τόδε.
ΧΡΥ. Μακρὸς τὸ κρῖναι ταῦτά χ' ᾧ λοιπὸς χρόνος.
ΗΥΕ. Ἄπελθε· σοὶ γὰρ ὠφέλησις ἐκ ἔνι.
ΧΡΥ. Ἔνεςιν, ἀλλὰ σοὶ μάθησις ἐ πάρα.
ΗΛΕ. Ἐλθῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.

νότι κέρδος κρεῖττον τῆς φρομηθείας ὑπῆρξε τοῖς ἀνθρώποις λαβεῖν. Οὐδὲ τῦ νῦ νῦ φρονίμυ.

1024. Ἃ 'πηγγελλόμην] ἀντὶ τῦ ἃ ἠξίυν. Τὸ δὲ παρακαλεῖν, ἀπαγγέλλειν φησίν.

1025. Ἀλλ' αὐτοχειρὶ] ἤγυν αὐτοχείρως ποιήσω, καὶ μόνη, μὴ παραλαβῦσα μηδένα σύμμαχον. Ἀγνοῦντες δέ τινες ἔτω φάσκειν, ἀργὸν τό τε λέγεσιν.

1027. Εἴθ'] εἴθε ὤφελες εἶναι τοιαύτη κατὰ τὴν γνώμην τότε, ὅτε θνήσκοντος τῦ πατρὸς τῦ Ἀγαμέμνονος. Πάντα γὰρ ἂν κατειργάσω.

1029. Ἀλλ' ἦν] οὐκ ἔςιν ὡς, ἐκ ἦν, ἀλλ' ἦν μὲν κατὰ τὴν φύσιν τοιαύτη τότε, κατὰ δὲ τὸν νῦν, ἤγυν τὴν φρόνησιν ἐλάττων.

1030. Ἄσκει] ἄσκει καὶ ἐπιτήδευε μένειν καὶ ὑπάρχειν τοιαύτη κατὰ τὸν νῦν, μέχρι τῦ σῦ αἰῶνος. Διότι μὴ θέλεσα ποιῆσαι ταῦτα, νεθετεῖς ἐμὲ δηλονότι.

Ib. Αἰῶνος] αἰὼν, σημαίνεται τρία· χίλια ἔτη, τὸ ὅλον διάςημα τῦ κόσμυ, καὶ ἑκάςυ τὴν ζωήν.

1032. Εἰκὸς γὰρ ἐγχειρῦντα] εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειρῦντα, καὶ πάσχειν κακῶς. Τῦτο δὲ Πινδαρικὸν,

" Ἐπηρεάζοντά τι καὶ παθεῖν ἔοικεν."

1034. Χ' ὤταν εὖ λέγῃς] οἷον, ἔςαι καιρὸς ὅτε με εὐφημήσεις· ἤτοι πειθήσομαι, καὶ ἐπαινέσω σε, ὅταν εὖ λέγῃς.

1036. Λοιπὸς χρόνος] μακρός ἐςιν ὁ ἐπίλοιπος χρόνος, ὅςτις ἔνι, εἰς τὸ κρίναι ταῦτα· Ἤγυν, ἢ εὐφημήσεις τὴν βυλὴν, ἣν σοι λέγω, ἢ ἐχί.

1037. Ὠφέλησις] ἤγυν ἐκ ἔκ σῦ τις ὠφεληθήσεται· ἐ γὰρ δύνασαι ὠφελεῖν τινά. Οὐ γὰρ ἐςί σοι ὠφέλειά τις, ἣν ὠφελήσεις ἄλλον· πρὸς ὅπερ ἡ Χρυσόθεμις, ἐμοὶ, φησὶν, ἔνεςιν ὠφέλεια.

ΧΡΥ. Οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛΕ. Ἀλλ' οὖν ἐπίσω γ' οἷ μ' ἀτιμίας ἄγεις.
ΧΡΥ. Ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου.
ΗΛΕ. Τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡΥ. Ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσῃ σὺ νῷν.
ΗΛΕ. "Ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν."
ΧΡΥ. Εἴρηκας ὀρθῶς, ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛΕ. Τίδ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡΥ. Ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ΗΛΕ. Τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡΥ. Ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛΕ. Καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡΥ. Καὶ τοῦτ' ἀληθὲς, οὐδὲ βουλεύσῃ πάλιν;
ΗΛΕ. "Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς."
ΧΡΥ. Φρονεῖν ἔοικας οὐδὲν, ὧν ἐγὼ λέγω.

ὠφέλεια, ἀντὶ τοῦ γνῶσις ὠφελείας· σοὶ δὲ μάθησις οὐκ ἔστιν.

1040. Οὐδ' αὖ] Ἤγουν, οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σε ἐγὼ, ἵνα ἐλθοῦσα ἐξείπω ταῦτα τῇ ἐμῇ μητρί.

Ib. Ἐχθαίρω] Κυρίως ἔχθρα, τὸ μῖσος. Ἐχθρὸς δὲ παράγεται ἀπὸ τοῦ ἔχειν θροῦν, ἤγουν θόρυβον. Ἔστι γὰρ ὅταν ἡ ψυχὴ δι' ὄρεξιν ἀντιλυπήσεως ἔχῃ ταραχὴν καὶ θόρυβον ἔνδον ἐν καρδίᾳ καὶ δακνηρὰν κίνησιν.

1042. Προμηθείας δέ σου] τὸ γὰρ ἀποτρέπειν σὲ ταύτης τῆς γνώμης, προνοουμένη σοῦ ποιῶ, ἵνα μὴ Κλυταιμνήστρας μαθούσης, κακόν τι πάθῃς.

1043. Τῷ σῷ] Εἰρωνικῶς φησὶ τοῦτο ἡ Ἠλέκτρα πρὸς τὴν Χρυσόθεμιν, ὅτι τὰ ἄδικα συμβουλεύει· ἄλλοι δὲ ἀναγινώσκουσι τοῦτο ἐρωτηματικῶς.

1044 Ὅταν γὰρ] Ἡ μὲν Ἠλέκτρα φησὶ τοῦτο περὶ αὐτῆς, ὅτι συμβουλεύει τὴν Χρυσόθεμιν τὰ κρείττονα, καὶ ἡ Χρυσόθεμις οὐ πείθεται, ἀλλὰ λέγει ὅτι σφάλλεται ἡ Ἠλέκτρα. Ὅπερ ὁ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ, καί φησι, ναὶ, ὀρθῶς εἴρηκας. Διότι ἐγὼ συμβουλεύω σε τὰ κρείττονα, ἵνα ὑπείκῃς τοῖς βασιλεῦσι, καὶ σὺ λέγεις ὅτι σφάλλομαι συμβουλεύειν σε ταῦτα, ἐν τῷ ὁποίῳ τούτῳ κακῷ, σὺ πρόσκεισαι.

1045. Ἦ δεινὸν] κρεῖττον ἂν ἦν, εὖ λέγοντα. Ἐδόκει γὰρ ἂν καθολικὸν γνωμικόν· νῦν δ' ἐπειδὴ καὶ ἡ λέγουσα γυνή ἐστι, διὰ τοῦτο, καὶ τοῦτο θηλυκῶς ἐξηνέχθη καί ἐστιν ὅπως γνωμικὸν καὶ οὐ γνωμικόν. Διότι μὲν γὰρ οὐκ ἔστι κατὰ παντὸς ἀνθρώπου, ἐκπίπτει τοῦ ὀνόματος. Διότι δὲ κατὰ πασῶν ἐστι γυναικῶν, τοὔνομα δέχεται.

1050. Ἀλλ' εἰ ποιήσεις ταῦτα] τὸ ταῦτα διπλῶς νοητέον, ἢ ταῦτα ἃ ἐγὼ λέγω, οὕτω, ἢν τὴν ἐμὴν συμβουλὴν δέξῃ, καὶ ἀποστῇς ταύτης τῆς γνώμης, ἔξω κινδύνου.

1052. Καὶ τοῦτ'] διπλῶς· ἢ ὅτι ποιήσεις ἃ ἐγὼ λέγω, ἢ ὅτι ποιήσεις ἃ αὐτὴ βούλει· ἀλλ' οὐδὲ εἰς συμβουλὴν μετὰ ταῦτα καλέσει, μὲ πάλιν· ἢ οὐ μεταβουλεύσῃ πάλιν.

1053. Βουλῆς] Οὐδαμᾶς· καὶ γὰρ βουλῆς κακῆς οὐδέν ἐστιν ἔχθιον, ἤγουν, μᾶλλον μιμισημένον

ΗΛΕ. Πάλαι δέδοκται ταῦτα, κ᾽ νεωςί μοι.
ΧΡΥ. Ἄπειμι τοίνυν· ὔτε γὰρ σὺ τἄμ᾽ ἔπη
Τολμᾷς ἐπαινεῖν, ὔτ᾽ ἐγὼ τὺς σὺς τρόπυς.
ΗΛΕ. Ἀλλ᾽ εἴσιθ᾽· ὔ σοι μὴ μεθέψομαί ποτε,
Οὐδ᾽ εἰ σφόδρ᾽ ἱμείρυσα τυγχάνεις· ἐπεὶ
"Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά."
ΧΡΥ. Ἀλλ᾽ εἰ σεαυτῇ τυγχάνεις δοκῦσά τι
Φρονεῖν, φρόνει τοιαῦθ᾽· ὅταν γὰρ ἐν κακοῖς
Ἤδη βεβήκῃς, τἄμ᾽ ἐπαινέσεις ἔπη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Τί τὺς ἄνωθεν φρονιμωτάτυς
Οἰωνὺς ἐσορώμενοι
Τροφᾶς κηδομένυς, ἀφ᾽ ὧν τε
Βλαςῶσιν, ἀφ᾽ ὧν τ᾽ ὄνησιν εὕρω-
σι, τάδ᾽ ὐκ * ἐπίσης τελῦμεν;
Ἀλλ᾽ ὐ, τὰν Διὸς ἀςραπὰν

* Aldus, ἐπίσας.

σημένον· ὥςε δηλονότι καλῶς βυλευομένη, ὐ βυλεύσομαι ἑτέρῳ κακὴν βυλήν.

1055. Πάλαι] Ἀντὶ τῦ πάλαι ποιῶ, ἤγυν ἐκ μακρῦ, ἐκ πολλῦ. Καὶ πάλαι ἐποίησα, ἤγυν πρὸ μακρῦ.

1058. Οὔ σοι μὴ] τὸ ὐ καὶ μὴ ἐκ παραλλήλυ. Τὸ δὲ μεθέψομαι ἀντὶ τῦ μεταδιώξω καὶ πρὸς συμβυλὴν παραλήψομαι.

1062. Ὅταν γὰρ ἐν κακοῖς] παρὰ τὸ Ὁμηρικὸν,

"Ῥεχθὲν δὲ τε νήπιος ἔγνω."

1064. Τί τὺς ἄνωθεν φρονιματάτυς] τὸ ἄνωθεν ἢ τόπυ, ἢ χρόνυ ἐςίν. Ἄνωθεν ἐκ φύσεως· ἢ τὺς ἐν τῷ ἀέρι. Οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτῦντι ἐπὶ τῇ Κλυταιμνήςρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐςὶ φιλοςοργία. Ἡ δὲ Κλυταιμνήςρα ἄςοργος. Τὸ δὲ ἑξῆς, τί τὺς ἄνωθεν φρονιμωτάτυς οἰωνὺς ὁρῶντες καλῶς κηδομένυς τῆς τροφῆς ἀφ᾽ ὅτων τε ἂν βλαςῶσι, καὶ ἀφ᾽ ὧν, ἂν ὄνησιν εὕρωσιν. Ἐπὶ τῶν τέκνων τὰ δύο, ἀφ᾽ ὧν τ᾽ αὐτοῖς βλαςῶσι τὰ τέκνα, ἀφ᾽ ὧν τε καὶ ὄνησιν εὕρωσι. Λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τὺς γονεῖς βαςάζειν τοῖς πτεροῖς, ἕως ὅτυ πτεροφυήσωσι.

1065. Οἰωνὺς] ἤγυν τὺς πελαργύς. Οὗτοι γὰρ γηράσαντας τὺς πατέρας τρέφυσιν, εἰς ἀμοιβὴν τῆς γεννήσεως καὶ ἀνατροφῆς· ὅθεν καὶ τὸ ἀντιπελάργωσις εἴρεται.

1067. Βλαςῶσιν] Τὸ βλαςῶσι καὶ τὸ εὕρωσιν, ἀντὶ τῦ ἐβλάςησαν καὶ εὗραν.

1068. Τὰ δ᾽ ὐκ ἐπίσης] καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τύτοις καθ᾽ ὧν τὸν λόγον πεποίηται.

1069. Ἀλλ᾽ ὐ τὰν Διὸς] ὐ χρὴ τὸ μὰ ἐντὸς τῦ κώλυ γράφειν (περισσὸν γάρ ἐςι) διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμῦ νοεῖν δὲ χρὴ τῦτο ἔξωθεν

Καὶ τὰν ὀυρανίαν Θέμιν,
Δαρὸν γὰρ ὀυκ * ἀποίνητοι.
Ὦ χθονία βροτοῖσι φάμα,
Κατά μοι βόασον οἰκτρὰν
Ὄπα τοῖς ἔνερθ᾽ Ἀτρείδαις,
Ἀχόρευτα φέρουσ᾽ ὀνείδη.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὅτι σφίσ᾽ ἤδη τὰ μὲν ἐκ δόμων
Νοσεῖ δή· † τὰ δὲ πρὸς τέκνων,
Διπλῆ φύλοπις οὐκέτ᾽ ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.
Πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς

* ALD. TURN. ἀπόνητοι. † ALDUS, σφίσιν ἤδη

θεν Ἀττικῶς. Οὗτοι γὰρ οὐ μόνον τὸ μὰ λαμβάνουσιν ἔξωθεν, ὡς τὸ οὐ τὰν, ἀλλὰ καὶ τὸ μὰ τιθέντες, τὸ τοῦ θεοῦ παραλείπουσιν ὄνομα.

1071. Οὐκ ἀποίνητοι] ἤγουν ἀτιμώρητοι ἔσονται Κλυταιμνήστρα καὶ Αἴγισθος· ἐσιώπησε δὲ τοῦτο, φοβουμένη διὰ τὸ δεσπότας.

1072. Ὦ χθονία βροτοῖσιν] οὐ τὴν ἐπίγειόν φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.

Ib. Ὦ χθονία] Ὦ φήμη τῶν βροτῶν, καταβόησον ἐν τοῖς καταχθονίοις τοῖς Ἀτρείδαις οἰκτρὰ φωνὴν, τοῖς οὖσιν ἔνερθεν, ἤγουν κάτω ἐν ᾅδῃ φέρουσα αὐτοῖς δηλονότι ὀνείδεα ἀχόρευτα. Τουτέστιν, προξενοῦσα αὐτοῖς τοῖς Ἀτρείδαις διὰ τῆς οἰκτρᾶς φωνῆς, ὀνείδεα λυπηρά· Ὅτι τοῖς Ἀτρείδαις αὐτοῖς νοσοῦσι· τὰ μὲν ἐκ δόμων, τάδε παρὰ τῶν τέκνων. Ἔστι δὲ διπλῆ μάχη· ἤγουν μητρὸς καὶ θυγατέρων καὶ θυγατέρων ἐν ἀλλήλαις. Καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ αὕτη ἡ διφλῆ μάχη, φιλοτησίῳ διαίτῃ. Ἢ καὶ οὕτως. Καὶ οὐκέτι ἐξισοῦται καὶ ὁμογνωμονεῖ τὰ τῶν τέκνων ἐν φιλοτησίῳ διαίτῃ·

1073. Κατά μοι βόασον] εἰκότως εἶπε τὸ καταβόησον, ἐπειδὴ ἐπὶ κατηγορίᾳ Αἰγίσθου καὶ Κλυταιμνήστρας ὁ παρὰ τῆς φήμης πρὸς Ἀγαμέμνονα λόγος γενήσεσθαι ἔμελλεν.

1074. Τοῖς ἔνερθ᾽ Ἀτρείδαις] ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην· δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι.

1075. Ἀχόρευτα φέρουσ᾽ ὀνείδη] ἐφ᾽ οἷς οὐκ ἄν τις χορεύσειεν. Ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη, ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

1076. Ὅτι σφίσιν ἤδη] ἡ ἀπόστασις πρὸς τὴν Κλυταιμνήστραν. Ἄγγειλον οὖν (φησὶν) ὅτι τὰ κατ᾽ οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ.

1078. Οὐκέτ᾽ ἐξισοῦται] οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.

1080. Πρόδοτος δὲ μόνα σαλεύει] κινδυνεύει. Ἐκ μεταφορᾶς τῶν νηῶν. Μόνη δὲ αὕτη ἐφ᾽ ἑαυτῆς χωρὶς ἀγκύρας.

Ib. Μόνα σαλεύει] τὸ σαλεύειν κυρίως ἐπὶ νεὼς λέγεται, ὅτ᾽ ἐπ᾽ ἀγκύρας κινεῖται καὶ ἀστατεῖ.

1081. Τὸν ἀεὶ πατρὸς] λείπει ἡ παῖ, περὶ τοῦ πατρὸς στενάχουσα. Ὡς τὸ Ὁμηρικὸν, τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,

Δειλαία ϛενάχυσ', ὅπως
Ἁ πανόδυρτος ἀηδὼν,
Οὔτέ τι τῦ θανεῖν προμηθὴς,
Τό,τε μὴ βλέπειν ἑτοίμα
Διδύμαν ἑλῦσ' ἐριννύν.
Τίς ἂν* εὔπατρις ᾧδε βλαϛοῖ;

ΣΤΡΟΦΗ Β.

" Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
" Εὔκλειαν αἰσχύναι θέλει
" Νώνυμος, ὦ παῖ, παῖ·" ὥϛ-
τε καὶ σὺ πάγκλαυτον αἰ-
ῶνα κοινὸν εἵλυ,
Τὸ μὴ καλὸν καθοπλίσασα
Δύο φέρειν ἑνί γε λόγῳ,
Σοφά τ' ἀρίϛα τε παῖς κεκλῆσθαι.

* Ald. Τίς ἂν ὗν.

Ὡς ἑνός. Τὸ δὲ ἑξῆς. Ἀεὶ τὸν τῦ πατρὸς μόρον ϛενάχυσα, ἢ τὸν ἀεὶ εἰς τὸν ἀεὶ χρόνον.

Ib. Τὸν ἀεὶ πατρὸς] θρῆνον δηλαδὴ ἢ φόνον. Τὸ δὲ ἀεὶ πρὸς τὸ ϛενάχυσα συναπτέον.

1083. Ἁ πανόδυρτος] ἤγυν, ἡ πάντοτε ὀδυρομένη Ἀηδὼν τὸν υἱὸν Ἴτυν. Θρηνεῖ δὲ αὐτὸν διὰ πάσης ἡμέρας καὶ νυκτός.

1084. Οὔτέ τι τῦ θανεῖν προμηθὴς] πρόνοιαν ὐκ ἔχυσα τῦ μὴ ἀποθανεῖν. Ὅ ἐϛιν ἀφειδῦσα τῆς ἰδίας τύχης, καὶ ῥιψοκινδυνῦσα.

Ib. Τῦ θανεῖν προμηθὴς] ἀντὶ τῦ προμήθειαν καὶ φροντίδα ἔχυσα, ἤγυν ὐ φροντίζυσα εἰ τεθνήξεται. Οἱ δὲ τῦ μὴ θανεῖν γράφοντες, ἀμαθεῖς.

1085. Τό,τε μὴ βλέπειν ἑτοίμα] ἑτοίμη καὶ τῆς ὄψεως ϛέρεσθαι· τυτέϛιν, ἀποϛερηθῆναι τῶν ὀμμάτων. Ἀντὶ τῦ, καὶ ἀποθανεῖν ἑτοίμη καὶ ζῶσα κολάζεσθαι. Καὶ τῦτο λέγει διδύμην ἐριννύν. Ἢ ἐπὶ τῦ θανάτυ τὰ δύο. Ἑτοίμη μὴ βλέπειν αὐτὺς, ἀλλ' ἐν σκότει γενέσθαι τῦ θανάτυ. Ἐν τῇ αὐτῇ ἐριννύϊ γενομένη τῷ Ἀγαμέμνονι· ὅ ἐϛι διπλῆ ἐριννύς.

1086. Διδύμαν] Αἴγισθον καὶ Κλυταιμνήϛραν.

1087. Τίς ἂν εὔπατρις] οἱ γράφοντες τίς ἂν ὖν, ὐκ ἴσασι τὰ περὶ τῶν μέτρων· διὸ περισσὸν κείμενον ἐξεβλήθη παρ' ἐμῦ τὸ ὖν. Ἔχει δὲ καὶ πρὸς τὴν σύνταξιν μᾶλλον ὀρθῶς ὕτωσι κείμενον.

1088. Ζῶν κακῶς] τῦτο αἰτία ἐϛὶ τῦ αἰσχῦναι τὴν εὔκλειαν.

1089. Αἰσχύναι] Αἰσχύνω σε προσφέρων σοι τὰ ἐγκλήματα. Καὶ αἰσχύνω τινὰ, ὅτε αἰσχρὰ ποιῶ ἐγώ. Ὁ δὲ συμμετέχει τῆς αἰσχύνης αὐτῶν ὡς πατὴρ, ἢ υἱὸς, ἢ συγγενής. Καὶ ἁπλῶς τοιῦτό τι· καθὸ λέγεται ἐνταῦθα, τὸ, εὔκλειαν αἰσχῦναι θέλει. Ἤγυν ὐ θέλει ἀνοίκεια τῆς εὐγενείας ποιεῖν, ὡς ἄτιμον γενέσθαι τὴν εὐγένειαν αὐτῦ καὶ ἐλαττῦσθαι.

1090. Ὥϛτε καὶ σὺ] ὥϛτε χρὴ γράφειν, ἀντὶ τῦ ὥϛπερ, ἵν' ἔχῃ τὰ κῶλα ὀρθῶς. Ἀλλὰ καὶ πάγκλαυτον. Οὕτω γὰρ οἱ Ἀττικοὶ τὰ τοιαῦτα γράφυσιν ἐκβάλλοντες τὸ σ, ὥϛπερ καὶ τὸ, εὐκτίμενον παρ' Ὁμήρῳ.

1092. Εἵλυ]

### ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ζώης μοι καθύπερθεν χερὶ,
Πλϋτῳ τε τῶν * ἐχθρῶν, ὅσον
Νῦν ὑπὸ χεῖρα ναίεις.
Ἐπεί σ᾽ ἐφεύρηκα μοί-
ρᾳ μὲν ὐκ ἐπ᾽ ἐσθλᾷ †
Βεβῶσαν· ἃ δὲ μέγις᾽ ἔβλαςε
Νόμιμα, τῶνδε φερομέναν
Ἄριςα τᾷ Ζηνὸς ‡ εὐσεβείᾳ.

### ΙΑΜΒΟΙ.

ΟΡΕ. Ἆρ᾽, ὦ γυναῖκες, ὀρθά τ᾽ εἰςηκϋσαμεν,
Ὀρθῶς δ᾽ ὁδοιπορϋμεν ἔνθα χρῄζομεν;
ΧΟΡ. Τίδ᾽ ἐξερευνᾷς, καὶ τί βϋληθεὶς πάρει;
ΟΡΕ. Αἴγισθον ἔνθ᾽ ᾤκηκεν ἱςορῶ πάλαι.
ΧΟΡ. Ἀλλ᾽ εὖ γ᾽ ἱκάνεις, χὠ φράσας ἀζήμιος.

* Ald. πέρθε καὶ πλϋτῳ τῶν. † Ald. ἐν ἐσθλᾷ.]

1092. Εἶλϋ] ὅταν δὲ ποιήσῃς μεθ᾽ ὑπαλλαγὴν, τὸ μὲν εἶλϋ ῥῆμα λαμβάνων ἀντὶ μετοχῆς, ἤγϋν ἑλομένη· τὸ δὲ καθοπλίσασα μετοχὴν, ἀντὶ ῥήματος, ἤγϋν καθώπλισας, ποιήσειας ἂν ἀρίςην σύνταξιν ϋτως. Οὔςπερ καὶ σὺ, ὦ θύγατερ, ἑλομένη κοινὸν αἰῶνα πάγκλαυςον, καθώπλισας καὶ ἐνίκησας τὸ μὴ καλόν· ὥςτε καὶ φέρειν ἐν ἑνὶ λόγῳ δύο ὀνόματα, καὶ κεκλῆσθαι παῖς ἀρίςη καὶ σοφή.

1096. Ζώης μοι] εἴθε ζῴης μοι χερὶ, ἤγϋν ἰσχύϊ καὶ δυνάμει χειρῶν καὶ πλϋτῳ, καθύπερθεν καὶ ὑπεράνω τῶν ἐχθρῶν, καθόσον νῦν ναίεις καὶ οἰκεῖς. Ὑπὸ χεῖρα καὶ ὑπὸ κάτω εἰς δϋλοσύνην τῶν ἐχθρῶν· ἐπεὶ ἐφεύρηκά σε βεβῶσαν καὶ ζῶσαν ϋκ ἐν ἐσθλῇ μοίρᾳ, ἄλλως δὲ φερομένην καὶ ἔχϋσαν τῇ εὐσεβείᾳ τϋ Διὸς, ἤγϋν μετὰ τῆς εὐσεβείας τϋ Διὸς, τὰ νόμιμα. Καὶ μᾶλλον, ἅτινα ἀπὸ τῶνδε τῶν νομίμων, ἐβλάςησαν καὶ ὑπάρχϋσι μέγιςα καὶ ἄριςα.

1101. Ἃ δὲ μέγις᾽ ἔβλαςε νόμιμα] ἃ δὲ φυσικὰ καὶ μέγιςα νόμιμα ἔβλαςε, τϋτων ἀποφερομένην τὰ ἄριςα. Ἢ ἐριςὰ, ἀμφηρίςῳ τῇ εὐσεβείᾳ τῇ τϋ Διός. Ἢ ἐριςὰ τῇ εὐσεβείᾳ, ᾗ ἄν τις ἐρίσειεν, ἀντὶ τϋ περισπϋδάςῳ προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα· ἀντὶ τϋ μετὰ εὐσεβείας πράτϊϋσαν.

1104. Ἆρ᾽, ὦ γυναῖκες] Ὀρέςης πάρεςι σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιϋμένων ὀςῶν ἑαυτϋ. Θαυμαςὴ δὲ ἡ οἰκονομία τϋ ποιητϋ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τϋ θανάτϋ κομίσαι τὰ λείψανα· ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδϋ τῷ Ὀρέςῃ. καὶ παρ᾽ αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τϋ πάθϋς.

1107. Αἴγισθον ἔνθ᾽] τινὲς ἀμαθεῖς Αἴγισθος γράφϋσι πρὸς τὸ ᾤκηκεν, ϋκ εἰδότες ὅτι τοιϋτόν ἐςιν ὥςπερ τὸ, Σὺ δ᾽ ἀντακϋσῃ τϋτον ὡς τεθάψεται. Καὶ τὸ, Ψύλλαν ἐπόσϋς ἅλοιτο τϋς αὑτῆς πόδας. Καὶ, — οἳ τὸν ϋρανὸν Λέγοντες ἀναπείθϋσιν ὡς ἐςιν πνιγεύς. Καὶ, Τϋπίτριπἶον κίναδος ἐξῆρϋ μ᾽ ὅπϋ.

1108. Ἀζήμιος] τὸ ἀζήμιος, καὶ ἐπὶ ἐνεργείας καὶ πάθϋς, ἤγϋν ὁ μὴ ζημιωθεὶς, καὶ

ὁ μὴ

ΟΡΕ. Τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειν ἂν
Ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟΡ. Ἡ δ᾽· εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡΕ. Ἴθ᾽, ὦ γύναι, δήλωσον εἰσελθοῦσ᾽ ὅτι
Φωκεῖς ματεύουσ᾽ ἄνδρες Αἴγισθόν τινές.
ΗΛΕ. Οἴμοι τάλαιν᾽· οὐ δή ποθ᾽, ἧς ἠκούσαμεν
Φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡΕ. Οὐκ οἶδα τὴν σὴν κληδόν᾽· ἀλλά μοι γέρων
Ἐφεῖτ᾽ Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛΕ. Τίδ᾽ ἔστιν, ὦ ξέν᾽; ὥς μ᾽ ὑπέρχεται φόβος.
ΟΡΕ. Φέροντες αὐτοῦ σμικρὰ λείψαν᾽ ἐν βραχεῖ
Τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛΕ. Οἲ ἐγὼ τάλαινα· τοῦτ᾽ ἐκεῖν᾽ ἤδη σαφές·
Πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι·
ΟΡΕ. Εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
Τόδ᾽ ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛΕ. Ὦ ξεῖνε, δὸς νῦν, πρὸς θεῶν, εἴπερ τόδε
Κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν·
Ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
Ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

ὁ μὴ ζημιώσας τινά. Ἐνταῦθα γοῦν ἐπὶ ἐνεργείας·

1110. Ποθεινὴν] ἐπόθει γὰρ Κλυταιμνήστρα καὶ τὸν Ὀρέστου νεκρὸν ἰδεῖν, μὴ μόνον ἀκοῦσαι·

1111. Εἰ τὸν ἄγχιστον] Συγγενῆ καὶ ἀδελφὸν δηλονότι. Τουτέστιν, εἰ τὸν θάνατον τοῦ συγγόνου αὐτῆς, ἔστι χρεὼν κηρύσσειν καὶ μηνύειν.

1113. Ματεύουσ᾽] μαστεύω, τὸ ζητῶ καὶ σκοπῶ. Καὶ ματεύω ἐνταῦθα χωρὶς τοῦ σ διὰ τὸ μέτρον, ἵνα ᾖ ὁ δεύτερος πούς ἴαμβος.

1114. Οὐ δή ποθ᾽ ἧς ἠκούσαμεν] ἐπειδὴ τὸ μὴ, οὐ μόνον ἀντὶ τοῦ οὐ, ἀλλὰ καὶ ἐρωτηματικὸν ἀντὶ τοῦ ἆρα εὕρηται, διὰ τοῦτο καὶ τὸ οὐ, οὐ μόνον ἀρνητικόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἆρα. Καὶ τοῦτο μὲν πάντες· σὺ δὲ τὸ οὐ ἀρνητικὸν λέγων, ἐπειδὴ κατ᾽ ἐρώτησιν προάγεις, τὸ αὐτὸ ποιήσεις ὥσπερ ἂν εἰ ἆρα ἦν, τοῦτο γὰρ κἀντεῦθεν συνάγεται ὅπερ ἐκ τοῦ ἆρα.

1119. Φέροντες κομίζομεν] τὸ φέρειν ἐνταῦθα, τὸ ἁπλῶς βαστάζειν δηλοῖ. Τὸ δὲ κομίζειν, τὸ ἀπεσταλμένον διαστάζειν.

1123. Κακῶν] τῶν συμβεβηκότων τῷ Ὀρέστῃ. Ἀπὸ τῶν τοῦ Ὀρέστου κακῶν, ἤγουν ἀφ᾽ ὧν κακῶν ἔπαθεν ὁ Ὀρέστης.

1125. Εἴπερ] ἤγουν, εἴπερ τόδε τὸ ἀγγεῖον κρύπτει αὐτὸν, δός μοι νῦν πρὸς θεῶν, ὥστε τὸ λαβεῖν εἰς χεῖρας.

1129. Δόθ᾽

ΟΡΕ. Δόθ', ἥτις ἐστὶ, προσφέροντες· οὐ γὰρ ὡς
Ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε*·
Ἀλλ' ἢ φίλων τὶς, ἢ πρὸς αἵματος φύσιν.
ΗΛΕ. Ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ,
Ψυχῆς Ὀρέστου λοιπόν· ὡς ἀπ' ἐλπίδων
Οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην;
Νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
Δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
Ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
Πρὶν ἐς ξένην σὲ γαῖαν ἐκπέμψαι χεροῖν
Κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου·
Ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
Τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
Νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,

* ALD. τάδε.

1129. Δόθ' ἥτις ἐστὶ] εἰκὸς αὐτοῖς ἕπεσθαί τινας. Περιπαθῶς δὲ λίαν τὸ, ἥτις ἐστί.

1131. Ἀλλ' ἢ φίλων] ἤγουν ἢ ἀπὸ τῶν φίλων οὖσά τις αἰτεῖται ταῦτ', ἢ κατὰ γενεὰν πρὸς γένους.

1132. Ὦ φιλτάτου] θρῆνος Ἠλέκτρας ἐπὶ τῷ ἀδελφῷ.

Ib. Ὦ φιλτάτου] ἐνταῦθα λαβοῦσα τὸ ἀγγεῖον ἡ Ἠλέκτρα, καὶ ὀδυρομένη λέγει ταῦτα· Ὦ μνημεῖον καὶ ὑπόμνημα ὑπόλοιπον τῆς ψυχῆς τοῦ Ὀρέστου, τοῦ φιλτάτου ἐμοὶ ἀπὸ πάντων τῶν ἀνθρώπων, ἐγὼ εἰσεδεξάμην σὲ δηλονότι, λίαν ἄπο καὶ μακρὰν τῶν ἐλπίδων ὧν ἤλπιζον δηλονότι, καὶ οὐχ ὥσπερ ἐξέπεμπον.

1133. Ὡς ἀπ' ἐλπίδων] ὄντως ἀπ' ἐλπίδων εἰσεδεξάμην σὲ, δηλονότι οὐκ ἐκείνων ὧνπερ ἐξέπεμπον, ἀλλὰ κακῶν· ἐκεῖναι μὲν γὰρ καλαὶ ἦσαν καὶ σωτηρίαν ἐμοὶ ἔχουσαι· αὗται δὲ (λέγω γὰρ ἃς ὁ ἄγγελος ὑπέβαλεν, ὡς μετ' ὀλίγον ἂν σε νεκρὸν δεξαίμην) καθάπαξ ἀπωλεσάν με. Δέον δ' εἰπεῖν αἷσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν.

1134. Εἰσεδεξάμην] δέχομαι ἁπλῶς τὸν ἐρχόμενον εἰς ἐμέ· εἰσδέχομαι δ' ἐπὶ οἰκίας, καὶ λιμένος, ἢ τοιούτου τινὸς, ὃ δὴ καὶ λαμβάνω λέγεται. Λέγεται δὲ τὸ λαμβάνω, ποτὲ μὲν, ὅταν ἀπὸ σοῦ ἄκοντος τὶ λάβω· ποτὲ δ' ὅταν ἑκόντος σοῦ λάβω.

1135. Νῦν μὲν γὰρ οὐδὲν ὄντα] ἤγουν νεκρὸν καὶ ἄψυχον, καὶ σκιὰν, σε βαστάζω χεροῖν. Ὦ παῖ, ἐγὼ κλέψασά σε χεροῖν ταῖνδε, καὶ ἀνασώσασα ἀπὸ τοῦ φόνου, ἐξέπεμψα λαμπρὸν ἐκ τῶν δόμων. Ἀλλ' εἴθ' ὤφελες ἐκλιπεῖν πάροιθεν τὴν ζωὴν, πρὸ τοῦ ἐκπέμψαί σε ἐς ξένην γαῖαν· ὅπως θανὼν ἔκεισο τῇ τότε ἡμέρᾳ, εἰληχὼς μέρος τοῦ πατρικοῦ τύμβου.

1138. Πρὶν ἐς ξένην σὲ] πρὸ τοῦ ἐκπέμψαι σὲ εἰς ξένην γῆν, ἤγουν ἀλλοτρίαν, καὶ σῶσαι, ἤγουν φυλάξαι, καὶ ῥύξασθαί σε ἀπὸ τοῦ φόνου, ὤφελον θανεῖν. Τινὲς δὲ, ἀπὸ τοῦ ὅπως θανὼν ἔκεισο, ἀπατώμενοι, ὤφελες γράφουσι, καὶ κλέψασαν, τὸ ἐκλιπεῖν βίον πρὸς τὸν Ὀρέστην νοοῦντες. Τὸ δ' οὐ τοιοῦτον, ἀλλὰ λέγει ἡ Ἠλέκτρα, εἴθ' ὤφελον πρόσθεν θανεῖν, ἢ εἰς ἀλλοτρίαν ἐκπέμψαι σὲ γῆν. Εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, οὐδεὶς ἂν σε τῶν Κλυταιμνήστρας ἐξεῖλε χειρῶν· ὥστε ἀπολώλεις ἂν ἐξ ἐκείνου τότε ὥσπερ ὁ πατὴρ, καὶ συνετάφης αὐτῷ.

1143. Σῆς κασιγνήτης δίχα] οἷον τῆς μόνης σου κηδομένης. Ὅλα δὲ ἐπιτέταται τῷ πάθει

διὰ

Κακῶς ἀπώλυ, σῆς κασιγνήτης δίχα.
Κὐτ᾽ ἐν φίλαισι χερσὶν ἡ τάλαιν᾽ ἐγὼ
Λυτροῖς ἐκόσμησ᾽, ὔτε παμφλέκτυ πυρὸς
᾽Ανειλόμην ὡς εἰκὸς ἄθλιον βάρος.
᾽Αλλ᾽ ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
Σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
Οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
᾽Ανωφελήτυ, τὴν ἐγὼ θάμ᾽ ἀμφὶ σοὶ
Πόνῳ γλυκεῖ παρέσχον· ὔτε γάρ ποτε
Μητρὸς σύ γ᾽ ἦσθα μᾶλλον ἢ κἀμῦ φίλος,
Οὔθ᾽ οἱ κατ᾽ οἶκον ἦσαν, ἀλλ᾽ ἐγὼ, τροφός·
᾽Εγὼ δ᾽ ἀδελφὴ σὴ προσηυδώμην ἀεί.
Νῦν δ᾽ ἐκλέλοιπε ταῦτ᾽ ἐν ἡμέρᾳ μιᾷ
Θανόντα σὺν σοί· πάντα γὰρ συναρπάσας,
Θύελλ᾽ ὅπως, βέβηκας· οἴχεται πατήρ·
Τέθνηκ᾽ ἐγώ σοι· φρῦδος αὐτὸς εἶ θανών.
Γελῶσι δ᾽ ἐχθροί· μαίνεται δ᾽ ὑφ᾽ ἡδονῆς
Μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
Φήμας λάθρα προὔπεμπες ὡς φανύμενος

διὰ τὸ παρεῖναι τὸν ᾽Ορέστην. ῾Ως καὶ Πηνελόπη παρόντα ᾽Οδυσσέα θρηνεῖ παρ᾽ ῾Ομήρῳ. ᾽Εν οἷς φησὶ,

" Σὸν ἄνδρα παρήμενον."

᾽Ενθάδε δὲ δίκαιον δηλῦσθαι, ὅτι ἀδελφὴ αὐτῦ ἐστιν, ἡ ἐν τῷ λόγῳ. ᾽Αγνοῶν γὰρ αὐτὴν ᾽Ορέστης, ἀπολοφυρομένην γνώσεται.

1148. Σμικρὸς προσήκεις] ἐνταῦθα ἀντὶ τῦ προσέρχῃ, ἐπεὶ καὶ τὸ προσήκει ἀντὶ τῦ πρέπει, τῦτο λέγει ὡς πρὸς τῷ πράγματι τῷδ᾽ ἥκει καὶ ἔρχεται, τῦτ᾽ ἔστι, συμβαίνει καὶ ἰμῦ γίνεται, ὥστε τὸ συμβαῖνόν τινι, πρέπει καὶ ἁρμόζει ἐκείνῳ, καὶ διὰ τῦτο συμβαίνει.

1149. Τροφῆς] ἢ, ἕνεκα τῆς ἐμῆς τροφῆς, ἤγυν, ἣ ἔτρεφον σὲ ἐγὼ πάλαι· τυτέστι, πρὸ μακρῦ.

1150. ᾽Ανωφελήτυ] ματαίας· ἐπ᾽ ὐδεμιᾷ γὰρ ὠφελείᾳ ταύτην ἐποίησα· ἤγυν, ὐδεμιᾶς ὠφελείας ἀπήλαυσα παρ᾽ αὐτῆς.

1151. Οὔτε γάρ ποτε] ὐ γὰρ ἦς (φησὶ) τῆς μητρὸς ποτὲ, ἢ καὶ ἐμῦ μᾶλλον· ἵνα ἐπὶ τῷ ἦσθα διαστείλωμεν· ὐκ ἦσθα τῆς μητρὸς, ἀλλὰ μᾶλλον καὶ ἐμῦ. Οἷον, ἐγώ σοι μᾶλλον ἤμην μήτηρ. ῍Ηπερ ἡ Κλυταιμνήστρα. Τὸ δὲ φίλος, ἀντὶ τῦ ὄφελος. ῎Αλλως· ὐκ ἦς τῆς μητρὸς μᾶλλον ἢ ἐμῦ· ἀντὶ τῦ, ὐ τῇ μητρὶ προσέκεισο μᾶλλον. ῎Αμεινον δὲ τὸ ἕτερον, διὰ τὴν ἡλικίαν τῦ ᾽Ορέστυ, ἐφ᾽ ᾗ τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τότε, ὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν·

1152. Φίλος] φίλος λέγεται τὶς τινὸς, ἢ ὅτι φιλεῖ αὐτὸν, καθὸ λέγεται ἐνταῦθα· ἢ ὅτι φιλεῖται ὑπ᾽ αὐτῦ. Καὶ ἀμφότερα δηλοῖ ἡ λέξις.

Τιμωρὸς αὐτός· ἀλλὰ τῦθ᾽ ὁ δυστυχὴς
Δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
Ὅς σ᾽ ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
Μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
Οἴμοι, οἴμοι.
Ὦ δέμας οἰκτρόν· φεῦ, φεῦ.
Ὦ δεινοτάτας, οἴμοι, οἴμοι,
Πεμφθεὶς κελεύθȣς, φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας;
Ἀπώλεσας δῆτ᾽, ὦ κασίγνητον κάρα·
Τοιγὰρ, σὺ δέξαι μ᾽ ἐς τὸ σὸν τόδε ςέγος,
Τὴν μηδὲν εἰς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
Ναίω τολοιπόν· καὶ γὰρ ἡνίκ᾽ ἦσθ᾽ ἄνω,
Ξὺν τοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
Τȣ̃ σȣ̃ θανȣ̃σα μὴ ᾽πολείπεσθαι τάφȣ.
" Τȣ̀ς γὰρ θανόντας ȣ̓χ ὁρῶ λυπȣμένȣς."

ΧΟΡ. Θνητȣ̃ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
Θνητὸς δ᾽ Ὀρέςης· ὥςτε μὴ λίαν ςένε.
" Πᾶσιν γὰρ ἡμῖν τȣ̃τ᾽ ὀφείλεται παθεῖν."

ΟΡΕ. Φεῦ, φεῦ· τί λέξω; ποῖ λόγων ἀμηχάνων
Ἔλθω; κρατεῖν γὰρ ȣ̓κέτι γλώσσης σθένω.

ΗΛΕ. Τίδ᾽ ἔσχες ἄλγος; πρὸς τί τȣ̃τ᾽ εἰπὼν κυρεῖς;

ΟΡΕ. Ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;

ΗΛΕ. Τόδ᾽ ἔς᾽ ἐκεῖνο, καὶ μάλ᾽ ἀθλίως ἔχον.

ξις. Ὡς ἐν τȣ́τοις· μὴ πταίων, φίλος εἶ θνητοῖς. Φίλος εἶ μακάρεσσιν· ἂν πταίσῃς, ȣ̓δεὶς ἔτι σοὶ φίλος. Ἤγȣν ȣ̓δεὶς ἔτι φιλέως διάκειται πρὸς σε.

1168. Ὦ δεινοτάτας] τινὲς ȣ̓ δυνάμενοι συντάξαι τὴν γενικὴν, δεινοτάτας κελεύθȣς φασὶν, ȣ̃ς αὐτὸς ἐάσας, ȣ̎τω νόει ὡς κεῖται, εἰ καὶ λεπτὸν ὂν ἐκφεύγει τὸν νȣ̃ν, ὦ φίλτατε, λίαν ἀπώλεσάς με πεμφθεὶς δεινοτάτης κελεύθȣ, τȣ̃τ᾽ ἔςι τὸ πεμφθῆναί σε κακὴ κέλευθος, καὶ λύπας καὶ ὀδυρμȣ̀ς ἐμοὶ διὰ τὸν σὸν προξενήσασα θάνατον. Νόει δὲ τὸ πεμφθεὶς διπλȣ̃ν, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκιαν πεμφθεὶς νεκρὸς, ἢ ἀπὸ τῆς οἰκιας πρὸς την Φωκίδα ἀπ᾽ Ἠλέκτρας πεμφθεὶς.

1183. Ἦ σὸν] ἆρα σȣ̃ τῆς Ἠλέκτρας, ἐςὶ τόδε τὸ κλεινον, ἤγȣν, τὸ ἔνδοξον εἶδος, περιφρασικῶς, αντὶ τȣ̃, ἆρα σὺ εἶ ἡ ἔνδοξος Ἠλέκτρα.

1184. Τὸ δ᾽ ἔς᾽ ἐκεῖνο] τȣ̃το δύναται μὲν καὶ

ΟΡΕ. Οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛΕ. Τί δή ποτ᾽, ὦ ξέν᾽, ἀμφ᾽ ἐμοὶ στένεις τάδε;
ΟΡΕ. Ὦ σῶμ᾽ ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛΕ. Οὔτοι ποτ᾽ ἄλλην ἢ ᾽μὲ δυσφημεῖς, ξένε.
ΟΡΕ. Φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛΕ. Τί δή ποτ᾽, ὦ ξέν᾽ ὧδ᾽ ἐπισκοπῶν στένεις;
ΟΡΕ. Ὡς οὐκ ἄρ᾽ ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛΕ. Ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡΕ. Ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
ΗΛΕ. Καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡΕ. Καὶ πῶς γένοιτ᾽ ἂν τῶνδέ τ᾽ ἐχθίω βλέπειν;
ΗΛΕ. Ὅθ᾽ οὕνεκ᾽ εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡΕ. Τοῖς τοῦ; πόθεν τοῦτ᾽ ἐξεσήμηνας κακόν;
ΗΛΕ. Τοῖς πατρὸς, εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡΕ. Τίς γάρ σ᾽ * ἀνάγκη τῇδε προτρέπει βροτῶν;
ΗΛΕ. Μήτηρ καλεῖται, μητρὶ δ᾽ οὐδὲν ἐξισοῖ.
ΟΡΕ. Τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
ΗΛΕ. Καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ΟΡΕ. Οὐδ᾽ οὑπαρήξων, οὐδ᾽ ὁ κωλύσων πάρα;
ΗΛΕ. Οὐ δῆθ᾽· ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
ΟΡΕ. Ὦ δύσποτμ᾽, ὡς ὁρῶν σ᾽ ἐποικτείρω πάλαι;
ΗΛΕ. Μόνος βροτῶν, νῦν ἴσθ᾽, ἐποικτείρας ποτέ.

* ALDUS, ἀνάγκῃ.

καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους εἴπῃ τι. Θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα.

1186. Στένεις τάδε] στενάζεις τούτους τοὺς στεναγμούς.

1188. Δυσφημεῖς] ἐλεεινολογῇ, σχετλιάζεις.

1191. Ὡς οὐκ ἄρ᾽ ᾔδειν] τινές φασι τὸ ὡς ἀντὶ τοῦ ὅτι, ἵν᾽ ᾖ πρὸς τὸν αἶνον τῆς Ἠλέκτρας λόγον. Ἄλλοι δέ φασι κομματικὸν τὸ ὡς, ἀντὶ τοῦ ὄντως νοοῦντες· ὃ καὶ κρεῖττον.

1193. Ἐμπρέπουσαν] διατρέπει ἀντὶ τοῦ λάμπει. Ἐμπρέπει δὲ τίς τινὶ, ἀντὶ τοῦ, περιφανής ἐστιν ἐν ἐκείνῳ.

1196. Ὅθ᾽ οὕνεκ᾽ εἰμὶ] τοῦτ᾽ ἔστιν ἔχθιον, ὅτι εἰμὶ τοῖς φονεῦσι σύντροφος, ἤγουν συνδιαιτωμένη.

1206. Νῦν ἴσθ᾽] γίνωσκε, ὅτι σὺ μόνος ὑπάρχεις ἀπὸ τῶν βροτῶν, ὁ ἐποικτείρων ἐμέ.

1212. Μὴ

ΟΡΕ. Μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛΕ. Οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡΕ. Ἐγὼ φράσαιμ' ἂν, εἰ τὸ τῶνδ' εὔνουν παρά.
ΗΛΕ. Ἀλλ' ἔςιν εὔνουν· ὥστε πρὸς πιςὰς ἐρεῖς.
ΟΡΕ. Μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛΕ. Μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡΕ. Πείθου λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
ΗΛΕ. Μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡΕ. Οὔ φημ' ἐάσειν.
ΗΛΕ. Ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέςα, τῆς σῆς εἰ ςερήσομαι ταφῆς.
ΟΡΕ. Εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ ςένεις.
ΗΛΕ. Πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ ςένω;
ΟΡΕ. Οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛΕ. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡΕ. Ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛΕ. Εἴπερ γ' Ὀρέςου σῶμα βαςάζω τόδε.
ΟΡΕ. Ἀλλ' οὐκ Ὀρέςου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛΕ. Ποῦ δ' ἔς' ἐκείνου τοῦ ταλαιπώρου τάφος;

1212. Μὴ δῆτα] Ὦ ξένε, πρὸς θεῶν, μὴ δῆτα ἐργάσῃ τοῦτο πρὸς ἐμέ. Ἤγουν εἰς ἐμέ· Τουτέςιν, μὴ ἕλῃς ἐκ τῶν χειρῶν μου τὸ ἄγγος·

1216. Ὦ τάλαιν' ἐγὼ σέθεν] τὸ σέθεν πρὸς τὸ, ὦ τάλαινα, ἔξωθεν λαμβανομένου τοῦ ἕνεκα. τὸ δὲ, τῆς σῆς εἰ ςερήσομαι ταφῆς. Ὥςπερ ἑρμηνεία ἐςὶ τοῦ τάλαιν' ἐγὼ σέθεν.

1218. Πρὸς δίκης] ἀντὶ τοῦ. μετὰ δικαιοσύνης.

1220. Τήνδε φάτιν] ἀντὶ τοῦ, τὸν λόγον.

1221. Οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος] ὥστε μήτε ὀνομάζειν αὐτὸν, δηλονότι.

1222. Ἄτιμος] ἤγουν, οὐδενὸς ἀγαθοῦ σὺ ὑπάρχεις ἀναξία· τοῦτο δὲ τὸ ἀγγεῖον, οὐχὶ σόν ἐςιν, ἀλλ' ἐμὸν δηλονότι. Πῶς οὐκ ἔςιν ἐμὸν, εἴπερ γε βαςάζω τόδε τὸ σῶμα τοῦ Ὀρέςου· ἤγουν, εἴπερ γε τόδε, ὃ βαςάζω, ἐςὶ τὸ σῶμα τοῦ Ὀρέςου.

1224. Πλὴν λόγῳ γ' ἠσκημένον] ὅτι τέθνηκεν ὁ Ὀρέςης οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ· ἔργῳ μὲν, ὅτι τὸ ἄγγος τὴν αὐτοῦ φέρει κόνιν· λόγῳ δ', ὅτι ἐν Δελφοῖς ἀγωνιζόμενος τέθνηκε. Σύντασσε δ' οὕτως, ἀλλὰ οὐ τὸ Ὀρέςου σῶμ' ἐςὶ τόδ', ὡς σὺ φής. Πλὴν εἰ μὴ καὶ ἠσκημένον ἐν λόγῳ, οὐ μόνον ἔργῳ, δηλονότι.

1225. Τάφος] ἤγουν τὸ ἀγγεῖον, ὃ περιέχει τὰ λείψανα τοῦ Ὀρέςου· τάφος γίνεται ἀπὸ τοῦ τητῶ, ὃ δηλοῖ τὸ ςερίσκω, καὶ τοῦ φῶς. Ἤγουν ὁ τόπος ὁ ἐςερημένος φωτὸς, τουτέςιν σκοτεινός. Ἢ ἔνθα οἱ ςερηθέντες τοῦ φωτὸς κεῖνται. Ἢ ἀπὸ τοῦ τύφω, ὃ δηλοῖ τὸ καίω· ὅτι οἱ παλαιοὶ ἐν αὐτῷ ὡς ἐν θυσιαςηρίῳ, κα-

ΟΡΕ. Οὐκ ἔςι· “ τῦ γὰρ ζῶντος ὐκ ἔςι τάφος.”
ΗΛΕ. Πῶς εἶπας, ὦ παῖ;
ΟΡΕ. Ψεῦδος ὐδὲν ὧν λέγω.
ΗΛΕ. Ἦ ζῇ γὰρ ἀνήρ;
ΟΡΕ. Εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛΕ. Ἦ γὰρ σὺ κεῖνος;
ΟΡΕ. Τήνδε προςϐλέψασά μυ
Σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛΕ. Ὦ φίλτατον φῶς.
ΟΡΕ. Φίλτατον, συμμαρτυρῶ.
ΗΛΕ. Ὦ φθέγμ', ἀφίκυ;
ΟΡΕ. Μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛΕ. Ἔχω σὲ χερσίν.
ΟΡΕ. Ὡς τὰ λοίπ' ἔχεις ἀεί.
ΗΛΕ. Ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
Ὁρᾶτ' Ὀρέςην τόνδε μηχαναῖσι μὲν
Θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον;
ΧΟΡ. Ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
Γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

τέκαιον τὰ τῶν τεθνεώτων σώματα, καὶ τὸ περιλειφθὲν κατεχώννυον.

1227. Πῶς εἶπας] τὰ δύο κῶλα ἀντὶ ἑνός.

1233. Σφραγῖδα πατρὸς] τὸν ἐξ ἐλέφαντος ὦμον, ὃν οἱ ἐκ Πέλοπος καταγόμενοι εἶχον· ἕτεροι δὲ φασι τὸ σφραγῖδα ἀντὶ τῦ δακτύλιον.

1236. Ὦ φθέγμ', ἀφίκυ] λείπει φίλτατον.

1239. Ἔχεις] Ναὶ ἔχεις με, ὥςπερ ἔχεις καὶ τὰ λοιπὰ ἀγαθὰ ἀπ' ἐντεῦθεν εἰς τὸ ἑξῆς.

1242. Νῦν δὲ μηχαναῖς] ἡνωμένον τῦτο δηλῦται σαφέςερον, οἷον διὰ μηχανῆς καὶ ἀποθανεῖν δόξαντα καὶ ζῶντα. Διῃρημένον δὲ τὸ μὲν διὰ μηχανῶν δόξαντα ἀποθανεῖν, δοκεῖ λόγον ἔχειν, ὐ μὴ καὶ τὸ διὰ μηχανῶν σεσωσμένον.

1243. Κἀπὶ συμφοραῖσί μοι] συμφορὰ ὐ μόνον ἐπὶ δυςτυχίας, ἀλλὰ καὶ ἐπὶ συνελεύσεως ἁπλῶς λαμϐάνεται, ὡς κἀνταῦθα. Ἰςέον δ' ὅτι ὅτε τὶς τὸν αὐτῦ πολὺν χρόνον ἀποδημῦντα μόλις θεάσαιτο, δακρύοις καὶ χαρᾷ κάτοχος γίνεται· τοῖς μὲν, διὰ τὴν πρόσθεν ἀπουσίαν· χαρᾷ δὲ, διὰ τὴν παρῦσαν ἀπόλαυσιν.

1244. Δάκρυον] ἀπὸ τῦ δάκνω καὶ τὸ ῥέω· δακνομένης γὰρ τῆς ψυχῆς, ἤγυν λυπυμένης καὶ θλιϐομένης, ῥέει τὸ δάκρυον.

1248. Εἶδεθ'

ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΗΛΕ. Ἰὼ γοναὶ, γοναὶ σω-
μάτων ἐμοὶ φιλτάτων,
Ἐμόλετ' ἀρτίως·
Ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.

ΣΥΣΤΗΜΑ Α.

ΟΡΕ. Πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛΕ. Τί δ' ἐστίν;
ΟΡΕ. Σιγᾷν ἄμεινον, μήτις ἔνδοθεν κλύῃ.

ΣΤΡΟΦΗ Β.

ΗΛΕ. Ἀλλ' οὐ τὰν Ἄρτεμιν
Τὰν αἰὲν ἀδμήταν,
Τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι,
Περισσὸν ἄχθος ἔνδον
Γυναικῶν ὂν ἀεί.

ΣΥΣΤΗΜΑ Β.

ΟΡΕ. Ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς Ἄρης
Ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.

ΣΤΡΟΦΗ Γ.

ΗΛΕ. Ὀτοττοτοί·

1248. Εἴδεθ' οὓς ἐχρῄζετε] ἀντὶ τοῦ ἐμέ.

1249. Σῖγ' ἔχουσα πρόσμενε] ἀντὶ τοῦ σίγα, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.

1250. Τίδ' ἐστίν] παράκειται ἑκάστῳ τὸ οἰκεῖον. Ἡ μὲν γὰρ γυνή τε οὖσα, καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐστίν· ὁ δὲ, ἧττον ἀσφαλὴς, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.

1254. Τόδε μὲν] τὸ τόδε πρὸς τὸ περισσὸν ὂν ἄχθος, σύναπτε, ἢ πρὸς τὸ τρέσαι ὑποστίξας, λέγε οὕτως, οὔποτ' ἀξιώσω τρέσαι τόδε, τὸ μή τις ἔνδον κλύῃ, περισσοῦ ἄχθους γυναικῶν ὄντος ἔνδον, εἰώθαμεν γὰρ τοὺς ἀργοὺς, καὶ μὴ ἐπί τι χρησίμους, ἄχθος καλεῖν γῆς.

1257. Ὅρα γε μὲν δὴ] ἐπὶ τὴν Κλυταιμνήστραν τείνων, φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

1259. Ὀτοτοτοί] ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων, φησὶν, ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον. Ὡς εἰ ἔφη, διάδηλον κακὸν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον.

1260. Ἀνέφελον]

'Ανέφελον ἐπέβαλες,
Οὔποτε καταλύσιμον,
Οὐδέποτε λησόμενον,
'Αμέτερον οἷον ἔφυ κακόν.

Σ Υ Σ Τ Η Μ Α Γ.

ΟΡΕ. Ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
Φράζῃ, τότ' ἔργον τῶνδε μεμνῆσθαι χρεών.

Α Ν Τ Ι Σ Τ Ρ Ο Φ Η Α.

ΗΛΕ. Ὁ πᾶς ἐμοὶ, ὁ πᾶς ἂν
Πρέποι παρὼν ἐννέπειν
Τάδε δίκᾳ χρόνος·
Μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

Α Ν Τ Ι Σ Υ Σ Τ Η Μ Α Α.

ΟΡΕ. Ξύμφημι κἀγώ· τοιγαροῦν σῶζου τόδε.
ΗΛΕ. Τί δρῶσα;
ΟΡΕ. Οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.

Α Ν Τ Ι Σ Τ Ρ Ο Φ Η Β.

ΗΛΕ. Τίς δῆτ' οὖν ἀξίαν
Σοῦ μοι φανέντος νῦν

1260. 'Ανέφελον] ἤγουν διάδηλον καὶ μὴ ὑπὸ νεφέλης καλυπτόμενον· εἴρηται δ' ἐκ μεταφορᾶς τοῦ ἡλίου μὴ δυναμένου ὑπὸ νεφῶν κεκαλύφθαι.

Ib. 'Επέβαλες] ἐπιβάλλω τὸ ἐπιτυχῶς στοχάσομαι· ἐνταῦθα δ' ἐπέβαλες ἀντὶ τοῦ εἰς γνῶσιν ἤγαγες, τοῦτ' ἔστιν ἀνέμνησας.

1261. Οὔποτε καταλύσιμον] οὐδέποτε λυθησόμενον, οὐ καταλυόμενον. Ὁ δὲ νοῦς, λήθης τυχεῖν μὴ δυνάμενον.

1266. Ὁ πᾶς ἂν πρέποι] ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα.

1268. Τάδε δίκᾳ χρόνος] οὐ γράφε δίκαια χρόνος, ἀλλὰ δίκᾳ. Οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. Εὕρηται δ' ἐν τινὶ τῶν παλαιῶν βιβλίων οὕτω, οὐχ ὅταν ἡ παρουσία ἐπιτρέπῃ, τότε χρὴ τούτων μεμνῆσθαι, ὡς σὺ φής· ἀλλ' ὁ παρὼν χρόνος πᾶς ἁρμόζει ἂν ἐμοὶ ἐννέπειν καὶ λέγειν τάδε ἐν δίκῃ· τοῦτ' ἔστι, δίκαιόν ἐστιν, οὐ μόνον μεμνῆσθαι τῶνδε, ὅταν ἐπιστῇ καιρὸς τούτων, ἀλλὰ καὶ λέγειν τάδε, ἃ λέγω, διὰ παντὸς τοῦ παρόντος χρόνου. μόλις γὰρ νῦν ἔσχον ἐλευθερίαν. Ὥστε λέγειν ἃ βούλομαι, μή τινα φοβουμένη.

1270. Ξύμφημι κἀγὼ] τοῦτο πρὸς τὸ τόδε συνάψεις· τὸ δὲ τοιγαροῦν σῶζου, διὰ μέσου. Ἡ στίξις μὲν πρὸς τὸ σύμφημι κἀγώ· Τὸ λοιπὸν δ' οὕτως εἴποις· τοιγαροῦν σῶζου τόδε τὸ ἐλεύθερον στόμα, καὶ μὴ ταῖς βοαῖς ἀπολίπῃς, εἴτις ἔνδοθεν αἴσθοιτο.

1273. Τίς δῆτ' οὖν] δέον οὕτως εἰπεῖν, τίς

δῆτ'

Μεταβάλοιτ᾽ ἂν ᾧδε σιγὰν λόγων ;
Ἐπεί σε νῦν ἀφράςως
Ἀέλπτως τ᾽ ἐςεῖδον.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΟΡΕ. Τότ᾽ εἶδες, ὅτε θεοί γέ μ᾽ ὤτρυναν μολεῖν.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΗΛΕ. Ὀτοττοτοί·
Ἔφρασας ὑπερτέραν
Τᾶς πάρος ἔτι χάριτος·
Εἴ σε θεὸς ἐς μέλαθρα,
Δαιμόνιον αὐτὸ τίθημ᾽ ἐγώ.

ΑΝΤΙΣΥΣΤΗΜΑ Γ.

ΟΡΕ. Τὰ μέν σ᾽ ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ
Δέδοικά σε λίαν ἡδονῇ νικωμένην.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΗΛΕ. Ἰὼ χρόνῳ μακρῷ γε φιλτάταν ὁδὸν
Ἐπαξιώσας ᾧδέ μοι φανῆναι,
Μή τί με πολύςονον ᾧδ᾽ ἰδών ——
ΟΡΕ. Τί μὴ ποιήσω ;
ΗΛΕ. Μή μ᾽ ἀποςερήσῃς

δῆτ᾽ οὖν μεταβάλλοι τοὺς ἐμοὺς λόγους εἰς σιγὴν ἀξίως, ἐπειδὴ ἡ μεταβολὴ τῶν λόγων σιγὴ ἦν, σιγὴν εἶπεν· πρὸς ὃ καὶ τὸ ἀξίαν ἐπήνεγκε. Χρὴ δὲ γράφειν ταῦτα τὰ κῶλα οὕτως, Τίς δῆτ᾽ οὖν ἀξίαν, Καί σου φανέντος νῦν. Οὕτω γὰρ οἰκείως ἔχει πρὸς τὰ τῆς ςροφῆς. Οἱ δ᾽ ἄλλως γράφοντες, οὐ καλῶς γράφουσι· τὸ δὲ δῆτ᾽ οὖν ἐκ παραλλήλου.

1280. Ὑπερτέραν] λείπει χάριν.

1284. Τὰ μέν σ᾽ ὀκνῶ] διότι μὲν μόλις τῶν πάλαι δακρύων ἀπήλλαξαι, καὶ εἰς χαρὰν ὥρμησας δι᾽ ἐμὲ, οὐ θέλω παῦσαι σε τούτου. Διότι δὲ ὑπόνοιαν δίδως προδώσειν ἡμᾶς τοὺς ἔνδον, μὴ δυναμένη σαυτὴν ὑπὸ τῆς τοσαύτης χαρᾶς κατέσχειν, φοβοῦμαί σε.

1285. Δέδοικά σε λίαν] ἤγουν, φοβοῦμαι ἀφιέναι σε λέγειν, τὴν νικωμένην λίαν ὑπὸ τῆς εὐφροσύνης. Ὅρα πῶς νουνεχῶς συςέλλει τὴν ὑπερβολὴν τῆς χαρᾶς, ἣν χαίρεται ἡ Ἠλέκτρα, ἵνα μὴ λυμήνηταί τι πρὸς τὸ μελετώμενον.

1288. Ὧδ᾽ ἰδὼν] γράφεται, ᾧ δι᾽ ἰδών.

1290. Μή μ᾽] μὴ ἀποςερήσῃς με (φησὶ) τοῦ μεθέσθαι τῶν προσώπων, καὶ ἀπαλλαγῆναι μεθ᾽ ἡδονῆς. Ὅπερ μὴ παρέςαι ἐπὶ πλέον

μετεχέσῃ

Τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ΟΡΕ. Ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛΕ. Ξυναινεῖς;
ΟΡΕ. Τί μὴ ὔ;
ΗΛΕ. Ὦ φίλαι, ἔκλυον ἂν
Ἐγὼ ὐδ᾽ ἂν ἤλπισ᾽ αὐδάν.
Ἔσχον ὀργὰν ἄναυδον,
Οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
Νῦν δ᾽ ἔχω σέ· προὐφάνης δὲ
Φιλτάταν ἔχω πρόσοψιν,
Ἃς ἐγὼ ὐδ᾽ ἂν ἐν κακοῖς λαθοίμαν.

## Ι Α Μ Β Ο Ι.

ΟΡΕ. Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες·
Καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
Μήθ᾽ ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
Ἀντλεῖ· τὰ δ᾽ ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην·
Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

μετεχούσῃ σου καὶ ἀπολαυούσῃ. Οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς. Ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.

1291. Τῶν σῶν προσώπων] τοῦτο ἢ πρὸς τὸ ἀποστερήσῃς συναπτέον, ἢ πρὸς τὸ ἡδονὴν, οὕτω, μὴ ἀποστερήσῃς ἐμὲ μεθέσθαι ἡδονὴν τῶν σῶν προσώπων. Τοῦτ᾽ ἔστι, μὴ ἀφαιρήσῃς ἐμὲ τὴν διὰ τῆς σῆς παρουσίας ἡδονήν.

1292. Ἦ κάρτα] ἀντὶ τοῦ, ναὶ ὄντως λίαν οὐκ ἀποστερήσω σε τῶν ἐμῶν προσώπων. Καὶ ἂν, ἤγουν καὶ δύνατον ἐστιν, ἰδὼν ἄλλοισι, τουτέστιν ὑπ᾽ ἄλλων, ἐνεργούμενον τοῦτο τὸ ἀποστερεῖν σε τῶν ἐμῶν προσώπων, θυμοίμην καὶ ὀργιζοίμην αὐτοῖς δηλονότι.

1295. Ὦ φίλαι, ἤκουσα αὐδὴν, ἤγουν ἀγγελίαν, ἣν ἐγὼ οὐδ᾽ ἂν ἤλπισα ἀκοῦσαι. Τοῦτο λέγει διὰ τὸν πεπλασμένον θάνατον τοῦ Ὀρέστου, ὃν ὡς ἀληθῆ ἐνόμιζεν.

1297. Ἔσχον] ἤγουν, ἔλαβον ὀργὴν ἄναυδον καὶ ἄφωνον. Τουτέστιν, ἄφωνος ἐγενόμην, οὐδὲ κλύουσα καὶ ἀκούσασα τὴν αὐδὴν ἐκείνην, ἐδυνάμην βοῆσαι σὺν βοῇ ἐγὼ ἡ τάλαινα. Καὶ τοῦτο ἀληθές. Οἱ γὰρ ἐξαίφνης ἀκούσαντες λυπηρὰν ἀγγελίαν μηδαμῶς προσδοκωμένην, εὐθὺς ὑπὸ τῆς λύπης ἄφωνοι γίνονται, τὸ δὲ ὄργανον τῆς γλώττης αὐτῶν κατέφθαρται. Καὶ ἀκούοντες οὐ δύνανται λαλῆσαι. Τὸ γὰρ κλύουσα οὐκ ἠδυνάμην σὺν βοῇ βοῆσαι, ἔφη, πρὸς ἀντιδιαστολὴν τῶν βωβῶν, οἵτινες μήτο ἀκούουσι, μήτε δύνανται λαλῆσαι.

1303. Μήθ᾽ ὡς πατρῴαν] ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων.

1306. Χρόνου γὰρ ἂν σοι καίρον ἐξείργοι λόγος] ἀφαιρεῖται γὰρ (φησὶ) τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι, τῶν λόγων ἡ ἀδολεσχία.

1309. Τῇ

Ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
Σήμαιν', ὅπȣ φανέντες, ἢ κεκυμμένοι,
Γελῶντας ἐχθρȣ̀ς παύσομεν τῇ νῦν ὁδῷ·
Οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
Φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμȣς.
Ἀλλ' ὡς ἐπ' ἄτῃ μάτην λελεγμένῃ,
Στέναζ'. Ὅταν γὰρ εὐτυχήσωμεν, τότε
Χαίρειν παρέςαι, καὶ γελᾷν ἐλευθέρως·

ΗΛΕ. Ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καί σοι φίλον,
Καὶ τοὐμὸν ἔςαι τῇδ'· ἐπεὶ τὰς ἡδονὰς
Πρὸς σȣ̃ λαβȣ̃σα, κȣ̓κ ἐμὰς ἐκτησάμην.
Κȣ̓δ' ἄν σε λυπήσασα βȣλοίμην βραχὺ,
Αὐτὴ μέγ' εὑρεῖν κέρδος· ȣ̓ γὰρ ἂν καλῶς
Ὑπηρετοίμην τῷ παρόντι δαίμονι·
Ἀλλ' οἶσθα μὲν τα 'νθένδε· πῶς γὰρ ȣ̌; κλύων

1309. Τῇ νῦν ὁδῷ] τȣ̃το ἢ πρὸς τὸ γελῶντας συνάψεις, ȣ̌τω, γελῶντας τῇ νῦν ὁδῷ, ἤγȣν ἐπεγγελῶντας τῷ συμβάντι δῆθεν ἐπὶ θανάτῳ· ἢ πρὸς τὸ παύσομεν, ȣ̌τω, παύσομεν ἐν τῇ νῦν ὁδῷ, ἤγȣν ἐν τῷ παρόντι ἀγῶνι, ὃν ἡμεῖς κατ' αὐτῶν ποιȣ́μεθα.

1310. Οὕτως δ'] ὅρα δὲ ὅπως μὴ ἐπελθόντοιν ȣ̌τως νῷιν φαιδρῷ προσώπῳ εἰς τȣ̀ς δόμȣς, καὶ ἐπιγνώσεταί σε ἡ μήτηρ. Ἀλλ' ὡς ἐπὶ τῇ μάτην λελεγμένῃ, ςέναζε.

1311. Φαιδρῷ προσώπῳ] ἀντὶ τοῦ χαρωπῷ. Οἱ χαρὰν ἔχοντες λέγονται φαιδροί· ἐπεὶ τῶν χαιρόντων αἱ ὄψεις, φαιδραὶ γίνονται. καὶ ἀντιςρόφως τὰ λαμπρὰ, γελᾷν λέγονται, ὡς παρ' Ὁμήρῳ·

"Γέλασε δὲ πᾶσα περὶ χθὼν χαλκȣ̃ ὑπὸ
"ςεροπῆς."

Καὶ γεγανωμένον ἀπὸ τοῦ γάνος ἡ χαρὰ, τοῦ λαμπρὸν καὶ φαιδρόν.

1315. Καὶ σοι φίλον] τὸ σοὶ διπλῶς λέγεται, ἢ ȣ̌τως, ὥσπερ ὑπάρχει σοὶ φίλον, καὶ τȣ̓μὸν τῇδε, ὧδε καὶ ȣ̌τως ἔςαι· καὶ πάλιν ὧδε καὶ ȣ̌τως ἔςαι, καὶ τὸ ἐμὸν τῇδε προςφιλὲς, ὥσπερ ὑπάρχει σοὶ φίλον. Ἐμὸν ȣ̃ν τῇδε, ἀντὶ τοῦ ἐμοὶ αὐτῇ. ἀντὶ γὰρ τοῦ εἰπεῖν ἐμοὶ, ἐμὲ, εἶπε πρὸς τὸ φίλον. Ἕτεροι δὲ παρανοȣ̃ντες, τῇδε ἀντὶ τοῦ ȣ̌τως φασὶν, ὥσπερ καὶ τὸ ὧδε, ἄμφω ἐκ παραλλήλȣ λέγοντες.

1320. Ὑπηρετοίμην] ἤγȣν, ὑπȣργοίην ἢ ὑπȣργȣ̃σα φανείην. Ὑπηρετῶ καὶ ὑπηρετȣ̃μαι ἐπὶ τȣ̃ αὐτȣ̃. Ὧν τὸ μὲν λέγεται κοινῶς· τὸ δὲ ὑπηρετȣ̃μαι παρὰ τοῖς Ἀττικοῖς.

1321. Οἶσθα μὲν] ἤγȣν, γινώσκεις τὰ ἐνταῦθα. Πῶς γὰρ ȣ̓χὶ; ἀκȣ́ων ὅτι ὁ Αἴγισθος οὐκ ἔςι κατὰ τὰς ςέγας. Ἡ μήτηρ δὲ ἐν τοῖς οἴκοις ἐςίν. Ἥντινα ὅρα ἵνα μὴ φοβηθῇς, ὅτι τάχα ὄψεται φαιδρὸν ὑπὸ τοῦ γέλωτος τὸ ἐμὸν πρόσωπον. Τȣ̃το μὲν οὐκ ἔςαι δηλονότι· καὶ ἡ αἰτία, ὅτι λύπη πολυχρόνιος ἐντετυπώθη μοι. Καὶ ἐπεί σε εἶδον, ȣ̌ποτε παύσω ἐξ αἰτίας τῆς χαρᾶς δακρυῤῥοȣ̃σα. Ἰςέον ὅτι καὶ ὑπὸ τῆς χαρᾶς κινȣ̃νται πολλάκις δάκρυα· πῶς γὰρ ἂν λήξαιμι καὶ παυσαίμην τῶν δακρύων, ἥτις ἐγὼ ἐν μιᾷ τῇδε τῇ ὁδῷ εἶδόν σε καὶ θανόντα καὶ ζῶντα;

Ὅθ' οὕνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
Μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς πόθ', ὡς
Γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι·
Κἀπεί σ' ἐσεῖδον, οὔποτ' ἐκλήξω χαρᾶς
Δακρυῤῥοοῦσα. Πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
Ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
Καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
Ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
Τέρας νομίζειν αὐτὸ, πιστεύειν δ' ὁρᾷν.
Ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδὸν,
Ἄρχ' αὐτὸς, ὥς σοι θυμός. Ὡς ἐγὼ μόνη,
Οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
Ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.

ΟΡΕ. Σιγᾷν ἐπήνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω
Τῶν ἔνδοθεν χωροῦντος.

ΗΛΕ. Εἴσιτ', ὦ ξένοι,
Ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτέ τις
Δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.

ΠΑΙ. Ὦ πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι,
Πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
Ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενὴς,
Ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
Τοῖσιν μεγίστοις ὄντες οὐ γινώσκετε;
Ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ

1325. Μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι] πρὸς τὴν μητέρα δηλονότι.

1330. Ὥστ' εἰ] ἤγουν, ὥστε εἰ ἤκουσα, ὅτι ὁ πατήρ μου Ἀγαμέμνων ἀνέστη καὶ ἔρχεται, μηκέτι ἂν ἤθελον νομίζειν αὐτὸ τέρας. Ἤγουν αὐτὸ τὸ ἄγγελμα, μάλιστα δὲ ἤθελον πιστεύειν, καὶ ἐλπίζειν, ὁρᾷν αὐτὸ τὸ ἄγγελμα ἀληθῶς, ἤγουν τὴν ἄφιξιν αὐτοῦ τοῦ ἐμοῦ πατρὸς Ἀγαμέμνονος.

1336. Σιγᾷν ἐπήνεσ'] καλῶς τὸ ἐπήνεσα, καὶ οὐκ ἐπαινῶ· ἡνίκα γὰρ ἐβουλήθη τοῦτο, τότ' ἐπήνεσεν, εἶτ' ἐξεῖπεν. Ἢ τὸ ἐπήνεσα διὰ τοῦτο εἶπε παρῳχημένως, ἐπειδὴ καὶ πρώην αὐτῇ εἶπε, σιγᾷν ἄμεινον.

Πάλαι φυλάσσων, ἣν ἂν ὑμῖν ἐν δόμοις
Τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
Νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ·
Καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
Καὶ τῆς ἀπλήϛου τῆςδε σὺν χαρᾷ βοῆς,
Εἴσω παρέλθεθ'. Ὡς τὸ μὲν μέλλειν, κακὸν
Ἐν τοῖς τοιούτοις ἔς', ἀπηλλάχθαι δ' ἀκμή.

ΟΡΕ. Πῶς οὖν ἔχει τἀντεῦθεν εἰςιόντι μοι;

ΠΑΙ. Καλῶς· ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.

ΟΡΕ. Ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.

ΠΑΙ. Εἷς τῶν ἐν ᾅδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.

ΟΡΕ. Χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;

ΠΑΙ. Τελουμένων, εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
Καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.

ΗΛΕ. Τίς οὗτος ἔς', ἀδελφέ; πρὸς θεῶν, φράσον.

ΟΡΕ. Οὐχὶ ξυνίης;

ΗΛΕ. Οὐδέ γ' ἐς θυμὸν φέρω.

ΟΡΕ. Οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χεῖρας ποτέ;

ΗΛΕ. Ποίῳ; τί φωνεῖς;

ΟΡΕ. Οὗ τὸ Φωκέων πέδον

1353. Ἐν τοῖς τοιούτοις] καιροῖς δηλονότι.

1357. Μάνθαν'] ἀντὶ τοῦ γίνωσκε ἐνθάδε ὤν, ἀντὶ τοῦ νομιζόμενος εἶναι ἀνὴρ εἷς ἀπὸ τῶν ἐν ᾅδου. Νομιζόμενος εἶναι παρὰ τοῖς ἐνταῦθα ἀνθρώποις.

1358. Τελουμένων εἴποιμ' ἂν] θαυμαςῶς, ὑπὲρ τοῦ μὴ ἐπιπλέον διατρίβειν. Ὡς καὶ Ὀρέςης ἐν τοῖς ἔμπροσθεν τὰ μὲν περισσεύοντα τῶν λόγων ἀφεῖς. Ὁ δὲ νοῦς, καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν. Ὥσπερ λεγόμενα πρὸς ἄκρον, ἐςὶ παροξυντικά.

1359. Ὡς δὲ νῦν ἔχει] ὃ παρέχουσιν, εἴτε χαίρουσιν, εἴτε λυποῦνται, ἤγουν καθὰ νῦν διάκειται τὰ ἐκείνων πάντα, καλῶς ἔχει, καὶ τὰ μὴ καλῶς, ἤγουν καὶ ἃ σκευωροῦνται κατ' αὐτῶν, ἔτι καλῶς ἔχει αὐτοῖς, μήπω πέρας εἰληφότα. Καὶ ἄλλως, καὶ κατὰ τἄλλα εὐτυχοῦσι, καὶ ὅτι μήπω δίκην δεδώκασιν. Εἰ γὰρ καὶ μέλλουσι δώσειν. Τοῦτο γάρ ἐςι τὸ τὰ μὴ καλῶς, ἀλλ' ὅτι μὴ ταχέως τοῦτο γίνεται εὐτυχοῦσι. Τοῦτο δέ φησιν ὁ γέρων παροξύνων αὐτοὺς πρὸς τὸ ἔργον.

1361. Τίς οὗτος ἔς', ἀδελφὲ] οὐκ ἠρώτησε τοῦτο Ὀρέςην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς· ἀλλ' ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

1366. Οὗ τὸ Φωκέων πέδον] οὗ χεροῖν εἰς

Ὑπεξεπέμφθην σῇ προμηθείᾳ χεροῖν.
ΗΛΕ. Ἦ κεῖνος ἦτος ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
Μόνον προσεῦρον πιςὸν ἐν πατρὸς φόνῳ;
ΟΡΕ. Ὅδ' ἐςί· μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛΕ. Ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος· πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
Ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
Ὦ φίλταται μὲν χεῖρες, ἥδιςον δ' ἔχων
Ποδῶν ὑπηρέτημα· πῶς ἦτω πάλαι
Ξυνών μ' ἔληθες, ἦδ' ἔφαινες; ἀλλά με
Λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδις' ἐμοί.
Χαῖρ', ὦ πάτερ· (πατέρα γὰρ εἰςορᾶν δοκῶ)
Χαῖρ'· ἴσθι δ' ὡς μάλιςά σ' ἀνθρώπων ἐγὼ
Ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙ. Ἀρκεῖν δοκεῖ μοι. Τὰς γὰρ ἐν μέσῳ λόγας
Πολλαὶ κυκλᾶνται νύκτες ἡμέραι τ' ἴσαι,
Αἳ ταῦτά σοι δείξασιν, Ἠλέκτρα, σαφῆ.
Σφῷν δ' ἐννέπω γε τοῖν παρεςώτοιν, ὅτι

τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθείᾳ.

1369. Ἐν πατρὸς φόνῳ] Ἐν τῇ ὥρᾳ ᾗ ἐφονεύσατο ὁ πατήρ μα Ἀγαμέμνων.

1375. Πῶς ἦτω πάλαι] Κατὰ τίνα τρόπον ξυνὼν πάλαι ἤγαν ἐκ μακρᾶ, ἔληθες ἐμὲ, ἤγαν ἐλάνθανες ἄτως;

Ib. Ποδῶν ὑπηρέτημα] διὰ γὰρ τάτων τὰ πρὸς σωτηρίαν ἡμῖν ὑπηρέτησας, πάλαι μὲν ἐκ μέσα θανάτα λαβὼν Ὀρέςην, καὶ ἀγαγὼν ἑτέρωσε, νῦν δὲ μετ' αὐτᾶ ἀφιγμένος εἰς τιμωρίαν τῶν ἐχθρῶν.

1380. Ἤχθηρα] Ἤγαν, ἐμίσησε μὲν ἡ Ἠλέκτρα τὴν παιδαγωγὸν, διότι ἐκήρυξε τὸν θάνατον τοῦ Ὀρέςα. Ἐφίλησε δὲ ὅτι ἐπιτηδευμένως τᾶτο ἐποίησεν.

Ib. Ἤχθηρα] ἐπὶ τοῦ ἤχθηρα κἀφίλησα, λέγεται τὸ μάλις' ἀνθρώπων ἤγαν μάλις' ἀνθρώπων ἤχθηρά σε, καὶ μάλις' ἀνθρώπων ἐφίλησά σ' ἐν μιᾷ ἡμέρᾳ.

1381. Τὰς ἐν μέσῳ λόγας] Ἴσον ἓν ἑνὶ λέγεται. Παρὰ δὲ πολλοῖς οὐκ ἴσα λέγεται, ἀλλ' ἰσάριθμα, εἰ πρὸς τὴν ποσότητα τοῦ ἀριθμᾶ ὁ λόγος τείνει. Εἰ δὲ ἕκαςον ἑκάςῳ, ἴσον ἐςὶ κατὰ τὸ μέγεθος, καὶ πρὸς τᾶτο ὁ λόγος ἀφορᾷ λέγοιτο ἂν, καὶ πολλὰ πολλοῖς ἴσα. Τὰς ἐν μέσῳ λόγας εἰπὼν, ὤφειλεν ἀποδᾶναι, αἳ τάτας σοὶ δείξασιν. Ὁ δὲ, ποιεῖται, τὴν σύνταξιν, πραγματικήν. Καὶ ἀποδίδωσιν, αἳ ταῦτα σοὶ δείξασιν· ἤγαν καὶ τὰς λόγας καὶ εἴ τι τοιᾶτον. Σύνηθες δὲ τᾶτο τὸ σχῆμα. Τὸ ἄρχεσθαι ἄλλως. Εἶτα ὥσπερ ἐκ μεταμελείας ἀποδιδόναι τὸν λόγον ἄλλως, ὡς παρὰ Φιλοςράτῳ. Φαρέτραι μὲν ἂν χρυσόπαςαι καὶ χρυσαῖ. Καὶ τὰ ἐν αὐτοῖς βέλη, γυμνὴ τάτων, ἡ ἀγέλη πᾶσα.

1382. Πολλαὶ κυκλᾶνται] εἰκότως εἶπε τὸ κυκλᾶνται, ἐπεὶ καὶ αἱ ἡμέραι καὶ αἱ νύκτες τῇ εἰς τὸ αὐτὸ περιςροφῇ τοῦ ἡλία καθίςανται.

1383. Αἳ ταῦτά σοι] τὰ κατ' ἐμὲ, φησί.

1385. Νῦν

Νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήςρα μόνη,
Νῦν ἄτις ἀνδρῶν ἔνδον· εἰ δ᾽ ἐφέξετον,
Φροντίζεθ᾽ ὡς τάτοις τε καὶ σοφωτέροις
Ἄλλοισι, τάτων πλείοσιν μαχάμενοι.

ΟΡΕ. Οὐκ ἂν μακρῶν ἔθ᾽ ἡμὶν ἀδὲν ἂν λόγων,
Πυλάδη τόδ᾽ εἴη τἄργον· ἀλλ᾽ ὅσον τάχος,
Χωρεῖν ἔσω, πατρῷα προςκύσανθ᾽ ἕδη
Θεῶν, ὅσοιπερ πρόπυλα ναίασιν τάδε,

ΗΛΕ. Ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
Ἐμᾶ τε πρὸς τάτοισιν, ἥ σε πολλὰ δὴ
Ἀφ᾽ ὧν ἔχοιμι, λιπαρεῖ προὔςην χερί.
Νῦν δ᾽, ὦ Λύκει᾽ Ἄπολλον, ἐξ οἵων ἔχω,
Αἰτῶ, προπιτνῶ, λίσσομαι· γένα πρόφρων
Ἡμῖν ἀρωγὸς τῶνδε τῶν βαλευμάτων·
Καὶ δεῖξον ἀνθρώποισι τἀ᾽πιτίμα
Τῆς δυςσεβείας οἷα δωρᾶνται θεοί.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἴδεθ᾽ ὅπα προνέμεται

1385. Νῦν Κλυταιμνήςρα μόνη] ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθα.

1386. Ἐφέξετον] μελλήσετε.

1395. Προὔςην χερὶ] εἰκότως εἶπε τὸ προὔςην. Οἱ γὰρ θύοντες καὶ ἱκετεύοντες ἔμπροσθεν τῶν θεῶν, ἐφ᾽ οἷς τᾶτο ποιᾶσιν, ἵςανται. Ἢ τὸ προὔςην, ἀντὶ τοῦ πρόμαχον καὶ προςάτην ἐκάλεσα ἐν θυσίαις.

1400. Οἷα δωρᾶνται θεοί] Ἀντὶ τοῦ, οἵας τιμωρίας διδόασιν οἱ θεοί, ἕνεκα τῆς δυςσεβείας· τατέςιν, ὅπως κολάζασιν οἱ θεοὶ ἕνεκα τῆς δυςσεβείας.

1401. Ἴδεθ᾽ ὅπα προνέμεται] ἀντὶ τοῦ προβιβάζει. Τοῦ Ὀρέςα δὲ εἰσελθόντος ὁ χορὸς ταῦτά φησιν. Ἄλλως· εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέςην καὶ Πυλάδην· τᾶτο δὲ ἤτοι ὁ χορός φησι, καὶ τῆς Ἠλέκτρας συνεισελθάσης αὐτοῖς. Καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ τοῦ χορᾶ, ἢ ὅτι ἔξω ἆσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τὰς δύο ςίχας, καὶ ἄτως εἰσέρχεται. Καὶ ἔςι διάλειμμα ὥςε ἐξελθᾶσαν αὐτὴν ἄρχεσθαι τοῦ, ὦ φίλταται γυναῖκες. Παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τᾶ ἀγγέλα παρασίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήςραν· δι᾽ ἃς προείπομεν αἰτίας· Ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέςα, ἀδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήςραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν.

1402. Τὸ,

Τὸ δυςέριςον αἷμα φυσῶν Ἄρης.
Βεβᾶσι δ᾽ ἄρτι δωμάτων ὑπόςεγοι
Μετάδρομοι κακῶν πανȣργημάτων,
Ἄφυκτοι κύνες.
Ὥςτ᾽ ȣ̓ μακράν γ᾽ ἔτ᾽ ἀμμένει
Τοὐμὸν φρενῶν ὄνειρον αἰωρȣ́μενον.

ΑΝΤΙΣΤΡΟΦΗ.

Παράγεται γὰρ ἐνέρων
Δολιόπȣς ἀρωγὸς εἴσω ςέγης *,
Ἀρχαιόπλȣτα πατρὸς εἰς ἑδράσματα,
Νεακόνητον αἷμα χειρῶν † ἔχων·
Ὁ Μαίας δὲ παῖς
Ἑρμᾶ σφ᾽ ἄγει ‡ δόλον σκότῳ
Κρύψας, πρὸς αὐτὸ τέρμα, κȣ̓κέτ᾽ ἀμμένει.

* Ald. ςέγας. † Ald. χεροῖν. ‡ Ald. Ἑρμῆς ἐπάγει.

1402. Τὸ δυςέριςον αἷμα φυσῶν] οἷον, ὁ Ἄρης συναγαλλάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. Δυςέριςον, τὸ δι᾽ ἔριν γιγνόμενον κακὸν, ȣ̓χ ὡς κατηγορȣ̃σα φησὶν (ἐναντίον γὰρ τῷ ἤθει τοῦ χορȣ̃) ἀλλ᾽ ὅτι τὰ τοιαῦτα ἔργα ȣ̓χ᾽ ἡδέα τοῖς ἀνθρώποις.

1405. Ἄφυκτοι κύνες] ἤτοι εἰς τὸν Ὀρέςην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν ἐριννύων. Εἰςῆλθον εἰς τὸν οἶκον αἱ ἐριννύες, ἃς οὐκ ἔςι φυγεῖν.

1406. Ὥςτ᾽ ȣ̓ μακρὰν] ȣ̓ περὶ τοῦ ὀνείρȣ τῆς Κλυταιμνήςρας φησί· (τȣ̃το γὰρ βίαιον) ἀλλὰ τȣ̃το φησὶν, ἃ κατ᾽ ἐμαυτὴν ὠνειροπόλȣν, οὐκ εἰς μακρὰν ἔςαι μετέωρα, ἀλλ᾽ εὐθέως τελεσθήσεται.

1408. Παράγεται γὰρ ἐνέρων δολιόπȣς] ἡ ἐριννὺς ἀφόβως χορȣ̃σα, ἢ δαίμων τὶς ἁπλῶς βοηθὸς νεκρῶν· ἢ ἐπὶ τȣ̃ Ὀρέςȣ. Παρέρχεται (φησὶν) ἔσω ςέγας ὁ Ὀρέςης.

1409. Ἐνέρων δ᾽ ἀρωγὸς] ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθὸς, ὃ ἐςιν ὑπηρέτης.

1410. Ἀρχαιόπλȣτα πατρὸς εἰς ἑδώλια] ἑδράσματα ἀρχαῖα. Παλαιὰ οἰκήματα.

1411. Νεακόνητον αἷμα] τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

1412. Ὁ Μαίας δὲ παῖς] διὰ τȣ̃τ᾽ ἐνταῦθα τὸν Ἑρμῆν λέγει ἄγειν αὐτὸν εἰς τὸ ἔργον, ἢ διότι μετὰ δόλȣ εἰςήρχετο (λέγεται δὲ καὶ ὁ Ἑρμῆς δόλιος) ἢ διὰ τὰς ἀρὰς τοῦ Μυρτίλȣ, ἃς ἠράσατο εἰς τὸ τȣ̃ Πέλοπος γένος. Ἦν δ᾽ ὁ Μυρτίλος παῖς Ἑρμȣ̃. Λέγεται δ᾽ ȣ̃τως, ὁ υἱὸς τῆς Μαίας Ἑρμῆς ἄγει σφὲ καὶ αὐτὸν δόλον, τȣ̃τ᾽ ἔςι, δολίως πρὸς τὸ ἔργον κινεῖ, κρύψας αὐτὸν ἐν σκότῳ πρὸς τὸ τέρμα. Ἤγȣν, μέχρις ἂν ἐργάσεται ὃ σπεύδει, ȣ̓δεὶς αὐτὸν ἐπιγνώσεται. Τὸ δὲ κȣ̓κέτ᾽ ἀμμένει, πρὸς τὸ ἄγει τὴν δύναμιν ἔχει. Οὕτως, ἄγει, καὶ οὐκ ἔτι ἀναμένει καὶ ἀναβάλλεται. Οἱ δὲ γράφοντες ἐπάγει, διὰ τὸ μὴ δύνασθαι τȣ̃το νοεῖν, γράφȣσι.

### ΙΑΜΒΟΙ.

ΗΛΕ. Ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
Τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟΡ. Πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛΕ. Ἡ μὲν ἐς τάφον
Λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
ΧΟΡ. Σὺ δ' ἐκτὸς ᾖξας πρὸς τί;
ΗΛΕ. Φρουρήσουσ' ὅπως
Αἴγισθος αὐτὸς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛΥ. Αἶ, αἶ, αἶ, αἶ· ἰὼ στέγαι
Φίλων ἔρημοι, τῶνδ' ἀπολλύντων πλέαι.
ΗΛΕ. Βοᾷ τις ἔνδον· οὐκ ἀκούετ', ὦ φίλαι;

### ΠΕΡΙΚΟΜΜΑΤΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἤκουσ' ἀνήκουστα
Δύστανος, ὥστε φρίξαι.

### ΣΥΣΤΗΜΑ Α.

ΚΛΥ. Οἴμοι τάλαιν'· Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
ΗΛΕ. Ἰδοὺ μάλ' αὖ θροεῖ τις.
ΚΛΥ. Ὦ τέκνον, τέκνον,
Οἴκτειρε τὴν τεκοῦσαν.

1415. Ὦ φίλταται γυναῖκες] ἐξερχομένη ταῦτά φησιν.

1418. Ἡ μὲν ἐς τάφον] εἰς τὸ περίδειπνον τὸ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι.

1420. Σὺ δ' ἐκτὸς ᾖξας πρὸς τί] ἐν τούτοις δῆλον ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

1422. Αἴγισθος αὐτὸς] οὕτως ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι, ἵν' ᾖ ἴαμβος τρίμετρος ἀκατάληκτος. Ἐλλιπὴς γὰρ ἦν. Διὸ καὶ τὸ αὐτὸς προσετέθη παρ' ἐμοῦ. Καὶ οἶμαι ὡς καλῶς προσετέθη, ὡς καὶ ἐν ἄλλοις πολλοῖς ἕτερα.

1423. Αἶ, αἶ, ἰὼ στέγαι] ὁ λόγος ἀποτείνεται εἰς Αἴγισθον. Ἔθος δὲ ἔχουσι τὰ γενόμενα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι. Νῦν δὲ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, οὐκ ἐποίησε τοῦτο. Προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. Νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας, ὁ θεατὴς ἀκούει, καὶ ἐναργέστερον τὸ πρᾶγμα γίγνεται ἢ δι' ἀγγέλου σημαινόμενον. Καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη, τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον, καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.

1426. Ἤκουσ' ἀνήκουστα] ἤγουν ἃ οὐ δύναταί τις ἀκούειν· πᾶσι γὰρ αἱ τῶν φονευομένων βοαὶ, κἂν ἐχθροὶ ὦσι, δέος καὶ ὑποστολὴν αἰκιζόμεναι φέρουσι.

ΗΛΕ. Ἀλλ' ὐκ ἐκ σέθεν
Ὤικτείρεθ' ὗτος, ὗθ' ὁ γεννήσας πατήρ.

ΣΤΡΟΦΗ Β.

ΧΟΡ. Ὦ πόλις, ὦ γενεὰ
Τάλαινα· νῦν σε
Μοῖρα καθημερία
Φθίνει, φθίνει.

ΣΥΣΤΗΜΑ Β.

ΚΛΥ. Ὤ, μοι, πέπληγμαι.
ΗΛΕ. Παῖσον, εἰ σθένεις, διπλῆν.
ΚΛΥ. Ὤ, μοι μάλ' αὖθις.
ΗΛΕ. Εἰ γὰρ Αἰγίσθῳ θ' ὁμῦ.

ΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Τελῦσ' ἀραί· ζῶσιν οἱ
Γᾶς ὑποκείμενοι·
Πολύῤῥυτον γὰρ αἷμ' ὑπεξαιρῦσι τῶν
Κτανόντων οἱ πάλαι θανόντες.

ΣΥΣΤΗΜΑ Γ.

ΗΛΕ. Καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
Στάζει θυηλῆς Ἄρεος· ὐδ' ἔχω λέγειν,
Ὀρέσα, πῶς κυρεῖ γε;
ΟΡΕ. Τἀν δόμοισι μὲν
Καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
Τέθνηκεν ἡ τάλαινα· μηκέτ' ἐκφοβῦ

1434. Ὦ πόλις, ὦ γενεὰ] ὦ γενεὰ τοῦ οἴκυ τύτυ, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένυς.

1442. Τελῦσ' ἀραὶ] ἤγυν Ἀγαμέμνων ἐκπνέων ηὐράσατο, ὥστε τύτων ἐνεργυσῶν, δοκεῖ ζῆν ὁ ταύτας ποιήσας.

1444. Ὑπεξαιρῦσιν] ἐκχέυσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

1447. Στάζει θυηλῆς Ἄρεος] ἤγυν θυσίας, ἤτοι αἵματος, ὃ θυσίᾳ δέχεται Ἄρης, φιλαίματος γὰρ καλεῖται.

1452. Αἷμ']

Μητρῷον ὡς σε λῆμ' ἀτιμάσῃ ποτέ.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

ΧΟΡ. Παύσασθε· λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλȣ.

ΑΝΤΙΣΥΣΤΗΜΑ Α.

ΗΛΕ. Ὦ παῖδες, ȣ̓κ ἄψοῤῥον; εἰσορᾶτέ πȣ
Τὸν ἄνδρ' ἐφ' ὑμῖν· ȣ̃τος ἐκ προαςίȣ
Χωρεῖ γεγηθώς.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

ΧΟΡ. Βᾶτε κατ' ἀντιθύρων
Ὅσον τάχιςα·
Νῦν τὰ πρὶν εὖ θέμενοι,
Τάδ' ὡς πάλιν.

ΑΝΤΙΣΥΣΤΗΜΑ Β.

ΟΡΕ. Θάρσει· τελȣ̃μεν ᾗ νοεῖς.
ΗΛΕ. Ἔπειγέ νῦν.
ΟΡΕ. Καὶ δὴ βέβηκα.
ΗΛΕ. Τἀνθάδ' ἂν μέλοι γ' ἐμοί.

ΑΝΤΙΣΤΡΟΦΗ Γ.

ΧΟΡ. Δι' ὠτὸς ἂν παῦρά γ' ὡς

1452. Λῆμ'] Τὸ φρόνημα τὸ μητρῷον περιφραςικῶς. Ἀντὶ τȣ̃, ἡ μήτηρ ἀτιμάσει σε ποτέ.

1453, 1454. Λεύσσω γὰρ—Αἴγισθον ἐκ προδήλȣ] οἷον ὑποςρέψαντα. Μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήςρας.

1460. Νῦν τὰ πρὶν εὖ θέμενοι] τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμνήςραν, ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ Αἴγισθον.

Ib. Τὰ πρὶν εὖ θέμενοι] εἰκότως πρὸς μὲν πρὶν, τὸ εὖ θέμενοι εἶπε, πρὸς δὲ τὸ τάδε, ὡς πάλιν, ἀπεσιώπησεν. Ἐκεῖ μὲν γὰρ ᾔδει τὸ συμβὰν, ἐνταῦθα δὲ ἄδηλον ἦν τὸ μέλλον, εἴθ' Αἴγισθος, εἴθ' ȣ̃τοι ὑπερισχύσȣσι καὶ καταβαλȣ̃σιν ἐκεῖνον.

1465. Δι' ὠτὸς ἂν παῦρά γ'] μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς, ἐν τῷ λαλεῖν, δεῖ, μηδὲ μηκύνειν τὸν λόγον.

Ib. Ὡς ἠπίως ἐννέπειν] γράφεται νηπίῳ. Ὡς ἂν μικρῶν παίδων ῥήματα, ȣ̃τως αὐτῷ ἀ-

Ἤπιον * ἐννέπειν,
Πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
Ὀρέσῃ πρὸς δίκας ἀγῶνα.

ΑΝΤΙΣΥΣΤΗΜΑ Γ.

ΑΙΓ. Τίς οἶδεν ὑμῶν, πῦ ποθ' οἱ Φωκεῖς ξένοι,
Οὕς φασ' Ὀρέσην ἡμὶν ἀγγεῖλαι βίον
Λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
Σέ τοι, σὲ κρίνω, καὶ σὲ τὴν ἐν τῷ πάρος
Χρόνῳ θρασεῖαν· ὡς μάλισά σοι μέλειν
Οἶμαι, μάλισα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛΕ. Ἔξοιδα· πῶς γὰρ ὐχί; συμφορᾶς γὰρ ἂν
Ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.

ΙΑΜΒΟΙ.

ΑΙΓ. Πῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛΕ. Ἔνδον· φίλης γὰρ προξένυ κατήνυσαν.
ΑΙΓ. Ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛΕ. Οὐκ (ἀλλὰ κἀπέδειξαν) ὐ λόγῳ μόνον.
ΑΙΓ. Πάρεσ' ἆρ' ἡμῖν, ὥστε κἀμφανῆ μαθεῖν;
ΗΛΕ. Πάρεσι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
ΑΙΓ. Ἦ πολλὰ χαίρειν μ' εἶπας, ὐκ εἰωθότως.

* ALDUS, ἠπίως.

φιλῶς διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτοντας εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον.

1467. Ἤπιον ἐννέπειν] ἤπιον χρὴ γράφειν ἐνταῦθα ἀντὶ τοῦ ἠπίως καὶ πρᾴως, ἵν' ᾖ τὸ κῶλον ὅμοιον τῷ τῆς σροφῆς.

1468. Πρὸς ἄνδρα τόνδε συμφέροι] καθ' ὑπερβατὸν, συμφέροι ἂν πρὸς τῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον. Λείπει δὲ τῷ λόγῳ, διαλεγόμενον τῷ νηπίῳ. Ἢ πρὸς αἰτιατικὴν μετακτέον, πρὸς τὸν ἄνδρα συμφέρει τῦτον, ὡς πρὸς νήπιον, ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτός· ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρα κατ' αὐτῦ γιγνόμενον.

1473. Σέ τοι, σὲ κρίνω] ἤγυν διακρίνω εἰδέναι, νομίζω τῦτο ἀπὸ τοῦ ὄπισθεν τοῦ τίς οἶδεν.

1474. Ὡς μάλισα] Καθὰ μάλισά σοι οἶμαι διὰ φροντίδος εἶναι, εἰδέναι περὶ ἐκείνων δηλονότι περὶ αὐτῶν· μάλισα δὲ γινώσκυσαν φράσαι ἄν.

1479. Προξένυ κατήνυσαν] ἤτοι ἐπέτυχον. ὁ γὰρ ἀνύων τὶ, ἐπιτυγχάνει τῦτο αὐτῷ τὸ ἀνῦσαι. Ἔσιν ὖν ἡ τοιαύτη γενικὴ πρὸς τὸ τοῦ ἀνῦσαι σημαινόμενον. Ἢ κατ' ἐκείνης ἤνυσαν, ὃ ἐβύλοντο. Ἵνα τῷ μὲν Αἰγίσθῳ νοῆται, ὅτι ἐπάνω ἐκείνης, ἤγυν εἰς αὐτὴν, τὴν τοῦ Ὀρέσυ ἀγγελίαν ἐπλήρωσαν· τὸ δ' ἀληθὲς, ὅτι κατ' ἐκείνης τὸν φόνον εἰργάσαντο.

1484. Ἦ πολλὰ] τῦτο πρὸς τὸ χαίρειν συναπτέον,

ΗΛΕ. Χαίροις ἂν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙΓ. Σιγᾷν ἄνωγα κἀναδεικνύναι πύλας
Πᾶσιν Μυκηναίοισιν, Ἀργείοις θ᾽ ὁρᾷν·
Ὡς, εἴτις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
Ἐξῄρετ᾽, ἀνδρὸς τȣ̃δε νῦν ὁρῶν νεκρὸν,
Στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν
Ἐμȣ̃ κολαςȣ̃ προςτυχὼν, φύσῃ φρένας.
ΗΛΕ. Καὶ δὴ τελεῖται τὰ 'π᾽ ἐμȣ̃· τῷ γὰρ χρόνῳ
Νȣ̃ν ἔσχον ὥστε συμφέρειν τοῖς κρείττοσιν.
ΑΙΓ. Ὦ Ζεῦ, δέδορκα φάσμ᾽, ἄνευ φθόνȣ μὲν ȣ̓
Πεπτωκός· εἰ δ᾽ ἔπεςι Νέμεσις, ȣ̓ λέγω.
Χαλᾶτε πᾶν κάλυμμ᾽ ἀπ᾽ ὀφθαλμῶν, ὅπως
Τὸ συγγενές γε κἀπ᾽ ἐμȣ̃ θρήνων τύχῃ.
ΟΡΕ. Αὐτὸς σὺ βάςαζ᾽· ȣ̓κ ἐμὸν τόδ᾽, ἀλλὰ σὸν,
Τὸ ταῦθ᾽ ὁρᾷν τε, καὶ προςηγορεῖν φίλως.
ΑΙΓ. Ἀλλ᾽ εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δὲ,
Εἴ πȣ κατ᾽ οἶκόν μοι Κλυταιμνήςρα, κάλει.
ΟΡΕ. Αὕτη πέλας σȣ̃· μηκέτ᾽ ἄλλοσε σκόπει.
ΑΙΓ. Οἴμοι· τί λεύσσω;
ΟΡΕ. Τίνα φοβῇ; τίν᾽ ἀγνοεῖς;
ΑΙΓ. Τίνων ποτ᾽ ἀνδρῶν ἐν μέσοις ἀρκυςάτοις
Πέπτωχ᾽ ὁ τλήμων;

αποτέον, καὶ ȣ̓ πρὸς τὸ εἶπας, ȣ̃τω, ὄντως εἶπας χαίρειν ἐμὲ πολλά. Τȣ̃τ᾽ ἔςιν, ἐξ ὧν εἶπας, πολλῆς ἐπεπλήσμην χαρᾶς. Τὸ δὲ, ȣ̓κ εἰωθότως, πρὸς τὸ εἶπας, ἀντὶ τȣ̃, ȣ̓κ ἦν σοι ἔθος λόγȣς ἐμοὶ προφέρειν. Ἢ τὸ πολλὰ πρὸς τὸ εἶπας, ἵν᾽ ᾖ τὸ χαίρειν διὰ μέσȣ.

1485. Σιγᾷν ἄνωγα] κελεύει ὁ Αἴγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τοῦ Ὀρέςȣ· οἱ δὲ ἐπιδεικνύȣσι τὸ τῆς Κλυταιμνήςρας.

1486. Σιγᾷν ἄνωγα] Ἤγȣν, κελεύω ἀνακαλύπτειν τὰς τοῦ τάφȣ πύλας πάντων ἕνεκα τῶν Μυκηναίων καὶ τῶν Ἀργείων, ὥςτε ὁρᾷν τὸ λείψανον τοῦ Ὀρέςȣ. Ἵνα εἴ τις αὐτῶν ὑπερηφανεύετο πρότερον κεναῖς ἐλπίσι, νῦν ὁρῶν τὸν νεκρὸν τȣ̃δε τοῦ ἀνδρὸς τοῦ Ὀρέςȣ, δέχηται τὰ ἐμὰ ςόμια. Ἤγȣν, τὴν ἐμὴν ἐξȣσίαν. Καὶ ἵνα μὴ τυχὼν ἐμȣ̃ τοιȣ́τȣ δηλονότι κολαςȣ̃ ὁμȣ̃, γεννήσῃ βιαίως φρένας.

1487. Μυκηναίοισιν, Ἀργείοις θ᾽] Μυκῆναι πόλις Ἄργȣς, λέγει ȣ̃ν ȣ̓ μόνον τȣ̀ς ἐν ταύταις συγκαλεῖν, ἀλλὰ καὶ τȣ̀ς ἐκ παντὸς Ἄργȣς.

1490. Μηδὲ πρὸς βίαν] ἐὰν μὴ πείθηται, πρὸς βίαν, κολάσεως τυχὼν, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατȣ̃ντι.

 1508. Ζῶν

ΟΡΕ. Οὐ γὰρ αἰσθάνῃ πάλαι
Ζῶν τοῖς θανȣ̃σιν ȣ̃νεκ' ἀνταυδᾷς ἴσα;
ΑΙΓ. Οἴμοι, ξυνῆκα τοὔπος. Οὐ γὰρ ἐσθ' ὅπως
Ὅδ' ȣ̓κ Ὀρέϛης ἔσθ', ὁ προσφωνῶν ἐμέ.
ΟΡΕ. Καὶ μάντις ὢν ἄριϛος, ἐσφάλλȣ πάλαι.
ΑΙΓ. Ὄλωλα δὴ δείλαιος· ἀλλά μοι πάρες
Κᾂν σμικρὸν εἰπεῖν.
ΗΛΕ. Μὴ πέρα λέγειν ἔα,
Πρὸς θεῶν, ἀδελφὲ, μηδὲ μηκύνειν λόγȣς.
" Τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένον *
" Θνήσκειν ὁ μέλλων τȣ̃ χρόνȣ κέρδος φέροι;"
Ἀλλ' ὡς τάχιϛα κτεῖνε, καὶ κτανὼν πρόθες
Ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐϛιν τυγχάνειν,
Ἄποπτον ἡμῶν· ὡς ἐμοὶ τόδ' ἂν κακῶν
Μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡΕ. Χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ ȣ̓
Νῦν ἐϛιν ἀγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙΓ. Τίδ' ἐς δόμȣς ἄγεις με; πῶς τόδ' εἰ καλὸν
Τοὔργον, σκότȣ δεῖ, κȣ̓ πρόχειρος εἶ κτανεῖν;
ΟΡΕ. Μὴ τάσσε· χώρει δ' ἔνθα περ κατέκτανες
Πατέρα τὸν ἀμὸν, ὡς ἂν ἐν ταὐτῷ † θάνῃς.
ΑΙΓ. Ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν ϛέγην ἰδεῖν

* Ald. μεμιγμένων. † Ald. ὡς ἐν ταὐτῷ.

1508. Ζῶν τοῖς θανȣ̃σιν] τῷ Ὀρέϛῃ.

1511. Καὶ μάντις ὢν ἄριϛος] τινές φασιν, ὅτι διὰ τὸ εἶναι τὸν Αἴγισθον μάντιν, διὰ τȣ̃το τὸν Ὀρέϛην πρὸς αὐτὸν λέγει. Ἕτεροι δὲ τȣ̃το μὲν ȣ̓ λέγȣσιν, εἰπεῖν δὲ τȣ̃το διὰ τὸ πάλαι τὸν Αἴγισθον τὸν καθ' αὐτȣ̃ ὑποπτεύειν θάνατον. Ἐγὼ δὲ καὶ τοῖς πρώτοις τίθεμαι, συμμαρτυρȣ̃ν ἔχων τὸ πάλαι, ὃ πρὸς τὸ ὢν συνάπτεται.

1514. Μὴ πέρα λέγειν ἔα] περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ, πρὸς τῷ τέλει ἐκτείνειν λόγȣς.

1518. Πρόθες ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐϛι τυγχάνειν] ἤγȣν οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.

1520. Ὡς ἐμοὶ τόδ' ἂν] τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.

Ib. Τόδ' ἂν] Ἤγȣν, τὸ φονευθῆναι αὐτὸν καὶ ῥιφῆναι κακῶν τῶν πάλαι, ἤγȣν τῶν ἐκ μακρȣ̃ δυϛυχιῶν, γένοιτο λυτήριον.

1536. Χρῆν]

Τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά.
ΟΡΕ. Τὰ γȣ̃ν σ' ἐγώ σοι μάντις εἰμὶ τῶν δ' ἄκρος.
ΑΙΓ. Ἀλλ' ȣ̓ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
ΟΡΕ. Πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
Ἀλλ' ἕρφ'.
Ὑφηγȣ̃.
ΟΡΕ. Σοὶ βαδιςέον πάρος.
ΑΙΓ. Ἦ μὴ φύγω σέ;
ΟΡΕ. Μὴ μὲν ȣ̃ν καθ' ἡδονὴν
Θάνῃς, φυλάξαι δεῖ με τȣ̃τό σοι πικρόν.
" Χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
" Ὅςτις πέρα πράσσειν γε τῶν νόμων θέλει,
" Κτείνειν· τὸ γὰρ πανȣ̃ργον ȣ̓κ ἂν ἦν πολύ."
ΧΟΡ. Ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
Δι' ἐλευθερίας μόλις ἐξῆλθες,
Τῇ νῦν ὁρμῇ τελεωθέν *.

* ALDUS, τελειωθέν.

1536. Χρῆν] χρεία ἦν, ἤγȣν χρήσιμα ἦν. Τȣτέςι, χρήσιμον καὶ πρέπον ἦν εἶναι εὐθὺς τοῖς πᾶσι τήνδε τὴν δίκην. Λέγω τὸ κτείνειν ἐκεῖνον, ὅςτις θέλει πράττειν πέρα ἀντὶ τȣ̃ περαιτέρω τῶν νόμων.

1542. Ὦ σπέρμ' Ἀτρέως] πλεῖςα παθὸν, μόλις διατέλȣς ἠλευθερώθης κατὰ τὴν νῦν ἐπιχείρησιν. Ἤγȣν, ὦ γέννημα τȣ̃ Ἀτρέως, λίαν πολλὰ παθὸν, μόλις ἐξῆλθες καὶ ἀπηλλάγης δι' ἐλευθερίας, ἤγȣν ἐλευθερώθης τελείως διὰ τῆς νῦν ἐπιχειρήσεως. Τὸ γὰρ τελειωθὲν, ἐνταῦθα μετοχὴ ὂν, λαμβάνεται ὡς ἐπίρρημα, ἀντὶ τȣ̃ διατέλȣς. Τȣτέςιν τελείως, ὥςπερ λέγομεν, ταχὺς ἦλθες, ἀντὶ τȣ̃ ταχέως ἦλθες.

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΤΡΑΧΙΝΙΑΙ.

# ΤΡΑΧΙΝΙΩΝ

## ὙΠΟΘΕΣΙΣ,

### ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.

ἩΡΑΚΛΗΣ παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο. Καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἀριστερὸν τῶν κεράτων αὐτοῦ. Καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμαλθεία δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. Τοῦτο δὲ (ὡς Φερεκύδης φησὶ) δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν, ἢ ποτὸν ὅπερ ἂν εὔξαιτό τις παρέχειν ἄφθονόν τε καὶ ἄπονον. Στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς· καὶ πόλιν ἑλὼν Ἔφυραν ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ Τληπολέμου γίνεται. Γενομένων δὲ τούτων, εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἀνεῖλεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος ἦν Οἰνέως. Ἀλλ' ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε, καὶ διέγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. Ἄγων δὲ Δηϊάνειραν, ἐπὶ ποταμὸν Εὔηνον ἦλθεν· ἐν ᾧ καθεζόμενος Νέσσος ὁ κένταυρος, τοὺς παριόντας διεπόρθμευε, μισθὸν λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. Καὶ αὐτὸς μὲν ὁ Ἡρακλῆς τὸν ποταμὸν διέβη. Δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς, ἐπέτρεψε Νέσσῳ διακομίζειν. Ὁ δὲ διαπορθμεύων αὐτὴν, ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραζούσης αἰσθόμενος Ἡρακλῆς, ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. Ὁ δὲ μέλλων τελευτᾷν, προσκαλεσάμενος Δηϊάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν· τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, δέδωκεν· ἡ δὲ λαβοῦσα, ἐφύλαττε παρ' ἑαυτῇ. Διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων σφάξας εὐωχήσατο, ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήϋκα ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας κατεπολέμησεν. Αὖθις ἐκεῖθεν, ὁρμηθεὶς Αἰγιμίῳ βασιλεῖ Δωριέων συνεμάχησε. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος· ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. Βοηθήσας δὲ ὁ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων, καὶ

τὴν

τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν. Ἀπέκτεινε δὲ καὶ Ἀλλαγόραν μετὰ τῶν τέκνων αὐτȣ͂, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριϛὴν ὄντα καὶ Λαπίθων σύμμαχον· παριόντα δὲ Ἴτωνα, εἰς μονομαχίαν προκαλεῖται αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας. Συϛὰς δὲ, καὶ τȣ͂τον ἀπέκτεινεν. Ὡς δὲ εἰς Ὀρχομενὸν ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ᾿ ὅπλων ȣ̓κ εἴασε διέρχεσθαι. Κωλυόμενος δὲ παρελθεῖν, καὶ τȣ͂τον ἀπέκτεινεν. Ἀφικόμενος δὲ εἰς Τραχῖνα ϛρατείαν ἐπ᾿ Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. Συμμαχȣ́ντων δ᾿ Ἀρκάδων αὐτῷ, καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος, καὶ Λοκρῶν τῶν ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν. Καὶ θάψας τῶν σὺν αὐτῷ ϛρατευσαμένων τȣ̀ς ἀποθανόντας, Ἵππασόν τε τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μέλανα τȣ̀ς Λυκυμνίȣ παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. Καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κηναίȣ ἱερὸν ἱδρύσατο. Μέλλων δὲ ἱερȣργεῖν εἰς Τραχῖνα τὸν Λίχαν * ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. Παρὰ δὲ τȣ́τȣ τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσȣ, τȣ́τῳ τὸν χιτῶνα ἔχρισεν· ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν· Ὡς δὲ θερμανθέντος τȣ͂ χιτῶνος ὁ τῆς Ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος, κατηκόντισεν ἀπὸ τῆς Βοιωτίας, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι. Συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτῷ. Τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς, εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ αἰσθομένη † τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐϛιν ὄρος Τραχῖνος, ἐκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. Μηδενὸς δὲ τȣ͂το πράττειν ἐθέλοντος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφάψας, ἔλαβε τὰ τόξα παρ᾿ αὐτȣ͂ δωρεάν· Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποϛὰν μετὰ βροντῆς αὐτὸν εἰς ȣ̓ρανὸν ἀναπέμψαι. Ἔνθα τυχὼν ἀθανασίας, καὶ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν· ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

* TURN. in marg. Κήϋκα. † TURN. Δηϊάνειρα αἰσθομένη ȣ̓ν.

# ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ῩΛΛΟΣ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ΤΡΑΧΙΝΙΩΝ.

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ἩΡΑΚΛΗΣ.

Προλογίζει δὲ ΔΗΙΑΝΕΙΡΑ.

# ΤΡΑΧΙΝΙΑΙ.

ΔΗΙΑΝΕΙΡΑ, ΘΕΡΑΠΑΙΝΑ, ΥΛΛΟΣ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΔΗΙ. ΛΟΓΟΣ μὲν ἔς᾽ ἀρχαῖος ἀνθρώπων φανεὶς,
" Ὡς ἐκ ἂν αἰῶν᾽ ἐκμάθοι βροτῶν, πρὶν ἂν
" Θάνοι τὶς, ἔτ᾽ εἰ χρησὸς, ἔτ᾽ εἴ τῳ κακός."
Ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς ᾅδε μολεῖν,
Ἔξοιδ᾽ ἔχεσα δυςτυχῆ τε καὶ βαρύν·
Ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
Ναίεσ᾽ ἐνὶ Πλευρῶνι, νυμφείων ὄκνον *

* Turn. in marg. ὄτλον.

1. Λόγος μὲν ἔς᾽ ἀρχαῖος] ὁ τρόπος ἀναχρονισμός. μεταγενέςερος γὰρ τῦ Ἡρακλέες ὁ Σόλων. φασὶ δὲ Ἀθηναίες αἰτήσασθαι Σόλωνα νόμων γραφὴν, τὸν δὲ δεδιότα τὸ ἀψίκορον αὐτῶν, ὅρκον αἰτῆσαι αὐτές. ἐπέμεινε δὲ σὺν αὐτοῖς δεκαετίαν. καὶ παρευλαβέμενος μήποτε μένοντα αὐτὸν ἀναγκάσωσι μεταθεῖναί τι τῶν νομίμων, ἀναχωρῆσαι πρὸς Λυδὲς καὶ Κροῖσον. δεξάμενος δὲ Κροῖσος αὐτὸν, δείκνυσι πάντα τὸν πλῦτον, καὶ ςρατιώτας ἐν ὅπλοις χρυσοῖς, βωμόν τε Ἀπόλλωνος πάγχρυσον. καὶ καυχώμενος ἠρώτα αὐτὸν τίς αὐτῦ πάντων ἀνθρώπων εὐδαιμονέςερος. ὁ δὲ ἔφη Κλέοβιν καὶ Βίτωνα· λυπηθεὶς δὲ ὁ βασιλεὺς, ἠρώτα τὸν τὰ δεύτερα αὐτῶν φέροντα. τέτε δὲ πάλιν ἕτερον προβαλλομένε, ἠγανάκτησε Κροῖσος ὅτι μὴ τὰ δεύτερα τῆς εὐδαιμονίας αὐτῷ δέδωκεν. ὁ δὲ Σόλων συνεὶς τὴν λύπην, ἀπεφήνατο ὅτι τέλος δεῖ ὁρᾷν τῦ βίε. φασὶ δὲ αὐτὸν τοτηνικαῦτα πόλεμον αἰρέμενον πρὸς Πέρσας, χρησθῆναι αὐτῷ παρὰ τῦ θεῦ, Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει. ὁ δὲ, νομίσας περὶ τῆς Περσῶν ἀρχῆς αὐτὸν λέγειν· ἐπολέμησε, καὶ ἡττηθεὶς ἐν πυρὶ βέβληται ὑπὸ Κύρε. καιόμενος δὲ Σόλωνα ἐπεκαλεῖτο. Ἀπόλλων δὲ ὄμβρον ἐπιβαλὼν, ἔσβεσε τὸ πῦρ. Κύρε δὲ ἐρωτήσαντος, διηγήσατο αὐτῷ τὸ ἀπόφθεγμα τῦ φιλοσόφε· ὅθεν θαυμάσας Κύρος τὸ τῆς τύχης ἄδηλον, μετὰ τιμῆς ἀπέπεμψε τὸν Κροῖσον.

4. Ἐγὼ δὲ τὸν ἐμὸν] ἐγὼ (φησὶ) τὸν ἐμὸν αἰῶνα καὶ πρὸ θανάτε διέγνωκα βαρὺν ὄντα καὶ ἀπεχθῆ καὶ δυςτυχῆ.

7. Ναίεσ᾽ ἐν Πλευρῶνι] πόλει τῆς Αἰτωλίας.

Ib. Νυμφείων ὄκνον] νυμφείων, ἀντὶ τῦ νυμφευμάτων. ὄκνον δὲ, τὸν φόβον. Ὅμηρος·

" Ὀκνείω δ᾽ ἵππων ἐπιβήμεναι."

Ἄλγιστον ἔσχον, εἴτις Αἰτωλὶς γυνή.
Μνηστὴρ γὰρ ἦν μοι ποταμὸς (Ἀχελῷον λέγω)
Ὅς μ᾽ ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρὸς,
Φοιτῶν ἐναργὴς ταῦρος· ἄλλοτ᾽ αἰόλος
Δράκων ἑλικτός· ἄλλοτ᾽ ἀνδρείῳ τύπῳ
Βούκρανος· ἐκ δὲ δασκίου γενειάδος
Κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ.
Τοιόνδ᾽ ἐγὼ μνηστῆρα προσδεδεγμένη
Δύστηνος, αἰεὶ κατθανεῖν ἐπευχόμην
Πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
Χρόνῳ δ᾽ ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δέ μοι,
Ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
Ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,
Ἐκλύεταί με· καὶ τρόπον μὲν ἂν πόνων
Οὐκ ἂν διείποιμ᾽, (οὐ γὰρ οἶδ᾽) ἀλλ᾽ ὅστις ἦν
Θακῶν ἀταρβὴς τῆς θέας, ὅδ᾽ ἂν λέγοι.
Ἐγὼ γὰρ ἥμην * ἐκπεπληγμένη φόβῳ,

* Ald. Turn. ἥμην.

εἰ δὲ γράφεται ὄτλον, τὴν ταλαιπωρίαν. ἢ (ὡς Ὅμηρος)

“τὸ μεμορημένον καὶ πεπρωμένον”.

Καλλίμαχος,

“Κενεὸν πόνον ὀτλήσαντες”.

ἡδεῖα δὲ ἡ φράσις καὶ ἡ ἱστορία.

12. Δράκων ἑλικτὸς] διὰ τὸ σκολιὸν τῶν ῥευμάτων.

13. Βούκρανος] οἱ ποταμοὶ ταυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμῷ εἰσὶ παραπλήσιοι περὶ τὰς ἐκβολάς. Ὅμηρος,

“Τοὺς δὲ ἔκβαλλε θύραζε, μεμυκὼς ἠύτε
“ταῦρος”

ἢ ὅτι σχίζουσι τὴν γῆν ὡς οἱ βόες, ἢ διὰ τὸ τὰς νομὰς παρὰ τοὺς ποταμοὺς εἶναι.

Ib. Ἐκ δὲ δασκίου γενειάδος] ὁ νοῦς· ἐκ δὲ τῆς δασύτριχος γενειάδος αὐτοῦ κατέῤῥει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης. παροιμία ἐκ πολλοῦ οὕτως εἰρημένη.

19. Ὁ κλεινὸς ἦλθε Ζηνὸς] τοῦτο γὰρ ἦν παρὰ Οἰνέως ὡρισμένον, τῷ νικῶντι Ἀχελῷον αὐτὴν δώσειν.

21. Ἐκλύεταί με] ἀντὶ τοῦ ἀπαλλάττει με καὶ ἐλευθεροῖ τοῦ φόβου, τοῦ Ἀχελῴου περιγενόμενος.

Ib. Καὶ μὲν τρόπον ἂν] τὸν τρόπον τῆς πρὸς ἀλλήλους αὐτῶν μάχης.

22. Οὐκ ἂν διείποιμι] ἐδεδοίκει γάρ. ἐκεῖνος δ᾽ εἴποι ἂν ὃς ἄφοβος αὐτὴν τὴν μάχην θεορῶν ἐκάθετο. Ὅμηρος,

“Ἔνθά κεν οὐκ ἔτι ἔργον ἀνὴρ ὀνόσαιτο μετ-
“ελθὼν,”

“Ὅστις γ᾽ ἄβλητος.”

24. Ἐγὼ γὰρ ἥμην] δασέως ἵνα συνάδῃ τῷ, Ἀλλ᾽ ὅστις ἦν θακὼν ἀταρβὴς τῆς θέας. Οἱ δὲ ψιλῶς, ἀντὶ τοῦ ὑπῆρχον.

25. Μή

Μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ·
Τέλος δ' ἔθηκε Ζεὺς Ἀγώνιος καλῶς,
Εἰ δὴ καλῶς· λέχος γὰρ Ἡρακλεῖ κριτὸν
Ξυςᾶσ', ἀεί τιν' ἐκ φόβȣ φόβον τρέφω
Κείνȣ προκηραίνȣσα· νὺξ γὰρ εἰςάγει
Καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
Κἀφύσα * μεν δὴ παῖδας, ȣ̔ς κεῖνός ποτε,
Γήτης ὅπως ἄρȣραν ἔκτοπον λαβὼν,
Σπείρων μόνον προςεῖδε κἀξαμῶν ἅπαξ.
Τοιȣ̃τος αἰὼν εἰς δόμȣς τε κἀκ δόμων
Αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
Νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
Ἐνταῦθα δὴ μάλιςα ταρβήσασ' ἔχω.
Ἐξ ȣ̃ γὰρ ἔκτα κεῖνος Ἰφίτȣ βίαν,
Ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάςατοι
Ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅπȣ
Βέβηκεν, ȣ̓δεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς

* Turn. in textu, κἀφύσαμεν.

25. Μή μοι τὸ κάλλος] μὴ διὰ τὸ κάλλος ἀλγηδόνι περιπέσω, τῷ Ἀχελῴῳ γαμηθεῖσα.

26. Τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος] ὁ πρύτανις τȣ̃ ἀγῶνος. τὸ δὲ ὅλον ȣ̔́τως ἔχει, ὁ Ἀγώνιος Ζεὺς εὐτυχὲς τῷ ἀγῶνι τέλος ἐπέθηκεν, ἐμοὶ δὲ ȣ̓κ εὐτυχές. Εὐτυχῶς μὲν, ὅτι ἀπήλλαξέ με τȣ̃ Ἀχελῴȣ. Οὐκ εὐτυχῶς δὲ, ὅτι καὶ νῦν ȣ̓χ ἧττον ἀγωνιῶ διὰ τὴν τȣ̃ Ἡρακλέȣς ἀπȣσίαν.

27. Λέχος γὰρ Ἡρακλεῖ κριτὸν] ἀντὶ τȣ̃ ἔκριττον διὰ τὸ καὶ περὶ Ἡρακλέȣς ἀγωνιᾷν.

28. Ξυςᾶσ'] ἀντὶ τȣ̃ συνελθȣ̃σα.

Ib. Τρέφω] ἀντὶ τȣ̃ ἔχω καὶ αὔξω.

29. Προκηραίνȣσα] ἀγωνιῶσα, μεριμνῶσα κατὰ τὸ κέαρ. ὅ ἐςιν, ἐν βάθει βȣλευομένη. Καὶ Εὐριπίδης,

" Τί ποτ', ὦ τέκνα, τάδε κεραίνετε;"

Ib. Νὺξ γὰρ εἰςάγει] ἀντὶ τȣ̃, νυκτὸς ἔρχεται, καὶ νυκτὸς ἐξορμᾶται, ὥςτε διαδοχήν μοι τῶν πόνων γίγνεσθαι.

32. Γήτης] γεωργὸς, ὁ τὴν γῆν ἐργαζόμενος.

Ib. Ἔκτοπον] ἔξω καὶ πόῤῥω ȣ̓̃σαν.

35. Λατρεύοντά τῳ] ὑπηρετȣ̃ντα τῷ Εὐρυσθεῖ.

36. Ὑπερτελὴς] ἀντὶ τȣ̃, ὑπὲρ τὸ τέλος γέγονεν. Οἷον, τȣ̃ τέλȣς τῶν ἄθλων κρείσσων ὤφθη κατορθώσας αὐτȣ̀ς, ἢ ὑπέρτερος αὐτῶν ἐςιν. ἐγκρατὴς καὶ ὑπεράνω.

39. Ἐν Τραχῖνι] πόλις Θετταλίας ἡ Τραχὶν, ἐν ᾗ Ἡρακλῆς κατῴκησε διὰ τὸν τȣ̃ Ἰφίτȣ φόνον, κατὰ τὸν νόμον.

40. Ξένῳ παρ' ἀνδρὶ] τῷ Κήυκι· ὃς ἦν παῖς Ἀμφιτύρωνος ἀδελφȣ̃. Καὶ Ἡσίοδος,

" Τραχῖνα δέ τοι παρελαύνων
" Ἐς Κήυκα ἄνακτα."

43. Σχεδὸν

Ὠδῖνας αὐτῷ προσβαλὼν ἀποίχεται.
Σχεδὸν δ᾽ ἐπίσαμαί τι πῆμ᾽ ἔχοντά νιν.
Χρόνον γὰρ ἐχὶ βαιὸν ἀλλ᾽ ἤδη δέκα
Μῆνας πρὸς ἄλλοις πέντ᾽, ἀκήρυκτος μένει.
Κἄσιν τὶ δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
Δέλτον λιπὼν ἔσειχε, τὴν ἐγὼ θαμὰ
Θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΘΕΡ. Δέσποινα Δηϊάνειρα, πολλὰ μέν σ᾽ ἐγὼ
Κατεῖδον ἤδη πανδάκρυτ᾽ ὀδύρματα
Τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
Νῦν δ᾽, εἰ δίκαιον τὰς ἐλευθέρας φρενῦν
Γνώμαισι δέλαις, κἀμὲ χρὴ φράσαι τόσον,
Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
Ἀνδρὸς κατὰ ζήτησιν ἐ πέμπεις τινά·
Μάλισα δ᾽, ὅνπερ εἰκὸς, Ὕλλον; εἰ πατρὸς
Νέμοι τίν᾽ ὤραν τῦ καλῶς πράσσειν δοκεῖν.
Ἐγγὺς δ᾽ ὅδ᾽ αὐτὸς ἀρτίπες θρώσκει δόμες.
Ὥστ᾽, εἴτι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
Πάρεσι χρῆσθαι τἀνδρὶ τοῖς τ᾽ ἐμοῖς λόγοις.

43. Σχεδὸν δ᾽ ἐπίσαμαι] ὑποπτεύω, ὑπονόω, οἴομαι.

45. Ἀκήρυκτος μένει] ἄσημος· ἐ μηνυόμενος ὅπε πότ᾽ ἐσίν. Ὃν ἐδεὶς ἐλθὼν κηρύττει καὶ ἀπαγγέλει πῦ πότ᾽ ἐσίν.

47. Δέλτον λιπὼν ἔσειχε] ὡς τῦ Ἡρακλέες τύπον διαθήκης γράψαντος εἰς δέλτον, καὶ καταλελοιπότος, ὡς, εἰ μὴ ἔλθοι διὰ τοσέτε χρόνε, γνῶναι αὐτὸν τελευτήσαντα μετὰ τὲς πεντεκαίδεκα μῆνας ἀναγνῦσαν ποιῆσαι αὐτὴν τὰ ἐντεταλμένα.

48. Θεοῖς ἀρῶμαι] εὔχομαι τοῖς θεοῖς, μηδὲν λυπηρὸν ἐγγεγραμμένων ἔχεσαν λαβεῖν· τῦτο γάρ ἐσιν τὸ πημονῆς ἄτερ.

50. Πανδάκρυτ᾽ ὀδύρματα] διὰ πανδακρύτων ὀδυρμάτων· ὡς τὸ, διά τ᾽ ἔντεα καὶ μέλαν αἷμα.

52. Φρενῦν] νεθετεῖν, εἰς φρόνησιν ἄγειν.

53. Τὸ σὸν] τὸ σοὶ συμφέρον ἢ τόσον, ἀντὶ τῦ ὀλίγε.

54. Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις] ἦσαν γὰρ αὐτῇ παῖδες ἐξ Ἡρακλέες, Ὕλλος, Κτήσιππος, Γληνὸς, Ὀλίτης. Ἦν δὲ Ἡρακλεῖ καὶ ἕτερος Ὕλλος ἐκ Μελίτης.

56. Εἰ πατρὸς νέμοι τίν᾽ ὤραν] ἤγεν φροντίδα. ὡς καὶ Ἡσίοδος,

"Ὤρη γάρ τ᾽ ὀλίγη πέλεται."

ὁ δὲ νεῦς, ἵνα μάθῃς εἰ φροντίζει τῦ πατρὸς, ὑπὲρ τῦ δοκεῖν καλῶς πράττειν ἐκεῖνον.

59. Ἀρτίπες] ὅ ἐσιν, ἀρτίως καὶ ἡρμοσμένως τῷ καιρῷ πορεύεται.

ΔΗΙ. Ὦ τέκνον, ὦ παῖ, " κἀξ ἀγεννήτων ἄρα
" Μῦθοι καλῶς πίπτουσιν·" ἥδε γὰρ γυνὴ,
Δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.
ΥΛΛ. Ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
ΔΗΙ. Σὲ, πατρὸς οὕτω δαρὸν ἐξενωμένου,
Τὸ μὴ πυθέσθαι πȣ̃ 'ςιν, αἰσχύνην φέρει.
ΥΛΛ. Ἀλλ' οἶδα, μύθοις εἴτι πιςεύειν χρεών.
ΔΗΙ. Καὶ πȣ̃ κλύεις νιν, τέκνον, ἱδρῦσθαι χθονός;
ΥΛΛ. Τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου,
Λυδῇ γυναικὶ φασί νιν λάτριν πονεῖν.
ΔΗΙ. Πᾶν τοίνυν, εἰ καὶ τȣ̃τ' ἔτλη, κλύοι τὶς ἄν.
ΥΛΛ. Ἀλλ' ἐξαφεῖται τȣ̃δέ γ', ὡς ἐγὼ κλύω.
ΔΗΙ. Πȣ̃ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;
ΥΛΛ. Εὐβοῖδα χώραν φασὶν Εὐρύτου πόλιν
Ἐπιςρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.
ΔΗΙ. Ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
Μαντεῖα πιςὰ τῆςδε τῆς χώρας πέρι;
ΥΛΛ. Τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
ΔΗΙ. Ὡς ἢ τελευτὴν τȣ̃ βίου μέλλει τελεῖν,
Ἢ τȣ̃τον ἄρας ἆθλον, εἰς τὸν ὕςερον
Τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν·
Ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,

61. Κἀξ ἀγεννήτων] δυςγενῶν.

63. Ἐλεύθερον λόγον] σπουδαῖον, ἐλευθέρῳ πρέποντα.

64. Εἰ διδακτά μοι] εἰ προσήκει μαθεῖν.

65. Ἐξενωμένου] ἐν ξένῃ διατρίβοντος.

69. Ἄροτον] τὸν ἐνιαυτόν. ἅπαξ γὰρ τοῦ ἔτους ἀροτριᾶται ἡ γῆ.

71. Πᾶν τοίνυν] ἀκούσεται τοίνυν τὶς ὅτι Ἡρακλῆς πᾶν αἰσχρὸν ὑπέμεινεν, εἰ ἀληθῶς ὑπέστη δουλεύειν τῇ Ὀμφάλῃ.

72. Ἀλλ' ἐξαφεῖται] ἀφείθη. ἀπηλλάγη τοῦ δουλεύειν.

74. Εὐβοῖδα χώραν] ἔνιοί φασι καὶ Θεσσαλίας εἶναι Οἰχαλίαν, οὐδὲν δὲ ἄτοπον συνωνυμεῖν.

77. Χώρας περὶ] τῆς Εὐβοίας.

79. Ὡς ἢ τελευτὴν] ἔλεγέ (φησιν) ὅτι ἐν Οἰχαλίᾳ τεθνήξομαι, ἢ σταθεὶς εὐδαιμονήσω τὸν ἐπίλοιπον χρόνον. ποῦ οὖν ἀγγέλλεται ἢ ζῶν εἶναι ἢ θανών.

82. Ἐν οὖν ῥοπῇ] ἐν κινδύνοις (φησὶ) τοιούτοις καὶ ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένῳ, οὐ πορεύσῃ συλληψόμενος αὐτῷ καὶ συναγωνιζόμενος;

Οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα,
Ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος,
Κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα;

ΥΛΛ. Ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
Βάξιν κατῄδειν τῶνδε, κἂν πάλαι παρῆν·
Νῦν δ' ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς
Ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.
Νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ
Πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.

ΔΗΙ. Χώρει νῦν, ὦ παῖ· "καὶ γὰρ ὑςέρῳ τόγ' εὖ
" Πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ."

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὃν αἰόλα νὺξ ἐναριζομένα
Τίκτει, κατευνάζει τε φλογιζόμενον
Ἅλιον, ἅλιον αἰτῶ
Τοῦτο * καρύξαι τὸν Ἀλκμή-
νας, πόθι μοι, πόθι παῖς †
Ναίει ποτ', ὦ λαμ-
πρᾷ ςεροπᾷ φλεγέθων·
Ἢ ποντίους αὐλῶνας, ἢ

* Aldus, τούτῳ.    † Aldus, πόθι μοι παῖς.

83. Ἡνίκ' ἢ σεσώσμεθα] τῷ πατρί.

86. Εἰ δὲ θεσφάτων ἐγὼ] εἰ δὲ καὶ ἠπιςάμην, ἢ προηκηκόειν (φησὶν) ὅτι ταῦτα προεῖπε, πάλαι ἂν ἐγὼ συμπαρήμην αὐτῷ.

92. Χώρει νῦν, ὦ παῖ] καὶ νῦν (φησὶν) ὦ παῖ ἄπιθι, εἰ καὶ μὴ πρότερον. Καὶ γὰρ τὸ βραδέως τὰ δέοντα ποιεῖν ἐπειδὰν ἀκούσῃ τὶς, κέρδος ἀποφέρεται. Τουτέςιν, εἰ καὶ βραδέως ἤκουσας, ὠφελήσεις αὐτὸν παραγενόμενος, καὶ κέδρος σοι ἔςαι.

94. Ὃν αἰδόλα νὺξ] μέλαινα, ὡς οἱ νεώτεροι· ἢ ποικίλη, διὰ τὰ ἄςρα· ἢ ταχεῖα, διὰ τὸ νυκτὶ θοῇ παρ' Ὁμήρῳ.

95. Τίκτει] ἀντὶ τοῦ ἀνατέλλειν ποιεῖ.

Ib. Φλογιζόμενον] λάμποντα.

96. Ἅλιον αἰτῶ] παρακαλῶ.

97. Τὸν Ἀλκμήνας παῖδα.

98. Πόθι μοι] λείπει οἰκεῖ, διατρίβει.

101. Ἢ ποντίους αὐλῶνας] τοὺς παρὰ θάλατταν τόπους ςενοὺς, αὐλῶνας καλεῖ· ἐκ δὲ τούτου τὰ πελάγη φησὶν, ἆρα οὖν ἐν θαλάττῃ ἐςιν; ἢ ἀντὶ τοῦ νήσους. Αὐλὼν γὰρ τὸ ςενόμακρον

Δισσαῖς* ἀπείροις † κλιθεὶς,
Εἶπ᾽, ὦ κρατιϛεύων κατ᾽ ὄμμα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ποθȣμένᾳ γὰρ φρενὶ πυνθάνομαι
Τὰν ἀμφινεικῆ Δηϊάνειραν ἀεὶ,
Οἷά τιν᾽ ἄθλιον ‡ ὄρνιν,
Οὔ ποτ᾽ εὐνάζειν ἀδακρύ-
των βλεφάρων πόθον, ἀλ-
λ᾽ εὔμναϛον ἀνδρὸς
Δεῖμα φέρȣσαν ὁδȣ̃,
Ἐνθυμίοις εὐναῖς τ᾽ ἀναν-
δρώτοις τρύχεσθαι, κακὰν
Δύϛανον ἐλπίζȣσαν αἶσαν.

ΣΤΡΟΦΗ Β.

“ Πολλὰ γὰρ ὥϛτ᾽ ἀκάμαντος

* Ald. δισσαῖσιν. † Ald. ἀπείροισι. ‡ Turn. in marg. ἅλιον.

μακρον πέλαγος. ἀπὸ δὲ τȣ̃ πελάγȣς τὸ περιεχόμενον ὑπ᾽ αὐτȣ̃ δηλοῖ, ὅ ἐϛι τὰς νήσȣς.

Ib. Ἢ δισσαῖσιν ἀπείροισι κλιθεὶς] ἀντὶ τȣ̃, καὶ πρὸς τὰ ἑῶα καὶ δυτικὰ μέρη νεύων, ἤγȣν ἀνατέλλων, ἢ δύνων. Καὶ Ὅμηρος·

“ Ἠέλιος ὃς πάντ᾽ ἐφορᾷ.”

103. Ὦ κρατιϛεύων] ὦ νικῶν πάντας τȣ̀ς θεȣ̀ς κατὰ τὸ ὀπτικόν.

105. Τὰν ἀμφινεικῆ Δηϊάνειραν] λείπει ἡ διά. Τὴν περιμάχητον ἐπιῤῥηματικῶς. Πυνθάνομαι (φησὶ) τὴν ἀμφινεικη Δηϊάνειραν μηδέποτε τȣ̀ς ὀφθαλμȣ̀ς ἀδακρύτȣς ἔχειν, ἀλλ᾽ ἀεὶ τῷ πόθῳ τῶν δακρύων νικωμένην ὀδύρεσθαι.

106. Οἷα τιν᾽ ἄθλιον ὄρνιν] τὴν ἀηδόνα· γράφεται καὶ ἅλιον ὄρνιν, ἤγȣν τὴν ἀλκυόνα, ἣ τίκτει ἐν ταῖς ὑφάλοις πέτραις, εἶτα τῶν ᾠῶν ἀφανιζομένων, δακρύει.

107. Οὔποτ᾽ εὐνάζειν] τὸν πόθον τῶν δακρύον κοιμίζειν, ἀλλ᾽ ἡττᾶσθαι καὶ ἀεὶ δακρύειν.

Ib. Ἀδακρύτων] πολυδακρύτων.

108. Ἀλλ᾽ εὔμναϛον ἀνδρὸς] ἀλλὰ τὸ δεῖμα τὸ ὑπερ τȣ̃ ἀνδρὸς ἀεὶ μνημονεύȣσαν ἐν ταῖς ἀνάνδροις κοίταις, τρύχεσθαι κατὰ ψυχήν.

111. Ἐνθυμίοις εὐναῖς] ταῖς μεριμνητικαῖς ταῖς πολυφροντίϛοις.

Ib. Ἀνανδρώτοισι] ταῖς ἐρήμαις τȣ̃ ἀνδρός.

114. Πολλὰ γὰρ] τὸ πολλὰ πρὸς τὸ κύματα.

Ib. Ὥϛτ᾽ ἀκάμαντος ἢ νότȣ] ὥσπερ γὰρ (φησὶν) ἄν τις θεωροίη κυματȣμένην τὴν θάλατταν, ἢ νότȣ πνέοντος, ἢ βορέȣ. Τῶν δὲ κυμάτων τὰ μὲν ἀπιόντα, τὰ δέ εἰσιν ἐπερχόμενα. Οὕτω καὶ τὸν Ἡρακλέα καθάπερ τι πέλαγος κακῶν τὸ μέν τι παρὸν λυπεῖ, τὸ δ᾽ αὐξόμενον ὑπόκειται.

Ἢ νότε ἢ βορέα τὶς
Κύματα εὐρεῖ πόντῳ
Βάντ' ἐπιόντα τ' ἴδοι·
Οὕτω δὲ τὸν Καδμογενῆ
Τρέφει· τὸ δ' * αὔξει βιότε
Πολύπονον, ὥςτε † πέλαγος
Κρήσιον· ἀλλά τις θεῶν
Ἀιὲν ἀμπλάκητον αἴδα
Σφε δόμων ἐρύκει.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ὧν ἐπιμεμφομένα σ', ἀ-
δεῖα μὲν, ἀντία δ' οἴσω.
Φαμὶ γὰρ ἐκ ἀποτρύειν
Ἐλπίδα τὰν ἀγαθὰν

* TURN. in marg. τὸν δ'. † ALD. ὥςπερ.

118. Καδμογενῆ] τὸν Θηβαγενῆ Ἡρακλέα. Ἡσίοδος,—" ὄφρ' Ἡρακλῆος Θηβαιγενέος κλέος εἴη.

119. Τρέφει, τὸ δ' αὔξει βιότε πολύπονον] τρέφει ἀντὶ τῶ ἔχει. Αὔξει ἀντὶ τῶ αὔξεται. Ἀντὶ τροφῆς καθημερινῆς καὶ αὐξήσεως εἰσὶν αὐτῷ οἱ πόνοι. Οὕτω (φησὶ) τὸ μὲν τῶν κακῶν ἔχει αὐτὸν, τὸ δὲ αὔξεται κατ' αὐτῶ. Ἄλλως· Τρέφει, ἀντὶ τῶ τρίβει, κατὰ ἀντίφρασιν· ἔχει γὰρ ὅτως· τὸ μὲν αὐτὸν καταπονεῖ παρὸν, τὸ δ' αὔξει καὶ κορυφῶται. Ἢ ὅτι οἰκεῖον τῶ ἥρωος τὸ τρέφειν καὶ αὔξειν, ὥςτε τρέφεσθαι καὶ αὔξεσθαι αὐτῶ τὴν ἀρετὴν διὰ τῶν πόνων. Καὶ Ἰσοκράτης· " Οἷς " ἡ τῶν τρόπων ἀρετὴ τηλικῶτον εὐδοξίας " χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλε." βίε δὲ πέλαγος, τὸν χειμαζόμενον βίον λέγει.

121. Κρήσιον] ὡς πάνυ χειμαζομένης τῆς περὶ Κρήτην θαλάσσης.

Ib. Ἀλλά τις θεῶν] θάῤῥει (φησὶν) ὡς Δηϊάνειρα. Θεῶν γάρ τις αὐτὸν ἀναμάρτητον καὶ δίκαιον ὄντα κωλύει ἀπὸ τῶ ἅδε, ἢ ἀμπλάκητον, ἐπιτυχῆ, παρὰ τὸ μὴ ἀναπλακεῖν. Οἷον, κωλύει αὐτὸν μὴ ἐπιτυχεῖν τῶ ᾅδε. ἀμπλάκιον, ἄπταιςον.

124. Ὧν ἐπιμεμφομένα σ'] περὶ δὲ ὧν μεμφομένη σοι ὅτι ὐ προσηκόντως ὀδύρῃ· θεοὶ γὰρ αὐτὸν σώζεσιν.

Ib. Ἀδεῖα μὲν, ἀντία δ' οἴσω] ἐναντία οἷς περὶ τῶ Ἡρακλέως φρονεῖς· παραιτεμένη δὲ τῷ ἀδεῖα, ὡς ἐναντία λέγεσα τῇ ἀνάσσῃ, ἐπάγει μὴ χρῆναι αὐτὴν ἀποβάλλειν τὴν ἀγαθὴν ἐλπίδα περὶ τῶ ἀνδρός· φησὶ γὰρ αὐτὸν ζῆν· ἀντία δὴ, ὅτι τὸ ἐναντίον νομίζει ἡ Δηϊάνειρα, ἀποθανεῖν αὐτόν.

126. Οὐκ ἀποτρύειν, ὐκ ἀποβάλλειν, ὐκ ἀποδοκιμάζειν.

128. Ἀνάλγητα γὰρ] ὐδὲ γὰρ ἄλυπα τοῖς ἀνθρώποις ὁ Ζεὺς τὰ πράγματα πεποίηκε. Δοιοὶ γάρ τε πίθοι. Οἷον, συμμιγνύεσιν οἱ θεοὶ τὰ πράγματα τοῖς ἀνθρώποις πήματι καὶ χαρᾷ, καὶ ςρέφεσιν ὀξέως τὰ πράγματα ὥςπερ τὰς τῆς ἄρκτε ςροφάς.

132. Ἀλλ'

Χρῆναί σ'. "ἀνάλγητα γὰρ ȣ-
"δ' ὁ πάντων κραίνων* βασιλεὺς
"Ἐπέβαλε † θνατοῖς Κρονίδας.
"Ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
"Πᾶσι κυκλȣ̃σ', οἷον ἄρκτȣ
"Στροφάδες κέλευθοι."

ΕΠΩΔΟΣ.

Μένει γὰρ ȣ̓́τ' αἰόλα νὺξ
Βροτοῖσιν, ȣ̓́τε κῆρες,
Οὔτε πλȣ̃τος, ἀλλ' ἄφαρ
Βέβηκε· τῷ δ' ἐπέρχεται,
Χαίρειν τε καὶ ςέρεσθαι.
Ἃ καί σε τὰν ἄνασσαν
Ἐλπίσιν λέγω
Τάδ' αἰὲν ἴσχειν· ἐπεὶ
Τίς ὧδε τέκνοισι
Ζῆν' ἄβȣλον εἶδεν;

ΙΑΜΒΟΙ.

ΔΗΙ. Πεπυσμένη μὲν, ὡς ἀπεικάσαι, πάρει,

* ALDUS, ὁ πάντα κραίνων. † ALDUS, ἐπέβαλλε.

132. Ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ] ἐπὶ χαρᾷ δὲ καὶ πήματι, πᾶσι κυκλȣ̃σιν οἱ θεοί. Πῆμα δὲ ἀντὶ τȣ̃ πήματι κατὰ ἀποκοπήν.

133. Πᾶσι κυκλȣ̃σιν] ἀντὶ τȣ̃ κυκλȣ̃νται τὰ τῶν ἀνθρώπων πράγματα. Ἢ τὸ κυκλȣ̃σιν ἐπὶ τῶν θεῶν.

Ib. Οἷον ἄρκτȣ ςροφάδες] τὰς ἄρκτȣ ςροφὰς παρέλαβεν, ἐπεὶ διαφανεῖς τέ εἰσι καὶ ἡσυχαιτέραν ποιȣ̃νται τὴν κίνησιν. Καθόλȣ γὰρ ὀξύτερον τὰ νότια κινȣ̃νται, διὰ τὸ μείζονα κύκλον ὁδεύειν. Ἄρατος·
"Αὐτȣ̃ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι."

138. Στέρεσθαι] ἀντὶ τȣ̃ λυπεῖσθαι καὶ ςέρεσθαι χαρᾶς. Τίνος δὲ ςέρεσθαι; δηλονότι τȣ̃ χαίρειν.

139. Ἃ καί σε τὰν ἄνασσαν] ἅπερ καί σε λέγω χρῆναι φρονεῖν, καὶ χρηςαῖς ἐλπίσι βόσκεσθαι. Ἢ οὕτως, καί σε βȣ́λομαι φροντίζειν, ὅτι τρέπονται καὶ ἐκ κακῶν ἐπὶ τὰ ἀγαθὰ καὶ ἀνθρώπινα.

143. Ζῆν' ἄβȣλον] δύςβȣλον, καὶ κακόβȣλον, μὴ βȣλευόμενον τοῖς ἰδίοις παισὶ τὸ συμφέρον. Διὸ μηδὲν φαῦλον περὶ Ἡρακλέȣς ἔλπιζε. Οὐ γὰρ παρορᾷ τὸν ἑαυτȣ̃ παῖδα ὁ Ζεύς.

144. Πεπυσμένη] ἐξ ἀκοῆς ἐλήλυθας τῶν ἐμῶν αἰσθομένη κακῶν.

Πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ,
Μήτ' ἐκμάθοις παθοῦσα· * νῦν δ' ἄπειρος εἶ·
Τὸ γὰρ νεάζον, ἐν τοιοῖσδε βόσκεται
Χώροισιν αὑτοῦ † · καί νιν οὐ θάλπος θεοῦ,
Οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
'Αλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
'Ες τοῦθ', ἕως τὶς ἀντὶ παρθένου γυνὴ
Κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
Ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
Τότ' ἄν τις εἰσίδοιτο τὴν αὑτοῦ σκοπῶν
Πρᾶξιν κακοῖσιν οἷς ἐγὼ θαρύνομαι.
Πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην,
Ἓν δ' οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
Ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
Ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
Λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
Ξυνθήμαθ', ἅ 'μοι πρόσθεν οὐκ ἔτλη ποτὲ
Πολλοὺς ἀγῶνας ἐξιὼν οὕπω φράσαι·

* TURN. in textu, αὐτοῦ.  † ALD. παροῦσα.

147. Τὸ γὰρ νεάζον] ἡ γὰρ νέα ἡλικία ἐς τοῖς τόποις τῆς ἀμεριμνίας βόσκεται.

148. Χώροισιν αὐτοῦ] τὸ αὐτοῦ τινὲς ψιλοῦσι, καὶ νοοῦσιν τὸ αὐτόθι. ἔνιοι δὲ δασύνουσιν, ἀντὶ τοῦ ἑαυτοῦ. ἤγουν τοῖς ἰδίοις ἑαυτοῦ τόποις ἀμερίμνοις βόσκεται τὸ νεάζον. καὶ οὔτε καύματι φθείρεται, οὔτε ὑετῷ, οὔτε ἀνέμων σφοδρότητι.

Ib. Οὐ θάλπος θεοῦ] ἀντὶ τοῦ οὐδεμία μεταβολή.

150. 'Αλλ' ἡδοναῖς] ἀλλὰ ταῖς ἡδοναῖς εἰς ὕψος εὐθυμίας ἔρχεται καὶ αἴρεται. ἕως τὶς γαμηθῇ, οὐδὲν (φησὶ) ταράττει τὴν νέαν ἡλικίαν, ἀλλ' ὡς τεῖχος ἀρραγὲς οὐ φθείρεται ὑπό τινος, οὕτως οὐδὲ ἡ νεότης, ἐστηριγμένη ὑπὸ ἀμεριμνίας τῶν ἐν τῷ βίῳ κακῶν. νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

151. 'Ες τοῦθ', ἕως τὶς ἀντὶ παρθένου γυνὴ κληθῇ] τηνικαῦτα γὰρ ἐπειδὰν γαμηθείη τις, εἰς τὰ καθ' ἑαυτὴν ἀποβλέπει καὶ συνορᾷ, καὶ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν τέκνων φροντίζει.

154. Τὴν αὐτοῦ] τὸ αὐτοῦ ὡς πρὸς τὸν νέον ἀποδέδωκε.

Ib. Ἂν τις εἰσίδοιτο] εἴ τις (φησὶν) ἔξω ἀμεριμνίας οὖσα, εἰς φροντίδας εἰσῆλθε γαμηθεῖσα, ἀπὸ τῆς πράξεως αὐτῆς ἤγουν τῶν ἑαυτῆς παθῶν. ἅπερ δηλονότι ἐπράχθη ἐν αὐτῇ, ἴδοι καὶ τὰ κακὰ ἐν οἷς ἐγὼ λυποῦμαι.

156. Πάθη μὲν οὖν δὴ] τὰ μὲν ἄλλα πάθη τοῦ Ἡρακλέους πολλάκις ἀπωδυράμην, ἓν δ' εἰπεῖν νῦν βούλομαι, οἷον οὐκ εἴρηκά πω.

158. Ὁδὸν γὰρ ἦμος] ὅτι πρὸ πολλοῦ χρόνου χρησμὸς ἦν αὐτῷ δεδομένος.

164. Νῦν

Ἀλλ' ὥς τις δράσων εἷρπε, κοὐ θανούμενος.
Νῦν δ', ὡς ἔτ' οὐκ ὤν, εἶπε μὲν λέχους ὅτι
Χρεῖ' ἧ μ' ἑλέσθαι κτῆσιν· εἶπε δ' ἣν τέκνοις
Μοῖραν πατρῴας γῆς διαιρετὸν νέμοι*,
Χρόνον προτάξας ὡς τρίμηνον, ἡνίκ' ἂν
Χώρας ἀπίῃ· κἀνιαύσιος βεβὼς,
Τότ' ἢ θανεῖν χρεῖ' ἢ σφε τῷνδε τῷ χρόνῳ,
Ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος,
Τολοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
Τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
Τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων·
Ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
Καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
Τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
Ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾷν ἐμὲ

* Aldus, μένειν.

164. Νῦν δ' ὡς ἔτ' οὐκ ὤν] ἀεὶ μὲν ἐξῄει ὡς ἐπὶ ὁμολογουμένῳ κατορθώματι· νῦν δὲ, ὡς τεθνηξόμενος ἐνετείλατό μοι ἵνα πρόνοιαν ἄλλου ἀνδρὸς ἐμαυτῇ ποιήσωμαι. εἶπε δὲ καὶ περὶ τῆς ἑκάστου τῶν τέκνων μερίδος.

165. Χρεῖ' ἧ μ' ἑλέσθαι κτῆσιν] ἔλεγε προσήκειν ἐμὲ λαβεῖν τὴν προῖκα καὶ τὰ δῶρα ἃ ὑπὲρ τοῦ λέχους ἐκτησάμην. Ἄλλως· Χρεῖ' ἧ μ' ἑλέσθαι κτῆσιν, ἤγουν, προνοεῖσθαι ἑτέρου ἀνδρὸς, ἢ σώζειν τὸ λέχος.

170. Ὑπεκδραμόντα] διαφυγόντα τὸν θάνατον.

172. Τοιαῦτ' ἔφραζε] ἡ δέλτος τοιαῦτα ἔλεγε παρὰ θεῶν εἱμάρθαι, ὥστε τούτων θάτερον αὐτῷ τέλος ἔσεσθαι τῶν πόνων.

173. Τῶν Ἡρακλείων] τῶν ἑαυτοῦ πόνων τὸ τέλος. πολὺ δὲ τὸ τοιοῦτον εἶδος παρὰ ποιηταῖς.

175. Δωδῶνι] τὴν ἐν Δωδῶνι τῆς Θεσπρωτίας φηγὸν, ἐφ' ᾗ δύο περιστεραὶ καθήμεναι ἐμαντεύοντο. ὡς ἀπ' εὐθείας τῆς ἡ Δωδών. Ὅμηρος δὲ Δωδώνην εἶπεν. Εἰς τὸ αὐτό. Δωδῶνι δισσῶν ἐκ πελειάδων. Ὑπεράνω τοῦ ἐν Δωδώνῃ μαντείου δύο ἦσαν πέλειαι, δι' ὧν ἐμαντεύετο ὁ Ζεὺς, ὡς Ἀπόλλων ἀπὸ τρίποδος. καὶ οἱ μὲν οὕτω λέγουσι θεσπίζειν· οἱ δὲ οὕτω· τὰς ἱερείας γραίας οὔσας καὶ πεπολιωμένας μαντεύεσθαι· τοὺς δὲ γέροντας οἱ Μολοσσοὶ πολιοὺς ὀνομάζουσιν. Ἡρόδοτος δὲ ἐν δευτέρῳ φησὶ, Πελειάδες δέ μοι δοκέουσι κεκλῆσθαι πρὸς Δωδωναίων αἱ γυναῖκες, διότι βάρβαροι οὖσαι ἐδόκουν ὁμοίως ὄρνισι φθέγγεσθαι. μετὰ δὲ χρόνον, δοκοῦσιν ἀνθρωπίνῃ φωνῇ φθέγξασθαι, ἐπείπερ ἐκ Θηβῶν Αἰγυπτίων ἦσαν. Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτάς· οἱ δὲ δύο. καὶ τὴν μὲν ἐς Λιβύην ἀφικέσθαι Θήβηθεν, εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον. τὴν δὲ εἰς τὸ περὶ τὴν Δωδώνην. ὡς καὶ Πίνδαρος Παιᾶσιν.

176. Καὶ τῶνδε] καὶ τῶν εἰρημένων ὑπὸ Ἡρακλέους ἀλήθεια νῦν ἀποβαίνει ἐν τῷ παρόντι χρόνῳ, ὥστε ἑκάτερον πραχθῆναι.

179. Εἴ

Φόβῳ φίλαι ταρβῦσαν, εἴ με χρὴ μένειν
Πάντων ἀρίςυ φωτὸς ἐςερημένην.
ΧΟΡ. Εὐφημίαν νῦν ἴσχ᾽· ἐπεὶ καταςεφῆ
Στείχονθ᾽ ὁρῶ τιν᾽ ἄνδρα πρὸς χαρὰν λόγων.
ΑΓΓ. Δέσποινα Δηϊάνειρα, πρῶτος ἀγγέλων
Ὄκνυ σὲ λύσω· τὸν γὰρ Ἀλκμήνης τόκον
Καὶ ζῶντ᾽ ἐπίςω, καὶ κρατῦντα, κἀκ μάχης
Ἄγοντ᾽ ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
ΔΗΙ. Τίν᾽ εἶπας, ὦ γεραιὲ, τόνδέ μοι λόγον;
ΑΓΓ. Τάχ᾽ ἐς δόμυς σὺς τὸν πολύζηλον πόσιν
Ἥξειν φανέντα σὺν κράτει νικηφόρῳ.
ΔΗΙ. Καὶ τῦτό δ᾽ ἀςῶν, ἢ ξένων μαθὼν λέγεις;
ΑΓΓ. Ἐν βυθερεῖ λειμῶνι πρόςπολος θροεῖ
Λίχας ὁ κήρυξ ταῦτα· τῦδ᾽ ἐγὼ κλύων
Ἀπῆξ᾽, ὅπως τοι πρῶτος ἀγγείλας τάδε,
Πρὸς σῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.
ΔΗΙ. Αὐτὸς δὲ πῶς ἄπεςιν, εἴπερ εὐτυχεῖ;
ΑΓΓ. Οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
Κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
Κρίνει παραςὰς, ὐδ᾽ ἔχει βῆναι πρόσω·

179. Εἴ με χρὴ μένειν] ἀντὶ τῦ ζῆν.

182. Πρὸς χαρὰν λόγων] πρὸς ἡδονὴν, πρὸς χάριν ἀπαγγελῦντα λόγον ἡδονὴν διδόντα, ἐκ τῦ ςεφάνυ δὲ ςοχάζεται ὅτι μέλλει χρηςὰ ἀπαγγέλλειν.

188. Τάχ᾽ ἐς δόμυς] ἀντὶ τῦ ταχέως, εὐθέως.

191. Ἐν βυθερεῖ λειμῶνι] μέγα θέρος ἔχοντι· ὅ ἐςι λήϊον. τὸ γὰρ βυ, ἐπιτατικόν. ἢ τῷ σφόδρα βαλλομένῳ, καὶ καταθερομένῳ, ἤγυν θερμαινομένῳ ὑπὸ τῦ ἡλίυ. Ἄλλως· Βυθερεῖ, ἢ ὄνομα τῦ λειμῶνος, ἢ πολυθερεῖ. τὸ γὰρ βυ, ἐπιτατικόν ἐςιν· ὅ ἐςι πολλάκις θεριζομένῳ· ἵν᾽ εἴπῃ πολυφόρῳ· ἢ ὑπὸ βοῶν θεριζομένῳ τοῖς ὀδῦσι, βῦς τρέφοντι.

195. Αὐτὸς δὲ πῶς ἄπεςιν] εἰ εὐτυχεῖ ὁ Ἡρακλῆς πῶς ἄπεςιν ὁ Λίχας καὶ ὐκ ἦλθε ταχέως ἀπαγγέλλων, πρὸς ὃ ἀποδίδωσιν, Οὐκ εὐμαρείᾳ, ἤγυν ῥαςώνῃ, ὐ καταφρονήσει σῦ ἄπεςιν, ἀλλὰ κρινόμενος ὑπὸ τῶν πολιτῶν. τὸ δὲ ὐ πολλῇ, ἀντὶ τῦ ὐδὲ ὀλίγῃ. οἱ δ᾽ ὕτως, Οὐκ εὐμαρείᾳ, ὐκ εὐχερείᾳ, ἀντὶ τῦ ὐκ ἔςιν αὐτῷ εὐχερὲς παραγενέσθαι.

197. Μηλιεὺς ἅπας λεὼς] Μηλιεῖς, ἔθνος Θετταλικὸν πλησίον Τραχῖνος. Μηλία δὲ ἡ πόλις καλεῖται.

" Τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων,
" Οὐκ ἂν μεθεῖτο πρὶν καθ' ἡδονὴν κλύειν."
Οὕτως ἐκεῖνος οὐχ ἑκὼν, ἑκοῦσι δὲ
Ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.

ΔΗΙ. Ὦ Ζεῦ, τὸν Οἴτης ἄτης ἄτομον ὃς λειμῶν' ἔχεις,
Ἔδωκας ἡμῖν (ἀλλὰ σὺν χρόνῳ) χαράν.
Φωνήσατ', ὦ γυναῖκες, αἵ τ' ἔσω στέγης
Αἵ τ' ἐκτὸς αὐλῆς· ὡς ἄελπτον ὄμμ' ἐμοὶ
Φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

ΕΠΩΔΙΚΑ. ΣΤΡΟΦΗ.

ΧΟΡ. Ἀνολόλυξον * δόμοις
Ἐφεστίοις ἀλαλαγαῖς †
Ὁ μελλόνυμφος· ἐν δὲ
Κοινὸς ἀρσένων ἴτω
Κλαγγά· τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν,
Ὁμοῦ δὲ καὶ Παιᾶνα, Παιᾶνα.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἀνάγετ', ὦ παρθένοι,

* ALD. Ἀνολολύξετε. † ALD. ἀλαλαῖς.

199. Τὸ γὰρ ποθοῦν] τὸ ποθούμενον.

201. Οὐχ ἑκὼν, ἑκοῦσι δὲ] τοῖς Μηλιεῦσιν αὐτὸς ὁ Λίχας σύνεστιν οὐχ ἑκών· βούλεται γὰρ αὐτῶν ἀποστὰς, ἐλθεῖν πρός σε.

203. Ὦ Ζεὺς, τὸν Οἴτης ἄτομον] τὸν ἀπόρθητον, ὃν οἱ δυσμενεῖς συμβαλόντες οὐ δηοῦσιν. ἄμεινον δὲ, τὸν ἀφιεραμένον θεοῖς καὶ ἀγεώργητον. ὃν οὐδὲ βοτὰ καταβόσκεται καὶ τέμνει. τὰ δὲ τοιαῦτα χωρία ὀργάδας ἐκάλουν.

205. Φωνήσατ', ὦ γυναῖκες] ἀντὶ τοῦ, ὀλολύξατε καὶ βοήσατε, χάριν ὁμολογοῦσαι τοῖς θεοῖς.

206. Ὄμμ' ἐμοὶ φήμης] ὄμμα φήμης φησὶν αὐτὸν τὸν φανερῶς ἀπαγγείλαντα, ἢ τὸ ἀπὸ τῆς φήμης φῶς.

207. Ἀνασχὸν, ἀναφανὲν, ἀνατεῖλαν. Ἐκ μεταφορᾶς τοῦ ἡλίου.

209. Ἐφεστίοις ἀλαλαγαῖς] ταῖς ἐπὶ τῶν θυσιῶν εὐχαῖς. ἀντὶ τοῦ, ὁ πᾶς οἶκος τοῦ Ἡρακλέους θυσίας καὶ εὐχὰς ποιείτω.

210. Ὁ μελλόνυμφος] εἴτις μελλόνυμφός ἐστιν, εἴτε γεγαμηκὼς, ἡκέτω· κοινὴ γὰρ πάντων ἐστὶν εὐχή. ἡκέτω δὲ πᾶσα κλαγγὴ ἀρσένων τε καὶ θηλειῶν, καὶ κοινὴν εὐχὴν ποιησάτω.

Ib. Ἐν δὲ κοινὸς] τὸ κοινὸς δὲ Ἀττικὸν, ὡς — κλυτὸς Ἱπποδάμεια.

215. Ἀνάγετ', ὦ παρθένοι] ἀνυμνεῖτε πάντες καὶ πᾶσα, τὸν σωτῆρα καὶ Παιᾶνα Ἀπόλλωνα.

216. Βοᾶτε

Βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν,
Ἐλαφηβόλον, ἀμφίπυ-
ρον γείτονάς τε νύμφας·
Ἀείρομ', οὐδ' ἀπώσομαι
Τὸν αὐλὸν, ὦ τύραννʼ ἐμᾶς φρενός*.

### ΕΠΩΔΟΣ.

Ἰδού μ' ἀναταράσσει
Εὐοῖ μ' ὁ κισσὸς, ἄρτι βακχείαν
Ὑποςρέφων ἅμιλλαν.
Ἰὼ, ἰὼ, Παιάν.
Ἴδε, ἴδ', ὦ φίλα γύναι·
Τάδ' ἀντίπρωρα δή σοι
Βλέπειν πάρεςʼ † ἐναργῆ.

### ΙΑΜΒΟΙ.

ΔΗΙ. Ὁρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
Φρουρὰ παρῆλθ' ἐς τόνδε μὴ λεύσσειν ςόλον.
Χαίρειν δὲ τὸν κήρυκα προυνέπω χρόνῳ
Πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

* ALD. ὦ τύραννε, τὰς ἐμᾶς φρενός. † TURN. δή σοι πάρεςʼ.

216. Βοᾶτε τὰν ὁμόσπορον] ἀνυμνεῖτε καὶ τιμᾶτε τὴν ἅμα τῷ Ἀπόλλωνι σπαρεῖσαν Ἄρτεμιν τὴν ἐν Ὀρτυγίᾳ τιμωμένην.

218. Ἀμφίπυρον] παρ' ὅσον ἀμφοτέραις ταῖς χερσὶ δαδουχεῖ, ἡ αὐτὴ οὖσα τῇ Ἑκάτῃ· νύμφας δέ φησι τὰς Ὀρεςιάδας, παρ' ὅσον ἐν τοῖς ὄρεσι διατρίβει ἡ Ἄρτεμις.

220. Ἀείρομ', οὐδ' ἀπώσομαι] τουτέςι μετεωρίζομαι ἐν τῷ χορεύειν εἰς τὸν ἀέρα, καὶ ἄνω αἴρομαι· τὸ γὰρ μελύδριον οὐκ ἔςι ςάσιμον, ἀλλ' ὑπὸ τῆς ἡδονῆς ὀρχοῦνται.

221. Τὸν αὐλὸν, ὦ τύραννε] ὦ αὐλέ· ὦ Ἡράκλεις. ἢ ὦ Διονυσε. Ἄλλως· ὦ αὐλὲ, τῆς ἐμῆς φρενὸς τύραννε. ἐρεθίζει γὰρ ὁ αὐλὸς τὰς παρθένους πρὸς τὴν χορείαν. ἀντὶ τοῦ, ὦ κρατῶν τῆς ἐμῆς φρενός. ἐν δὲ τῷ ταῦτα λέγειν ὀρχοῦνται ὑπὸ χαρᾶς.

222, 223. Ἀναταράσσει—Εὐοῖ μ' ὁ κισσός] εἰς βακχικὴν ἅμιλλαν (τουτέςι χορείαν) παρορμᾷ με ὁ κισσός. τὸ δὲ ὑποςρέφων, ἀντὶ τοῦ ἀπὸ λύπης εἰς ἡδονὴν μετάγων, ἢ ὑποβάλλων.

227. Ἀντίπρωρα] ἐναντία, ἀντικείμενα τοῖς προτέροις κακοῖς ἀγαθά· ἢ ἀντιπρόσωπα, ὑπ' ὄψιν ὁρώμενα· ὑποδεικνύουσι δὲ τὸν Λίχαν ἐρχόμενον.

232. Χαρτὸν] ἄξιον χαρᾶς.

ΛΙΧ. Ἀλλ᾽ εὖ μὲν ἵγμεθ᾽, εὖ δὲ προσφωνέμεθα,
Γύναι, κατ᾽ ἔργε κτῆσιν· "ἄνδρα γὰρ καλῶς
"Πράσσοντ᾽ ἀνάγκη χρηςὰ κερδαίνειν ἔπη."
ΔΗΙ. Ὦ φίλτατ᾽ ἀνδρῶν, πρῶθ᾽, ἃ πρῶτα βέλομαι,
Δίδαξον, εἰ ζῶνθ᾽ Ἡρακλέα προσδέξομαι.
ΛΙΧ. Ἔγωγέ τοι σφ᾽ ἔλειπον ἰσχύοντά τε,
Καὶ ζῶντα καὶ θάλλοντα, κὐ νόσῳ βαρύν.
ΔΗΙ. Πῦ γῆς; πατρῴας, εἴτε βαρβάρε; λέγε.
ΛΙΧ. Ἀκτή τις ἔς᾽ Εὐβοιΐς, ἔνθ᾽ ὁρίζεται
Βωμὲς, τέλη τ᾽ * ἔγκαρπα Κηναίῳ Διΐ.
ΔΗΙ. Εὐκταῖα φαίνων, ἢ ᾽πὸ μαντείας τινός;
ΛΙΧ. Εὐκταῖ᾽, ὅθ᾽ ᾕρει τῶνδ᾽ ἀνάςατον δορὶ
Χώραν γυναικῶν, ὧν ὁρᾷς ἐν ὄμμασιν.
ΔΗΙ. Αὗται δὲ, πρὸς θεῶν, τῦ ποτ᾽ εἰσί; καὶ τίνες;
Οἰκτραὶ γὰρ, εἰ μὴ ξυμφοραὶ κλέπτεσί με.
ΛΙΧ. Ταύτας ἐκεῖνος, Εὐρύτε πέρσας πόλιν,
Ἐξείλεθ᾽ αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗΙ. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον

* ALD. TURN. in marg. τελεῖ τ᾽.

234. Κατ᾽ ἔργε κτῆσιν] κατὰ τὴν ἀπαγγελίαν, κατὰ τὴν τῦ ἔργυ πρᾶξιν. τετέςιν, ἀξίως τῆς τῦ Ἡρακλέυς ἀρετῆς προςφωνέμεθα. ἀντὶ τῦ, οἵων ἔδει τυχεῖν προσφωνημάτων τὺς τὰ τοιαῦτα καπειργασμένυς, ἐτύχομεν.

240. Πατρῴας] ἀντὶ τῦ τῆς Ἑλλάδος· Ἀργεῖος γὰρ ὁ Ἡρακλῆς.

241. Ἔνθ᾽ ὁρίζεται] ἵςησι, κατασκευάζει.

242. Τέλη τ᾽ ἔγκαρπα] τέλη ἤτοι θυσίας. ἔγκαρπα δὲ, τὰ θυμιάματα τὰ ἀπὸ ἀνθῶν ἢ καρπῶν.

Ib. Κηναίῳ Διΐ] Κήναιον Εὐβοίας ἀκρωτήριον, ἀπὸ Κηναίυ τῦ Εὐφωρίωνος, ἢ τῦ Ἐλεφόρυ.

243. Εὐκταῖα φαίνων ἢ ᾽πὸ μαντείας τινός] πότερον (φησὶν) αὐτὸς εὐξάμενος καὶ ὑποσχόμενος ἐπὶ τῇ νίκῃ τῦτο ποιεῖν ἢ ἀπὸ μαντείας θεῦ τινὸς κελεύσαντος.

244. Εὐκταῖ᾽, ὅθ᾽ ᾕρει] κατ᾽ εὐχήν φησιν αὐτῦ τελεῖσθαι τὰς θυσίας. ὅτε γὰρ ἐκράτησεν Οἰχαλίας εὐχαριςηρίυς τὰς θυσίας προσήγαγε.

246. Τῦ ποτ᾽ εἰσὶν] ἀντὶ τῦ, τίνος δεσπότυ.

247. Οἰκτραὶ γὰρ] εὐγενεῖς γὰρ δοκῦσιν εἶναι, εἰ μὴ ἄρα με σφάλλυσιν αἱ κατ᾽ αὐτὰς συμφοραὶ, τυτέςιν, εἰ μὴ ἄρα διὰ τὴν τύχην ὑπεδύσαντο τὸν οἶκτον.

248. Ταύτας ἐκεῖνος] ἵνα τὰς μὲν αὐτὸς ἔχῃ τὰς δ᾽ ἀνιερώσῃ τοῖς θεοῖς.

250. Ἦ κἀπὶ ταύτῃ] ἆρ᾽ ῦν τὸν πολὺν τῦτον καὶ ἀνάριθμον χρόνον τῶν ἡμερῶν ἐν τῇ Οἰχαλίᾳ διέτριψεν;

Χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙΧ. Οὐκ· ἀλλὰ τὸν μὲν πλεῖϛον ἐν Λυδοῖς χρόνον
Κατείχεθ', ὥς φησ' αὐτὸς, ἐκ ἐλεύθερος,
'Αλλ' ἐμποληθείς· " τῦ λόγυ δ' ἐ χρὴ φθόνον,
" Γύναι, προςεῖναι, Ζεὺς ὅτε πράκτωρ φανῇ."
Κεῖνος δὲ πραθεὶς 'Ομφάλῃ τῇ βαρβάρῳ,
'Ενιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
Χ' ἕτως ἐδήχθη τῦτο τοὔνειδος λαβὼν,
Ὥς θ' ὅρκον αὐτῷ προςβαλὼν διώμοσεν,
Ἦ μὴν τὸν ἀγχιϛῆρα τῦδε τῦ πάθυς
Ξὺν παισὶ καὶ γυναικὶ δυλώσειν ἔτι.
Κἐχ ἡλίωσε τοὔπος· ἀλλ', ὅθ' ἁγνὸς ἦν,
Στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
Τὴν Εὐρυτείαν· τόνδε γὰρ μεταίτιον
Μόνον βροτῶν ἔφασκε τῦδ' εἶναι πάθυς.
Ὃς αὐτὸν ἐλθόντ' ἐς δόμυς ἐφέσιον,
Ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
'Επεῤῥόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
Λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,

Ib. "Ασκοπον] πολύν· ὃν ἐκ ἄν τις ἐπιλογίσαιτο καὶ καταμάθοι διὰ τὸν χρόνον.

251. 'Ανήριθμον] ἀντὶ τῦ ἀναρίθμητον.

254. Τῦ λόγυ δ' ἐ χρὴ φθόνον] μέμψιν· ἐ χρὴ (φησὶ) μέμφεσθαι οἷς ἂν πράξῃ ὁ Ζεύς· ἰδίῳ γὰρ λογισμῷ πάντα πράττει ὡς θέλει. ἢ ἕτως, ἐ χρὴ αἰηδῶς ἀκύειν τὸν λόγον, ὅ ἐϛιν εὐτελίζειν καὶ ψέγειν. ἢ ἕτως, ἐ χρὴ παραιτεῖσθαι καὶ ψέγειν τὰ παρὰ τῦ Διὸς γιγνόμενα, κἂν ᾖ χαλεπά.

257. 'Ενιαυτὸν] ὁ 'Ηρόδοτος τρία ἔτη λέγει τὸν ἐνιαυτόν.

260. Τὸν ἀγχιϛῆρα τῦδε] τὸν αἴτιον καὶ πλησίον αὐτὸν ποιήσαντα τῦ πάθυς. λέγει δὲ τὸν Εὔρυτον.

261. Δυλώσειν ἔτι] πλεονάζει τὸ ἔτι.

262. Κἐχ ἡλίωσε] ἐκ ἐματαίωσεν, ἐ μάταιον εἶπε τὸ ἔπος.

Ib. 'Αλλ' ὅθ' ἁγνὸς ἦν] ὅτε ἡγνίσθη ἀπὸ τῦ φόνυ, ὅ ἐϛιν, ὅτι ἐπλήρωσε τὴν ὑπὲρ τῦ φόνυ, ὅ ἐϛιν, ὅτι ἐπλήρωσε τὴν ὑπὲρ τῦ φόνυ δυλείαν.

263. Στρατὸν λαβὼν ἐπακτὸν] ἤγυν, συμμαχικὸν, ἐκ ἴδιον.

266. 'Εφέϛιον ξένον] φίλον.

268. 'Επεῤῥόθησε] σφοδρῶς ὕβρισεν, ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων, ἢ ὅτι πολλαῖς πρώην ὡμίλησε γυναιξὶν, ὥς φησιν 'Απολλόδωρος.

Ib. 'Ατηρᾷ φρενὶ] ἀπηνεῖ καὶ σκληρᾷ γνώμῃ.

269. Λέγων, χεροῖν μὲν] λέγων αὐτὸν ἡττᾶσθαι τῶν αὐτῦ τέκνων, εἰ καὶ ἄφυκτα βέλη ἔχει.

Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξȣ κρίσιν.
Φώνει δὲ δȣ̃λος ἀνδρὸς ὡς ἐλευθέρȣ
Ῥαίοιτο· δείπνοις δ᾽ ἡνίκ᾽ ἦν οἰνωμένος,
Ἔρριψεν ἐκτὸς αὐτόν· ὧν ἔχων χόλον,
Ὡς ἵκετ᾽ αὖθις Ἴφιτος Τιρυνθίαν
Πρὸς κλιτὺν, ἵππȣς νομάδας ἐξιχνοσκοπῶν,
Τότ᾽ ἄλλοσ᾽ αὐτὸν ὄμμα, θατέρᾳ δὲ νȣ̃ν
Ἔχοντ᾽ ἀπ᾽ ἄκρας ἧκε πυργώδȣς πλακός.
Ἔργȣ δ᾽ ἕκατι τȣ̃δε μηνίσας ἄναξ
Ὁ τῶν ἁπάντων Ζευς πατὴρ Οὐλύμπιος *,
Πρατόν νιν ἐξέπεμψεν, ȣ̓δ᾽ ἠνέσχετο,
Ὅθ᾽ ȣ̔́νεκ᾽ αὐτὸν μȣ̃νον ἀνθρώπων δόλῳ
Ἔκτεινεν, εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τ᾽ ἂν συνέγνω ξὺν δίκῃ χειρȣμένῳ.
« Ὕϐριν γὰρ ȣ̓ ϛέργȣσιν ȣ̓δὲ δαίμονες. »
Κεῖνοι δ᾽ ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
Αὐτοὶ μὲν ᾅδȣ πάντες εἰσ᾽ οἰκήτορες,

* ALD. TURN. Ὀλύμπιος.

270. Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξȣ κρίσιν] ȣ̃το ἰδίως. ȣ̓ γὰρ ἠλαζονεύσατο μόνον περὶ τῶν ἑαυτȣ̃ παίδων· ἀλλὰ καὶ δῶρον τοξείας προθεὶς τὴν Ἰόλην νικήσαντι τῷ Ἡρακλεῖ, οὐκ ἠγγύησε. διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν ἐξ Εὐρύτȣ καὶ Ἀντιόχης παῖδας, ὄυτως, Ἡ δ᾽ ὑποκυσσαμένη καλλίζωνος Στρατωνίκη Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν. τȣ̃ δ᾽ υἱεῖς ἐγένοντο Δηΐων τε, Κλύτιός τε, Τοξεύς τ᾽ ἀντίθεος, ἠδ᾽ Ἴφιτος ὄζος Ἄρηος. Τȣ̀ς δὲ μέθ᾽ ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν Ἀντιόχη κρείȣσα, παλαιὸν γένος Αὐϐολίδαο. Κρεόφιλος δὲ δύο· Ἀριϛοκράτης δὲ τρεῖς, Τοξέα, Κλύτιον, Δηΐονα.

271. Ὡς ἐλευθέρȣ] λείπει ἡ ὑπὸ ὡς ὑπὸ ἐλευθέρȣ ἀνδρὸς ὑϐρίζοιτο. λέγει δὲ τȣ̃ Εὐρυσθέως.

273. Ἔρριψεν ἐκτὸς αὐτὸν] τῆς οἰκίας αὐτὸν ἀπώσατο.

Ib. Ὧν ἔχων χόλον] ὑπὲρ δὴ τȣ́των (φησὶν) ὀργιζόμενος ὁ Ἡρακλῆς ἐφόνευσε τὸν Ἴφιτον εἰς τὰ τῆς Τιρυνθίας ὄρη παραγενόμενον διὰ τὴν τῶν ἵππων ἀναζήτησιν.

276. Τότ᾽ ἄλλοσ᾽ αὐτὸν ὄμμα] ἀλλαχόσε τὸν νȣ̃ν ἔχοντα, καὶ ȣ̓ δεινὸν πείσεσθαι προσδοκῶντα, ἀπὸ ὄρȣς ἐδίσκευσεν.

278. Ἔργȣ δ᾽ ἕκατι] τȣ̃ φόνȣ.

280. Οὐδ᾽ ἠνέσχετο] ȣ̓χ ὑπήνεγκεν αὐτȣ̃ τὴν μιαιφονίαν, ὅτι τὰς ἄλλας αὐτȣ̃ σεμνὰς πράξεις διὰ ταυτης κατῄσχυνει.

284. Ὕϐριν γὰρ ȣ̓ ϛέργȣσιν] τὴν ἀδικίαν. οἷον, ȣ̓δ᾽ αὐτὸ τὸ θεῖον ὑϐριζόμενον καρτερεῖ, ὃ λίαν ἐϛὶν ἀνεχόμενον.

285. Κεῖνοι δ᾽ ὑπερχλιδῶντες] οἱ παῖδες τȣ̃ Εὐρύτȣ ὑπερηφάνως λοιδορησάμενοι τῷ Ἡρακλεῖ

Πόλις δὲ δούλη· τάσδε δ᾽ ἅσπερ εἰσορᾷς,
Ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον,
Χωροῦσι πρός σε. Ταῦτα γὰρ πόσις τε σὸς
Ἐφεῖτ᾽· ἐγὼ δὲ πιστὸς ὢν κείνῳ, τελῶ.
Αὐτὸν δ᾽ ἐκεῖνον, εὖτ᾽ ἂν ἁγνὰ θύματα
Ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
Φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ λόγου
Πολλοῦ καλῶς λεχθέντος, ἥδιστον κλύειν.

ΧΟΡ. Ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
Τῶν μὲν παρόντων, τῶν δὲ πεπυσμένη λόγῳ *.

ΔΗΙ. Πῶς δ᾽ οὐκ ἐγὼ χαίροιμ᾽ ἂν ἀνδρὸς εὐτυχῆ
Κλύουσα πρᾶξιν τήνδε πανδίκῳ φρενί;
Πολλὴ δ᾽ ἀνάγκη † τῇδε τοῦτο συντρέχειν.
Ὅμως δ᾽ ἔνεστι τοῖσιν εὖ σκοπουμένοις,
Ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῇ ποτέ.
Ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
Ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
Χώρας ἀοίκους ἀπάτοράς τ᾽ ἀλωμένας·
Αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
Ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
Ὦ Ζεῦ τροπαῖε, μήποτ᾽ εἰσίδοιμί σε
Πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,

* TURN. in marg. λόγων. † ALD. Πολλή ᾽στ᾽ ἀνάγκη.

συνηρέθησαν, ὑπερεντρυφήσαντες τῇ καθ᾽ Ἡρακλέους λοιδορίᾳ.

288. Ἄζηλον] κακοδαίμονα, ὃν οὐκ ἂν τις ζηλώσειεν. Ὅμηρος Ἀμέγαρτε συβῶτα.

290. Ἐφεῖτ᾽] ἐνετείλατο.

291. Αὐτὸν δ᾽ ἐκεῖνον] τὸ ἑξῆς, αὐτὸν φρόνει ἥξοντα. τουτέστι, προσδόκα αὐτὸν ἥξοντα ὅταν διὰ τῆς θυσίας καθάρῃ ἑαυτὸν ἀπὸ τοῦ φόνου.

295. Νῦν σοι τέρψις] ἀντὶ τοῦ, ἐν τούτῳ τῷ χρόνῳ καθ᾽ ὃν ἀπαγγέλλει τὰ χρηστά. ἤ, κατὰ τοῦτον τὸν τρόπον.

300. Ὅμως δ᾽ ἔνεστι] γνωμολογεῖ ὁρῶσα τὰς αἰχμαλώτους, καί φησι, τοῦτ᾽ ἔστιν ἀνδρὸς ἔμφρονος, ὅταν καλῶς πράσσῃ τις ἐλπίζειν καὶ κακά.

307. Ὦ Ζεῦ τροπαῖε] ἀποτρεπτικὲ, ἀλεξίκακε. ἱκετεύει τὸν Δία μὴ παθεῖν παραπλήσια ταῖς αἰχμαλώτοισι τὰ τέκνα αὐτῆς.

309. Τῆσδέ

Μηδ' εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
Οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
Ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων,
Ἄνανδρος, ἢ τεκȣ̃σα*; πρὸς μὲν γὰρ φύσιν,
Πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐςὶν ἡ ξένη βροτῶν,
Τίς δ' ἡ τεκȣ̃σα†, τίς δ' ὁ φιτύσας πατὴρ,
Ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖςον ᾤκτισα,
Βλέπȣσ', ὅσῳπερ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙΧ. Τίδ' οἶδ' ἐγώ; τίδ' ἄν με καὶ κρίνοις; ἴσως
Γέννημα τῶν ἐκεῖθεν ȣ̓κ ἐν ὑςάτοις.
ΔΗΙ. Μὴ τῶν τυράννων Εὐρύτȣ σπορά τις ἦν;
ΛΙΧ. Οὐκ οἶδα· καὶ γὰρ ȣ̓δ' ἀνιςόρȣν μακράν.
ΔΗΙ. Οὐδ' ὄνομα πρός τȣ τῶν ξυνεμπόρων ἔχεις;
ΛΙΧ. Ἥκιςα· σιγῇ ταὐμὸν ἔργον ἤνυτον.
ΔΗΙ. Εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
Καὶ ξυμφορά τις μὴ εἰδέναι σέγ' ἥτις εἶ.
ΛΙΧ. Οὔτ' ἆρα τῷ γε πρόσθεν ȣ̓δὲν ἐξίσȣ
Χρόνῳ διοίσει γλῶσσαν, ἥτις ȣ̓δαμᾶ

* ALD. τεκνȣ̃σα. † ALD. Τίς ἡ τεκȣ̃σα.

309. Τῆσδέ γε ζώσης] δεικτικῶς, ἀντὶ τȣ̃ ἐμȣ̃. ὁ δὲ νȣ̃ς, εἰ καὶ μέλλεις τι δρᾷν κατὰ τῶν ἐμῶν παίδων, τȣ̃το ἐμȣ̃ ζώσης ἀναβαλȣ̃.

312. Ἄνανδρος, ἢ τεκȣ̃σα] τέκνα ἔχȣσα. ὅπερ Καλλίμαχός φησι παιδȣ̃σα.

Ib. Πρὸς μὲν γὰρ φύσιν] ὅσον μὲν ἐκ τῆς ἡλικίας καὶ φύσεως τῶν σωμάτων ςοχάζεσθαι, ἄπειρος εἶ τῶν ἐκ τȣ̃ γάμȣ προσγιγνομένων, ἔοικας δὲ ὅμως τις εἶναι εὐγενής.

319. Γέννημα τῶν ἐκεῖθεν ȣ̓κ ἐν ὑςάτοις] ȣ̓κ ταῖς ἀπεῤῥιμέναις καὶ εὐτελέσι τεταγμένη, ἀλλὰ δῆλον ὅτι προὔχȣσα τῶν ἐν εὐγενείᾳ.

321. Οὐκ οἶδα] καλῶς ὁ Λίχας διὰ τὸ ὕποπτον, ȣ̓δὲ τὸ γένος αὐτῆς ὡμολόγησεν εἰδέναι.

Ib. Οὐδ' ἀνιςόρȣν μακρὰν] ἐπολυπραγμόνȣν, περιειργαζόμην. μακρὰν δὲ, ἐπὶ πολύ.

322. Τῶν ξυνεμπόρων] τῶν ξυναιχμαλωτίδων. τὸ δὲ ἔχεις ἀντὶ τȣ̃ ἔγνως.

323. Ἤνυτον] Ἀττικῶς, ἀντὶ τȣ̃ ἤνυον.

324. Ἐκ σαυτῆς] ἀπὸ σαυτῆς (φησὶν) εἶπε καὶ μὴ ὡς ἀφ' ἡμῶν ἀναγκαζομένη· συμφορὰ γάρ ἐςι τὸ μὴ γιγνώσκεσθαί σε ἥτις τυγχάνεις. τȣ̃το δέ φησιν ὡς μέλλȣσα αὐτῇ δεξιῶς χρήσασθαι εἰ γνοίη τὰ κατ' αὐτήν.

326. Οὔτ' ἆρα τῷ γε πρόσθεν] ἐὰν αἰδȣμένη σε φθέγξηται, κατ' ȣ̓δὲν ἆρα ἐξ ἴσȣ τῷ

πρόσθεν

Προὔφηνεν οὔτε μεῖζον', οὔτ' ἐλάσσονα·
Ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος,
Δακρυῤῥοεῖ δύστηνος, ἐξότου πάτραν
Διήνεμον λέλοιπεν· ἡ δέ τοι τύχη,
Κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.

ΔΗΙ. Ἥδ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
Οὕτως ὅπως ἥδιστα· μηδὲ πρὸς κακοῖς
Τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ λύπης * λάβοι·
Ἅλις γὰρ ἡ παροῦσα· πρὸς δὲ δώματα
Χωρῶμεν ἤδη πάντες· ὡς σύ θ' οἷ θέλεις
Σπεύδῃς †, ἐγώ τε ‡ τἄνδον ἐξαρκῆ τιθῶ.

ΑΓΓ. Αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
Μάθῃς ἄνευ τῶνδ', οὕς τινάς γ' ἄγεις ἔσω·
Ὧν τ' οὐδὲν εἰσήκουσας, ἐκμάθῃς ἃ δεῖ §
Τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.

ΔΗΙ. Τί δ'; ἐστί τοῦ με τήνδ' ἐφίστασαι βάσιν;

ΑΓΓ. Σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
Μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.

ΔΗΙ. Πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν

* Turn. in marg. λοιπὴν πρός γ' ἐμοῦ λύπην.

† Turn. in marg. σπεύδεις. ‡ Ald. ἐγὼ δέ. § Ald. ἐκμάθῃς γ' ἃ δεῖ.

πρόσθεν χρόνῳ προκομίσειεν αὐτῆς τὴν γλῶτταν. τὸν γὰρ πρὸ τούτου χρόνον ἐσιώπα, καὶ οὐδὲν πρὸς ἐμὲ τὸν καθ' ἑαυτὴν ἐδημοσίευσεν, οὔτε μικρὸν οὔτε μέγα παντελῶς.

Ib. Ἄλλως· Οὔτ' ἄρα τό γε] ὡς οὐκ ἐλάλησε πρώην, οὐδὲ νῦν λαλήσει.

329. Ἀλλ' αἰὲν ὠδίνουσα] καταπονουμένη.

331. Διήνεμον] ἔρημον. ὑψηλήν. ἣν Ὅμηρος ἠνεμόεσσαν φησίν.

Ib. Ἡ δέ τοι τύχη] αὐτὴ δὴ ἡ τύχη (φησὶ) καθ' ἣν σιωπᾷ, ἐπιλαβὴς μὲν αὐτῇ ἐστι, καθ' ὃ οὐ τυγχάνει τῆς παρὰ σοῦ δεξιότητος, ὅμως δὲ συγνώμην ἔχει.

333. Ἥδ' οὖν ἐάσθω] μὴ ἀναγκαζέσθω λέγειν (φησὶν) ἀλλὰ πραττέτω ὥσπερ αὐτῇ φίλον, ἵνα μὴ δόξωμεν αὐτὴν λυπεῖν.

339. Αὐτοῦ γε πρῶτον βαιὸν] ὁ προευαγγελισάμενος κατέχει αὐτὴν, ἵνα εἴπῃ περὶ ὧν ἤκουσε παρὰ τοῦ Λίχα ἐκ τῷ προαστείῳ λέγοντος.

340. Οὕς τινάς γ' ἄγεις] ἄγεις ἀντὶ τοῦ ἔπεμψας. ἦσαν δὲ καὶ ἄρσενες μετὰ τῶν αἰχμαλώτων.

341. Ὧν τ' οὐδὲν εἰσήκουσας] περὶ τούτων καὶ πάντων προσήκει σε μαθεῖν. τούτων γὰρ ἔχω τὴν γνῶσιν.

343. Τοῦ με τήνδ' ἐφίστασαι βάσιν] τίνος ἕνεκεν τὴν πορείαν καὶ τὴν εἴσοδον ἱστᾷς καὶ κωλύεις;

Καλῶμεν, ἤ μοι ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
ΑΓΓ. Σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται· τούτους δ' ἔα.
ΔΗΙ. Καὶ δὴ βεβᾶσι, χ' ὡ λόγος σημαινέτω.
ΑΓΓ. Ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως,
Φώνει δίκης ἐς ὀρθόν· ἀλλ' ἢ νῦν κακὸς,
Ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
ΔΗΙ. Τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
Ἃ μὲν γὰρ ἐξείρηκας, ἀγνοιά μ' ἔχει.
ΑΓΓ. Τούτου λέγοντος τἀνδρὸς, εἰσήκουσ' ἐγὼ
Πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης.
Ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι,
Τήν θ' ὑψίπυργον Οἰχαλίαν· Ἔρως δέ νιν
Μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε·
Οὐ τὰ 'πὶ Λυδοῖς, οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
Λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος,
Ὃν νῦν παρώσας οὗτος, ἔμπαλιν λέγει·
Ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον

348. Σοὶ ταῖσδέ τ' οὐδὲν] οὐδὲν (φησὶ) τούτων οὔτε πρός σε οὔτε πρὸς ταύτας ἀπόῤῥητον. τούτους δὲ, ἤγουν τοὺς αἰχμαλώτους καὶ τοὺς ἅμα δύντας ἄρσενας, ἢ τοὺς περὶ τὸν Λίχαν.

351. Φώνει δίκης ἐς ὀρθὸν] ἀντὶ τοῦ, ἐφώνει δικαίως καὶ μετ' ἀληθείας.

Ib. Ἀλλ' ἢ νῦν κακὸς] ἀντὶ τοῦ, ἢ τὰ πρότερον ἢ τὰ νῦν ψεύδεται.

354. Ἀγνοίᾳ μ' ἔχει] ἀγνοίᾳ χρὴ γράφειν ἐπὶ δοτικῆς διὰ τὸ μέτρον, καὶ οὐκ ἄγνοια· καὶ συντάσσειν οὕτως, ἐν ἀγνοίᾳ με ἔχει ἅπερ εἴρηκας, τουτέστιν, ἅπερ εἴρηκας αἴτιά ἐστι τοῦ εἶναι ἐμὲ ἐν ἀγνοίᾳ διὰ τὸ ἀσαφῶς εἰρῆσθαι. ἐπεὶ γὰρ οὐκ ἔσχον τὴν τούτων γνῶσιν, τρόπον δή τινα αὐτά με κατέχει ἐν τῇ ἀγνοίᾳ.

356. Ὡς τῆς κόρης] τῆς Ἰόλης.

357. Εὔρυτόν θ' ἕλοι] ἑλόντ' εἴη. εἰ δὲ ὑφ' ἕν, θέλοι ἄν.

358. Τήν θ' ὑψίπυργον Οἰχαλίαν] Φερεκύδης φησὶν οὕτω, μετὰ δὲ τὸν ἀγῶνα Ἡρακλῆς ἀφικνεῖται πρὸς Εὔρυτον τὸν Μέλανος τοῦ Ἀρκεσιλάου εἰς τὴν Οἰχαλίαν. ᾤκεῖτο δὲ αὕτη ἐν Θούλῃ τῆς Ἀρκαδίας, καὶ ᾔτει τὴν θυγατέρα Ὕλλῳ γυναῖκα. τοῦ δὲ μὴ διδόντος, Ἡρακλῆς εἷλε τὴν Οἰχαλίαν, καὶ τοὺς υἱοὺς ἀπέκτεινεν. Ἴφιτος δὲ ἔφυγεν εἰς Εὔβοιαν. Μενεκράτης δὲ οὕτω λέγει· Ἡρακλέα εἰς ἐπιθυμίαν Ἰόλης ἀφικέσθαι τῆς Εὐρύτου. τὸν δὲ μὴ θέλειν διδόναι. ἤρα τε γὰρ αὐτῆς καὶ μίγνυσθαι ἔμελλε τῇ θυγατρὶ, εἰ μὴ Ἀργεῖοι ἐξῆλθον εἰς τὴν Εὔβοιαν.

359. Θέλξειεν] πεπεικὼς εἴη.

Ib. Αἰχμάσαι τάδε] καταπράξασθαι τῇ αἰχμῇ. ὅ ἐστι, διὰ πολέμου κατορθῶσαι.

362. Ὃν νῦν παρώσας] τὸν ἔρωτα αὐτῆς ἀπωσάμενος καὶ παραπεμψάμενος, τἀναντία εἶπεν ὁ Λίχας.

364. Κρύφιον

Τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
Ἔγκλημα μικρὸν αἰτίαν θ᾽ ἑτοιμάσας,
Ἐπιςρατεύει πατρίδα τὴν ταύτης· ἐν ᾗ
Τὸν Εὔρυτον τῶνδ᾽ εἶπε δεσπόζειν θρόνων,
Κτείνει τ᾽ ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
Ἔπερσε· καὶ νῦν (ὡς ὁρᾷς) ἥκει δόμϐς
Ὡς τϐσδε * πέμπων, ϐκ ἀφροντίςως, γύναι,
Οὐδ᾽ ὥςτε δϐλην· μηδὲ προσδόκα τάδε †·
Οὐδ᾽ εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
Ἔδοξεν ϐν μοι πρός σε δηλῶσαι τὸ πᾶν,
Δέσποιν᾽, ὃ τϐδε τυγχάνω μαθὼν πάρα.
Καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
Ἀγορᾷ συνεξήκϐον ὡσαύτως ἐμοὶ,
Ὥςτ᾽ ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
Οὐχ ἥδομαι, τὸ δ᾽ ὀρθὸν ἐξείρηχ᾽ ὅμως.

ΔΗΙ. Οἴμοι τάλαινα, πϐ ποτ᾽ εἰμὶ πράγματος;
Τίν᾽ εἰςδέδεγμαι πημονὴν ὑπόςεγον,
Λαθραῖον; ὢ δύστηνος, ἆρ᾽ ἀνώνυμος
Πέφυκεν, ὥσπερ ϐ᾽πάγων διώμνυτο;
Ἦ καὶ τὰ λαμπρὰ, καὶ κατ᾽ ὄμμα, καὶ φύσιν;

* Turn. Ὡς τάσδε. † Ald. τόδε.

364. Κρύφιον ὡς ἔχοι λέχος] ἤγϐν λαθραῖον, μὴ εἰδυίας σϐ, ἀλλ᾽ ἵνα ὡς παλλακίδα αὐτὴν ἔχοι.

366. Ἐν ᾗ] τῇ Οἰχαλίᾳ, τῇ πατρίδι τῆς Ἰόλης.

369. Καὶ νῦν, ὡς ὁρᾷς] ἀντὶ τϐ ὡς ἀκϐεις. ἥκει δὲ ἀντὶ τϐ ἐλεύσεται ὅσον οὔπω. διὰ δὲ τϐτων τὴν ταχεῖαν αὐτϐ ἄφιξιν ἐπαγγέλλεται.

370. Οὐκ ἀφροντίςως] ἀντὶ τϐ ϐχ ὡς ἔτυχεν, ἀλλὰ διὰ πολλῆς φροντίδος ἔχων αὐτὴν καὶ ἀγαπῶν.

371. Μηδὲ προσδόκα τόδε] τὸ ἐν δϐλης μέρει ἔχειν αὐτήν.

372. Ἐντεθέρμανται] ἐκκέκαυται.

375. Καὶ ταῦτα] οἷον, τοσϐτοι ἤκϐσαν ταῦτα ὥστε καὶ ἐξελέγχειν αὐτὸν εἰ ἀρνήσοιτο· ϐ γὰρ εἶχον ἂν λέγειν· κατ᾽ αὐτϐ τι, εἰ μὴ καὶ μαρτύρων ἠυπόρουν.

376. Ἀγορᾷ] ἀθροίσματι.

378. Οὐχ ἥδομαι] λυπϐμαι μὲν (φησὶν) ϐκ εἰπὼν σοι τὰ κεχαρισμένα, ἀλλ᾽ ὅμως ἀληθῆ εἰσὶν ἅπερ εἴρηκα.

381. Ἆρ᾽ ἀνώνυμος πέφυκεν] ἆρα ἄσημος ϐτως ἐςὶ καὶ δυςγενὴς, ὡς μηδὲ τὸ ὄνομα αὐτῆς γιγνώσκεσθαι;

383. Ἦ καὶ τὰ λαμπρὰ] ταῦτα τὸ τϐ ἀγγέλϐ πρόσωπον φησί. τὸ δὲ κατ᾽ ὄμμα καὶ φύσιν,

ΑΓΓ. Πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτȣ ποτὲ,
Ἰόλη ᾽καλεῖτο· τῆς ἐκεῖνος οὐδαμᾶ
Βλάςας ἐφώνει δῆθεν οὐδὲν ἱςορῶν.
ΧΟΡ. Ὄλοιντο μήτοι* πάντες οἱ κακοὶ, τὰ δὲ
Λαθραῖ᾽ ὃς ἀσκεῖ μὴ πρέπονθ᾽ αὑτῷ † κακά.
ΔΗΙ. Τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
Τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟΡ. Πεύθȣ μολȣ̃σα τἀνδρός· ὡς τάχ᾽ ἂν σαφῆ
Λέξειεν, εἴ μιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗΙ. Ἀλλ᾽ εἶμι· καὶ γὰρ οὐκ ἄπο γνώμης λέγεις.
ΧΟΡ. Ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;
ΔΗΙ. Μίμν᾽, ὡς ὅδ᾽ ἀνὴρ, ȣ̓κ ἐμῶν ὑπ᾽ ἀγγέλων,
Ἀλλ᾽ αὐτόκλητος ἐκ δόμων πορεύεται.
ΛΙΧ. Τί χρὴ, γύναι, μολόντα ‡ μ᾽ Ἡρακλεῖ λέγειν,
Δίδαξον· ὡς ἕρποντος εἰσορᾷς ἐμȣ̃.
ΔΗΙ. Ὡς ἐκ τραχείας §, σὺν χρόνῳ βραδεῖ μολὼν,
Αἴσσεις ‖, πρὶν ἡμᾶς καὶ νεώσασθαι λόγȣς;
ΛΙΧ. Ἀλλ᾽ εἴ τι χρήζεις ἱςορεῖν, πάρειμ᾽ ἐγώ.
ΔΗΙ. Ἦ καὶ τὸ πιςὸν τῆς ἀληθείας νέμεις;

* Ald. μήτι. † Ald. αὐτῷ. ‡ Ald. μολȣ̃ντα.
§ Turn. in marg. ταχείας. ‖ Turn. in marg. αἴσσεις. Ald. ᾄσσεις.

φύσιν, ἀντὶ τȣ̃, εὐπρεπὴς τὴν ὄψιν καὶ τὸ πᾶν σῶμα· ἢ ἀντὶ τȣ̃, ἄρα τῇ θέᾳ καὶ τὸ γένος ἐφάμιλλον.

386. Βλάςας] τȣ̀ς γονεῖς ἀφ᾽ ὧν ἐβλάςησεν.

Ib. Δῆθεν] προςποιȣ́μενος μηδένα ἠρωτηκέναι μηδὲ ἐγνωκέναι.

387. Ὄλοιντο μή τοι πάντες] ὄλοιντο μὴ πάντες οἱ ἄνθρωποι, ἀλλ᾽ οἱ κακοὶ καὶ ὅσοι μηχανῶνται λάθρα, καὶ κακȣ́ργȣς λόγȣς ἑαυτοῖς συντιθέασιν.

393. Οὐκ ἄπο γνώμης] ἀλλ᾽ ἀρεςά. οὐκ ἄνευ συνέσεως. ἤγȣν, κἀμοὶ ἀρέσκει.

394. Ἡμεῖς] κατ᾽ ἐρώτησιν.

396. Αὐτόκλητος] αὐτόματος.

398. Ὡς ἑρπόντος εἰςορᾷς ἐμȣ̃] ὁρᾷς γάρ με ἕρποντα καὶ σπεύδοντα πρὸς τὸν Ἡρακλέα. ἔςι δὲ ὅμοιον τῷ κατεάγη τῆς κεφαλῆς.

Ib. Δίδαξον· ὡς ἕρποντος] τȣ̃το μᾶλλον ὅμοιόν ἐςιν· ὡς ἐμοὶ δοκεῖ, τῷ φράσον, ὡς ὄντος γε μȣ̃ βαδιςικȣ̃, πὰρ᾽ Ἀριςοφάνει.

400. Αἴσσεις] ἀντὶ τȣ̃ ἀΐσσεις.

Ib. Καὶ νεώσασθαι] ἀνακαινίσθαι καὶ αὖθις ὁμιλῆσαι ἀκριβῶς ἐκ νέȣ. Ἢ ȣ̔́τως, πρὶν ἡμῖν καινοτέρȣς ἀνακοινώσασθαι.

Ib. Αἴσσεις] συνίζησις.

ΛΙΧ. Ἴςω μέγας Ζεὺς, ὧν γ᾽ ἂν ἐξειδὼς κυρῶ.
ΔΗΙ. Τίς ἡ γυνὴ δῆτ᾽ ἐςιν, ἣν ἥκεις ἄγων;
ΛΙΧ. Εὐβοΐς· ὧν δ᾽ ἔβλαςεν, ἐκ ἔχω λέγειν.
ΔΗΙ. Οὗτος, βλέφ᾽ ὧδε· πρὸς τίν᾽ ἐννέπειν δοκεῖς;
ΛΙΧ. Σὺ δ᾽ εἰς τί δή με τοῦτ᾽ ἐρωτήσασ᾽ ἔχεις;
ΔΗΙ. Τόλμησον εἰπεῖν, εἰ φρονεῖς ἅ σ᾽ * ἱςορῶ.
ΛΙΧ. Πρὸς τὴν κρατῦσαν Δηϊάνειραν Οἰνέως
Κόρην, δάμαρτά θ᾽ Ἡρακλέυς, (εἰ μὴ κυρῶ
Λεύσσων μάταια,) δεσπότιν τε τὴν ἐμήν.
ΔΗΙ. Τῦτ᾽ αὔτ᾽ ἔχρῃζον τῦτό σῦ μαθεῖν· λέγεις
Δέσποιναν εἶναι τήνδε σήν;
ΛΙΧ. Δίκαια γάρ.
ΔΗΙ. Τί δῆτα, ποίαν ἀξιοῖς δῦναι δίκην,
Ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙΧ. Πῶς μὴ δίκαιος; τί ποτε ποικίλασ᾽ † ἔχεις;
ΔΗΙ. Οὐδέν· σὺ μέντοι κάρτα τῦτο δρῶν κυρεῖς.
ΛΙΧ. Ἄπειμι· μῶρος δ᾽ ἦν πάλαι κλύων σέθεν.
ΔΗΙ. Οὔ· πρίν γ᾽ ἂν εἴπῃς ἱςορύμενος βραχύ.
ΛΙΧ. Λέγ᾽ εἴ τι χρῄζεις· καὶ γὰρ ὐ σιγηλὸς εἶ.
ΔΗΙ. Τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμυς,

* Ald. ὅ σ᾽. † Ald. ποικίλλασ᾽.

403. Ἴςω μέγας Ζεὺς] ὅτι περὶ ὧν οἶδα ἀκριβῶς σοι διηγήσομαι.

405. Ὧν δ᾽ ἔβλαςεν] ἀντὶ τῦ ὑπὸ τίνος ἐτέχθη.

406. Οὗτος βλέφ᾽ ὧδε] ὡς εἰκὸς, κάτω νένευκεν ὁ Λίχας. κατασχοῦσα ὖν αὐτὸν τῆς χειρὸς, φησὶν, Ἀπόβλεψον εἰς ἐμέ. ὁ δὲ, ἀνανεύσας ἔφη, Πρὸς τίνα γὰρ νομίζεις λέγειν;

Ib. Ἄλλως· Πρὸς τίν᾽ ἐννέπειν δοκεῖς] ὅτι πρὸς βασιλίδα. τὸ δὲ χ, ὅτι τὸ ὧδε τοπικόν ἐςι.

408. Τόλμησον εἰπεῖν] καλῶς τὸ τόλμησον, ὡς ἀποδειλῶντος εἰπεῖν διὰ τὸν δεσπότην.

411. Δεσπότιν τε τὴν ἐμὴν] τῦτο πρὸς τὸ, πρὸς τίν᾽ ἐννέπειν δοκεῖς;

414. Δίκαια γάρ] ἀντὶ τῦ ἀληθῆ.

416. Ἐς τήνδε μὴ δίκαιος ὢν] δικτικῶς, εἰς τήνδε μὴ ἀληθεύων.

417. Τί ποτε ποικίλασ᾽ ἔχεις] τί πεπανύργηκας κατ᾽ ἐμῦ; τί ἐμηχανήσω, ἢ ἐδολιεύσω.

419. Κλύων σέθεν] εἰκῆ ὁμιλύσης δηλονότι.

421. Καὶ γὰρ ὐ σιγηλὸς εἶ] ἀντὶ τῦ σιγηλή. ὐ σιωπᾷς (φησὶ] πρὶν ἂν πολλὰ φλυαρήσῃς εἰς ἡμᾶς. ἢ πρὶν ἂν μάθῃς ὅ, τι θέλει.

425. Οὐκῦν

Κάτοισθα δήπυ;

ΛΙΧ. Φημί· πρός τί δ' ἱςορεῖς;

ΔΗΙ. Οὐκῦν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
'Ιόλην ἔφασκες Εὐρύτυ σπορὰν ἄγειν;

ΛΙΧ. Ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
Σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;

ΔΗΙ. Πολλοῖσιν ἀςῶν· ἐν μέσῃ Τραχινίων
'Αγορᾷ πολύς σου ταῦτά γ' εἰςήκυσ' ὄχλος.

ΛΙΧ. Ναί·
Κλύειν γ' ἔφασκον· ταυτὸ δ' ὐχὶ γίνεται
Δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον.

ΔΗΙ. Ποίαν δόκησιν; ὐκ ἐπώμοτος λέγων
Δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;

ΛΙΧ. 'Εγὼ δάμαρτα; πρὸς θεῶν φράσον, φίλη
Δέσποινα, τόνδε, τίς ποτ' ἐςὶν ὁ ξένος.

ΔΗΙ. Ὅς συ παρὼν ἤκυσεν ὡς ταύτης πόθῳ
Πόλις δαμείη πᾶσα, κὐχ ἡ Λυδία
Πέρσειεν αὐτὴν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.

ΛΙΧ. Ἄνθρωπος, ὦ δέσποιν', ἐπιςήτω*. "τὸ γὰρ
"Νοσῦντι ληρεῖν, ἀνδρὸς ὐχὶ σώφρονος."

* ALD. ἀποςήτω.

425. Οὐκῦν σὺ ταύτην] ὐ σὺ (φησὶ) ταύτην, ἣν προςποιῇ ἀγνοεῖν, ἔλεγες εἶναι 'Ιόλην.

432. Ταυτὸ δ' ὐχὶ γίνεται] ὐ ταυτόν ἐςι δόκησις καὶ ἀληθὴς λόγος. θέλει δὲ εἰπεῖν ὅτι κἀγὼ ἤκυσα.

441. 'Αποςήτω] περισσὴ ἡ ἀπὸ ἢ γράφεται παραςήτω, ἤγυν ὁ ἄνθρωπος ςήτω παρελθὼν εἰς μέσον ὁ διελέγχων με.

Ib. Ἄνθρωπος, ὦ δέσποιν'] ὁ ἄνθρωπος, (φησὶν,) ὦ δέσποινα, ἐπιςήτω, ἤγυν παρελθὼν ςήτω εἰς μέσον ὁ διελέγχων με. οἱ δὲ ἀποςήτω, γράφοντες, οὐκ οἶδα τίνι λόγῳ τῦτο γράφυσι.

Ib. Τὸ γὰρ νοσῦντι ληρεῖν] καθολικῶς τὸν λόγον ἐπήγαγεν, ἵνα μὴ δόξῃ αὐτὸν διελέγχειν. καὶ ἀρσενικῶς προφέρει, λέγων, τὸ συμφλυαρεῖν τῷ νοσῦντι καὶ οἷον μαινομένῳ, ἀνδρός ἐςιν ὐχὶ σώφρονος. προςτήτω οὖν ὁ ἄνθρωπος. οὐ γὰρ φιλονεικήσω πρὸς αὐτόν.

Ib. Τὸ γὰρ] γνωμικόν.

442. Νοσῦντι] ἀντὶ τῦ νοσύσῃ ὑπὸ ζηλοτυπίας· ἀρσενικῶς δὲ εἶπεν. ἢ καθόλυ ὁ λόγος ὡς μὴ δόξῃ αὐτὴν διελέγχειν. ὕτω· τὸ γὰρ μαινομένῳ συμφλυαρεῖν, ἀνδρός ἐςιν ὐ σώφρονος. προςτήτω ὖν (φησὶν) ὁ ἄνθρωπος. ὐ γὰρ φιλονεικήσω πρὸς αὐτόν. Ληρεῖν ἀντὶ τῦ φλυαρεῖν καὶ ἀδολεσχεῖν.

ΔΗΙ. Μὴ πρός σὺ τȣ̃ κατ᾽ ἄκρον Οἰταῖον νάπος
Διὸς καταςράπτοντος ἐκκλέψῃς λόγον.
Οὐ γὰρ γυναικὶ τȣ̀ς λόγȣς ἐρεῖς κακῇ,
Οὐδ᾽ ἥτις ȣ̓ κάτοιδε τἀνθρώπων, ὅτι
Χαίρειν πέφυκεν ȣ̓χὶ τοῖς αὐτοῖς ἀεί.
" Ἔρωτι μέν νυν ὅςτις ἀντανίςαται,
" Πύκτης ὅπως ἐς χεῖρας, ȣ̓ καλῶς φρονεῖ.
" Οὗτος γὰρ ἄρχει καὶ θεῶν, ὅπως θέλει,
" Κἀμȣ̃ γε· πῶς δ᾽ ȣ̓ χ᾽ ἀτέρας, οἵας γ᾽ ἐμȣ̃;"
Ὥς εἴ τι τῷ ᾽μῷ τἀνδρὶ τῇδε τῇ νόσῳ
Ληφθέντι μεμπτὸς εἶμι, κάρτα μαίνομαι·
Ἢ τῇδε τῇ γυναικὶ τῇ μεταιτίᾳ *
Τȣ̃ μηδὲν αἰσχρȣ̃, μηδ᾽ ἐμοὶ κακȣ̃ τινός.
Οὐκ ἔςι ταῦτ᾽· ἀλλ᾽ εἰ μὲν ἐκ κείνȣ μαθὼν
Ψεύδῃ, μάθησιν ȣ̓ καλὴν ἐκμανθάνεις·
Εἰ δ᾽ αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
Θέλῃς γενέσθαι χρηςὸς, ὀφθήσῃ κακός.
Ἀλλ᾽ εἰπὲ πᾶν τἀληθές· " ὡς ἐλευθέρῳ,
" Ψευδεῖ καλεῖσθαι, κὴρ πρόςεςιν ȣ̓ καλή."
Ὅπως δὲ λήσεις, οὐδὲ τȣ̃το γίνεται.
Πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσȣσ᾽ ἐμοί.
Κεἰ μὲν δέδοικας, ȣ̓ καλῶς ταρβεῖς· ἐπεὶ

* Turn. in marg. μήτ᾽ αἰτίῳ.

448. Ἔρωτι μέν νυν] εὐήθης γὰρ, ὅστις προσδοκᾷ ἀντιπυκτεῦσαι τῷ ἔρωτι.

450. Οὗτος γὰρ ἄρχει] ἀπὸ κοινȣ̃ τὸ ἄρχει.

453. Μεμπτός εἰμι] τȣτέςιν, εἰ μέμφομαι. ἢ ἀντὶ τȣ̃ ἐπίμεμπτος, ἐπιπληκτική.

456. Ἀλλ᾽ εἰ μὲν ἐκ κείνȣ μαθών] εἰ μὲν παρ᾽ Ἡρακλέȣς ἐκελεύσθης ψεύσασθαι, κακὴν μάθησιν ἐκμανθάνεις· εἰ δὲ σὺ σαυτὸν εἰς τȣ̃το ψευδολογίας ἄγεις, ἴσθι ὅτι κἂν θελήσῃς ποτὲ εἰπεῖν ἀληθὲς, ȣ̓ δυνήσῃ, ὑπὸ τῆς συνηθείας νικώμενος. ἢ ὅτι κἂν θέλῃς ἀληθεῦσαι, ȣ̓ πιςευθήσῃ.

461. Κὴρ πρόςεςιν] μερὶς, κλῆρος, μοῖρα, τύχη.

462. Ὅπως δὲ λήσῃς· Ἀττικὴ δὲ ἡ φράσις. λυπήσομαι εἰ μὴ εἴπῃς, καὶ παρ᾽ ἐμȣ̃ προσδόκα βλαβήσεσθαι.

467. Πλεῖςας]

Τὸ μὴ πυθέσθαι, τῦτό μ' ἀλγύνειεν ἄν·
Τὸ δ' εἰδέναι, τί δεινόν; ὐχὶ χ' ἀτέρας
Πλείςας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
Κοὔπω τὶς αὐτῶν ἐκ γ' ἐμῦ λόγον κακὸν
Ἠνέγκατ', ὐδ' ὄνειδος· ἥδε τ', ὐδ' ἂν εἰ
Κάρτ' ἐντακείη τῷ φιλεῖν· ἐπεί σφ' ἐγὼ
Ὤκτειρα δὴ μάλιςα προςϐλέψασ', ὅτι
Τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσε*,
Καὶ γῆν πατρῴαν ὐχ ἑκῦσα δύςμορος
Ἔπερσε κἀδύλωσεν· ἀλλὰ ταῦτα μὲν
Ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω κακὸν
Πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.
ΧΟΡ. Πείθυ λεγύσῃ χρηςὰ (κὐ μέμψῃ χρόνῳ)
Γυναικὶ τῇδε· κἀπ' ἐμῦ κτήσῃ χάριν.
ΛΙΧ. Ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω †
Θνητὴν φρονῦσαν θνητὰ, κὐκ ἀγνώμονα,
Πᾶν σοι φράσω τἀληθὲς, ὐδὲ κρύψομαι.
Ἔςιν γὰρ οὕτως, ὥςπερ ὗτος ἐννέπει.
Ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
Διῆλθε, καὶ τῆςδ' οὕνεχ' ἡ πολύφθορος
Καθηρέθη πατρῷος Οἰχαλία δορί.
Καὶ ταῦτα (δεῖ γὰρ καὶ τὸ πρὸς κείνυ λέγειν)

* Ald. διώλεσεν. † Turn. in marg. σ' ἐκμανθάνω.

467. Πλείςας] δηλονότι ἀνάνδρυς παρθένυς, ὡς Μήδαν τὴν Φίλαντος, Αὔγην τὴν Ἀλέυ, Μεγάραν τὴν Κρέοντος, τὰς Θεςίυ θυγατέρας, Ἀςυδάμειαν τὴν Ἀμύντορος.

469. Οὐδ' ὄνειδος ἥδέ τ', ὐδ' ἂν εἰ κάρτ' ἐντακείη τῷ φιλεῖν] ὐδὲ ἡ Ἰόλη ὀνειδισθήσεται ὑπ' ἐμῦ, ὐδ' εἰ μεγάλως αὐτῆς ἐρᾷ ὁ Ἡρακλῆς, καὶ ἐκτακείη ἐν τῷ αὐτῆς ἔρωτι.

470. Τῷ φιλεῖν] τῷ φιλεῖν αὐτὴν τὸν Ἡρακλέα.

474. Ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' ὖρον] ὁ περὶ τύτων λόγος ἐρρίφθω (φησὶν) εἰς τὸν ἀέρα.

477. Πείθυ λεγύσῃ χρηςὰ] πείσθη τί φησιν. ὁρᾷς γὰρ ὅτι ὅτι φιλανθρώπως ὁμιλεῖ.

482. Ὥςπερ ὗτος ἐννέπει] ὁ ἐν τῷ λειμῶνι ἀκήκοως, καὶ ἀπαγγείλας τῇ Δηϊανείρᾳ.

487. Οὔτ'

Οὔτ' εἶπε κρύπτειν, ὔτ' ἀπηρνήθη ποτέ·
Ἀλλ' αὐτὸς, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
Μὴ ςέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
Ἥμαρτον, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
Ἐπεί γε μὲν δὴ πάντ' ἐπίςασαι λόγον,
Κείνυ τε καὶ σὴν ἐξίσυ κοινὴν χάριν,
Καὶ ςέργε τὴν γυναῖκα, καὶ βύλυ λόγυς
Οὓς εἶπας ἐς τήνδ', ἐμπέδως εἰρηκέναι.
Ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριςεύων χεροῖν,
Τῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.

ΔΗΙ. Ἀλλ' ὧδε καὶ φρονῦμεν, ὥςτε ταῦτα δρᾶν.
Κὔτοι νόσον γ' ἐπακτὸν ἐξαιρύμεθα,
Θεοῖσι δυςμαχῦντες· ἀλλ' ἔσω ςέγης
Χωρῶμεν, ὡς λόγων τ' ἐπιςολὰς φέρῃς,
Ἅ,τ' * ἀντὶ δώρων δῶρα χρὴ προςαρμόσαι,
Καὶ ταῦτ' ἄγῃς· κενὸν † γὰρ ὐ δίκαιά σε
Χωρεῖν προςελθόνθ' ὧδε σὺν πολλῷ ςόλῳ.

ΧΟΡ. Μέγα τι σθένος ἁ
Κύπρις ἐκφέρεται νίκας ἀεί.

* Aldus, Ἅτ'. † Aldus, κεινὸν.

487. Οὔτ' εἶπε κρύπτειν] τὸ ἑξῆς, καὶ ταῦτα ουτ' εἶπε κρύπτειν. τὰ περὶ τῦ ἔρωτος φησὶ τῆς Ἰόλης, οὔτε κρύπτειν μοὶ ὁ Ἡρακλῆς εἶπεν, οὔτε μὲν ὁμολογεῖν.

490. Εἴ τι τήνδ' ἁμαρτίαν] καλῶς διὰ τῆς λέξεως, τῦ ἥμαρτον, φημὶ, συγγνώμην ἑαυτῷ προξενεῖ.

491. Ἐπεί γε μὲν δὴ πάντ' ἐπις'] ἐπεὶ τοίνυν πᾶν τὸ λοιπὸν ἐπίςασαι, λέγω τὶ καὶ ἕτερον, ὅπερ ὁμοίως κεχαρισμένον σοί τε καὶ τῷ Ἡρακλεῖ γενήσεται.

497. Ἀλλ' ὧ καὶ φρονῦμεν] ἤγυν, ὥςπερ προείρηκα ταῦτα, καὶ ποιήσω.

498. Κοὔτι νόσον γ' ἐπακτὸν] τὴν θεομαχίαν λέγει, ἐπακτὸν δὲ ἐνταῦθα, ἀντὶ τῦ, αὐθαίρετον τὴν θεομαχίαν· τὸ γὰρ πρὸς τὸν ἔρωτα φιλονεικεῖν, θεομαχεῖν ἐςιν ἄντικρυς.

501. Ἅ,τ' ἀντὶ δώρων] ὅπως ἂν αὐτῷ παρ' ἡμῶν κομίσῃς ἀντίποινα καὶ σύμφωνα οἷς ἤγαγες· λέγει δὲ ἀντὶ τῶν αἰχμαλώτων.

503. Σὺν πολλῷ ςόλῳ] ἤγυν, σὺν ταῖς ἀπεςαλμέναις αἰχμαλώτοισι.

504. Μέγα τι σθένος] γράφεται καὶ Μέγα τι σθένυσα Κύπρις· Νικηφορεῖ ἐν παντὶ πράγματι· ἢ ὕτως, ἀποφέρεται τὰς νίκας κατὰ πάντων, καὶ πάσης κρατεῖ φύσεως. σθένος δὲ νίκης, περιφραστικῶς τὴν νίκην· εἰκότως δὲ ὁ Χορὸς τοιαύτην ἀρχὴν πεποίηται. πέπαυται γὰρ ὁ λόγος περὶ τῦ Ἔρωτος.

597. Παρέσαι

Καὶ τὰ μὲν θεῶν
Παρέβαν· καὶ ὅπως
Κρονίδαν ἀπάτασεν, ὐ λέγω·
Οὐδὲ τὸν ἔννυχον Ἀΐδαν,
Ἢ Ποσειδάωνα τινάκτορα γαίας·
Ἀλλ᾽ ἐπὶ τάνδ᾽ ἄρ᾽ ἄκοιτιν
Ἀμφίγυοι κατέβαν πρὸ γάμων τινές·
Πάμπληκτα παγκόνιτά τ᾽ ἐξ-
ῆλθον ἄεθλ᾽ ἀγώνων.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὁ μὲν ἦν ποταμῦ
Σθένος, ὑψίκερω τετραόρυ
Φάσμα ταύρυ
Ἀχελῷος ἀπ᾽ Οἰ-
νιαδᾶν· ὁ δὲ Βακχείας ἄπο
Ἦλθε παλίντονα Θήβας
Τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων
Παῖς Διός· οἳ τότ᾽ ἀολλεῖς †

* ALDUS, τήνδ᾽.

† ALDUS, ἀολεῖς.

507. Παρέβαν· καὶ ὅπως] ἀντὶ τῦ παραβήσομαι. καὶ ὅσα μὲν εἰς θεὺς (φησὶν) ἐνεδείξατο, ὑπερθήσομαι.

509. Τὸν ἔννυχον Ἀΐδαν] τὸν ἐν σκότῳ διατρίβοντα.

511. Ἀλλ᾽ ἐπὶ τάνδ᾽ ἄκοιτιν] τὴν Δηϊάνειραν. ὁ δὲ νῦς ὕτος, τὰ μὲν εἰς θεὺς γεγονότα παρίημι· ἐκεῖνα δὲ λέγω, τίνες ἠγωνίσαντο περὶ τῶν γάμων Δηϊανείρας, καὶ κατέβησαν εἰς τὸν ἀγῶνα.

512. Ἀμφίγυοι κατέβαν] ἀντίπαλοι, ἢ ἰσχυροὶ, ἐν τοῖς γύοις, μαχεσάμενοι χερσὶ καὶ ποσίν· ἢ ἀμφότεροι τεθωρακισμένοι, ἢ ἄμφω παρωξυμμένοι.

513. Πάμπληκτα] ἀγωνίσματα πληγῶν μεςά.

Ib. Ἐξῆλθον ἄεθλ᾽ ἀγώνων] ἀντὶ τῦ διηνυσαν, ἐπεξῆλθον, ἠγωνίσαντο. λέγει δὲ ὅτι πᾶν εἶδος ἀγωνίσματος κατ᾽ ἀλλήλων ἐνεδείξαντο, ἠγωνίσαντο.

516. Τετραόρυ] τετρασκελῦς.

517. Φάσμα] φάντασμα. Σχῆμα.

518. Ἀπ᾽ Οἰνιαδᾶν] ἀπὸ Αἰτωλίας. ἢ ὕτως, Οἰνίαι πόλις Ἀκαρνανίας, δι᾽ ἧς ῥεῖ ὁ Ἀχελῷος. πληθυντικῶς δὲ λέγεται.

519. Βακχείας ἄπο] τῆς τὸν Βάκχον ἐχύσης. καλῶς δὲ τὸ Βακχείας, πρὸς ἀντιδιαστολήν.

521. Τόξα καὶ λόγχας] ἀφ᾽ ἱςορίας φησὶ λόγχην ἔχειν τὸν Ἡρακλέα.

522. Ἀολλεῖς ἴσαν] καταχρηςικῶς εἶπεν ἐπὶ δύο τὸ ἀολλεῖς. ἐπὶ πλήθυς γὰρ λέγεται. ἢ ἀολλεῖς ἀντὶ τῦ λίαν ἀλέντες. Ὅμηρος·

"Οἴμησεν δὲ ἀλεὶς."

523. Ἱέμενοι]

ἐς μέσον ἵεμενοι λεχέων· μόνα
Δ' εὔλεκτρος ἐν μέσῳ Κύπρις
Ῥαβδονόμει ξυνῦσα.

ΕΠΩΔΟΣ.

Τότ' ἦν χειρὸς *, ἦν δὲ
Τόξων πάταγος, ταυρείων
τ' ἀνάμιγδα κεράτων·
Ἦν δὲ ἀμφίπλεκτοι
Κλίμακες· ἦν δὲ μετώπων ὀλόεντα
Πλήγματα, καὶ σόνος ἀμφοῖν.
Ἁ δ' εὐῶπις ἁβρὰ
Ταλαυγεῖ † παρ' ὄχθῳ
Ἧσο, τὸν ὃν προσμένυσ' ἀκοίταν.
Ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω,
Τὸ δ' ἀμφινείκητον ‡ ὄμμα νύμφας
Ἐλεεινὸν ἀμμένει.
Κἀπὸ ματρὸς ἄφαρ
Βέβακεν, ὡς πόρτις ἐρήμα.

* Ald. χερὸς. † Ald. τηλαυγεῖ. ‡ Turn. in marg. ἀμφιμάχητον.

523. Ἵεμενοι] ἐπιθυμῦντες.

Ib. Μόνα δ' εὔλεκτρος] μόνη δὲ ἡ εὔλεκτρος Κύπρις παρῦσα, ἐβράβευε καὶ διέταττε.

526. Τότ' ἦν χερὸς] τότε ὧν ὁ Ἡρακλῆς καὶ χερσὶ καὶ τόξοις ἐμάχετο, ὁ δὲ Ἀχελῷος τοῖς κέρασιν.

528. Ἀνάμιγδα] ἀναμεμιγμένως.

529. Ἦν δὲ ἀμφίπλεκτοι κλίμακες] ἦν, ἀντὶ τῦ ὑπῆρχον. Ἡσίοδος,

"Γῆς δ' ἦν τρεῖς κεφαλαί."

Κλίμακες δὲ, αἱ ἐπαναβάσεις, παρὰ τὸ ἄνω τε καὶ κάτω αὐτὰς σρέφεσθαι ἐν τῇ μάχῃ. ἔστι δὲ εἶδος παλαίσματος ἡ κλίμαξ. τῦτο δὲ τὸ σχῆμα ἐπὶ Ἡρακλέυς ἀκυςέον.

530. Ἦν δὲ μετώπων] τῦτο ἐπὶ Ἀχελῴυ, οἱ γὰρ ταῦροι τοῖς κέρασι καὶ μετώποις μάχονται.

532. Ἁ δ' εὐῶπις] ἡ Δηϊάνειρα.

535. Ἐγὼ δὲ μάτηρ μὲν] ἐγὼ (φησὶν) ἐνδιαθέτως· ὡσεὶ μήτηρ λέγω. ἐγὼ παρεῖσα τὰ πολλὰ, τὰ τέλη λέγω τῶν πραγμάτων.

536. Ἀμφιμάχητον ὄμμα νύμφας] ἀντὶ τῦ ἡ περιμάχητος νύμφη, περιφραστικῶς. ἀπὸ δὲ τῦ καλλιςεύοντος αὐτὴν εἶπε μέρυς. Ἄλλως· Ὄμμα νύμφας. Ἔτι δὲ καὶ νύμφη ἐλεεινὴ ὖσα, ὑπέμεινεν ἡ περικαλλὴς Δηϊάνειρα.

537. Ἀμμένει] ἀντὶ τῦ ἀνέμενε.

538. Κἀπὸ ματρὸς ἄφαρ] παραχρῆμα γαμηθεῖσα τῶν τῆς μητρὸς ἀφωρίσθη πραγμάτων. ἀπὸ δὲ τῦ ἅπτω ἅψω, τὸ ἄφαρ γίνεται.

540. Ἦμος,

## ΙΑΜΒΟΙ.

ΔΗΙ. Ἧμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
Ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδῳ,
Τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα *,
Τὰ μὲν φράσουσα, χερσὶν ἃ 'τεχνησάμην·
Τὰ δ' οἷα πάσχω συγκατοικτιουμένη.
Κόρην γὰρ, οἶμαι δ' οὐκέτ', ἀλλ' ἐζευγμένην,
Παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
Λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
Καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὕπο
Χλαίνης ὑπαγκάλισμα †· τοιάδ' Ἡρακλῆς
Ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος ‡
Οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
Ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
Νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ·
Τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ, τίς ἂν γυνὴ
Δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
Ὁρῶ γὰρ ἥβην, τὴν μὲν ἕρπουσαν πρόσω,
Τὴν δὲ φθίνουσαν, ὧν ἀφαρπάζειν φιλεῖ
Ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκτρέπειν πόδα.

* Ald. λάθρᾳ. † Turn. ὑπ' ἀγκάλισμα. ‡ Turn. τιλουμένος.

540. Ἧμος, φίλαι] ἡ Δηϊάνειρα πρὸς τὸν Χορὸν ἐξελθοῦσα διαλέγεται. καὶ φησὶν, ἐν ὅσῳ ὁ Λίχας ταῖς κατὰ τὸν οἶκον συντάττεται αἰχμαλώτοις, ἐξῆλθον ἵνα ἅπερ ἐμηχανησάμην δηλώσω ὑμῖν.

541. Ὡς ἐπ' ἐξόδῳ] ὡς μέλλων αὖθις ἐξιέναι πρὸς τὸν Ἡρακλέα.

544. Συγκατοικτιουμένη] σὺν ἡμῖν θρηνοῦσα.

545. Ἀλλ' ἐζευγμένην] γεγαμημένην τῷ Ἡρακλεῖ προσεδεξάμην φορτίον λωβητὸν τῆς ἐμῆς φρενός. Ἤτοι βλαβερον φορτίον καὶ ἐφύβριστον τῆς ἐμῆς φρενός.

548. Μιᾶς ὕπο χλαίνης] ὑπὸ μιᾶς κοίτης.

551. Οἰκούρι' ἀντέπεμψε] τοιαῦτα τῆς οἰκουρίας δῶρα ἔπεμψέ μοι ὁ Ἡρακλῆς ὑπὲρ τοῦ χρόνου παντὸς οὗ συνῴκησα αὐτῷ· ὅ ἐστιν εὐχαριστήρια τῆς πολυχρονίας ἡμῶν οἰκουρίας.

556. Τὴν μὲν ἕρπουσαν πρόσω] τῇ Ἰόλῃ προκόπτουσαν καὶ αὐξανομένην τὴν ἥβην.

557. Τὴν δὲ φθίνουσαν] φθίνουσαν ἑαυτὴν λέγει, δεικτικῶς. δὲ ἀντὶ τοῦ βεβηκυῖαν.

558. Ὀφθαλμὸς ἄνθος] τὸ ἄνθος τῶν νέων γυναικων φιλεῖ ἁρπάζειν ὁ ὀφθαλμὸς τῶν ἀνδρῶν.

Ib. Τῶν δ' ὑπεκτρέπειν] τῶν δὲ, ὑπαναχωρεῖν, δηλονότι τῶν πρεσβυτέρων. ἤγουν τῶν δύο

Ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
Ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
Ἀλλ' οὐ γὰρ (ὥσπερ εἶπον) ὀργαίνειν καλὸν
Γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω, φίλαι,
Λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
Ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
Θηρὸς, λέβητι χαλκέῳ κεκρυμμένον·
Ὃ παῖς ἔτ' οὖσα τοῦ δασυστέρνου πάρα
Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην·
Ὃς τὸν βαθύῤῥουν ποταμὸν Εὔηνον βροτοὺς
Μισθοῦ 'πόρευε * χερσὶν, οὔτε πομπίμοις
Κώπαις ἐρέσσων, οὔτε λαίφεσιν νεώς·
Ὃς κἀμὲ, τῶν πατρῴων ἡνίκα στόλων
Ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
Φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,
Ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤϋσ' ἐγώ·
Χ' ὡ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας, χεροῖν

* ALDUS, Μισθοῦ πόρευε.

ἡλικιῶν τὴν μὲν νεάζουσαν ἁρπάζειν εἴωθεν ὁ τῶν ἀνδρῶν ὀφθαλμὸς, τῆς δὲ ὑπεκτρέπειν τὸν πόδα, ἤτοι τῆς πρεσβυτέρας·

559. Μὴ πόσις μὴ Ἡρακλῆς] διαφορὰν ταύτην ἔχει ὁ πόσις πρὸς τὸν ἄνδρα. Πόσις μὲν γὰρ λέγεται καὶ ὁ πρὸ πολλοῦ ἀποστὰς τῆς γυναικός· ἀνὴρ δὲ, ὁ συνών, καὶ ὁ πρὸ ὀλίγου χωρισθείς. ὡς τὸ, Ἀνὴρ, ἀπ' αἰῶνος νέος ὤλευ. δέδοικα οὖν (φησὶ) μὴ ἐμὲ καταλιπὼν, πόσις ἐμὸς κληθῇ, ὡς συνοικήσας μοι ποτέ. ταύτης δὲ ἀνὴρ, ὡς αὐτῇ συνοικῶν. Ἄλλως· Πόσις μὲν πρόσις τὶς ὢν, παρὰ τὸ προσιέναι.

561. Ἀλλ' οὐ γὰρ, ὥσπερ εἶπον] οὐ χρὴ τὴν συνετὴν γυναῖκα θυμοῦσθαι τῷ ἀνδρί·

562. Ἧ, δ' ἔχω] ᾧ δὲ τρόπῳ τῆς λύπης ἴαμα, σχοίην, ὑμῖν ἐρῶ.

563. Λυτήριον κύπημα] ἀντὶ τοῦ τῆς λύπης ἴαμα·

565. Λέβητι χαλκέῳ] δύο ὀνόματα, ὡς κρατερὸν αἰχμητήν· ὡς ἔκτοτε ἀποθεμένην λέβητι ἐπὶ τὸ κατὰ καιρὸν χρήσασθαι αὐτῷ.

566. Ὁ παῖς ἔτ' οὖσα] νεωτέρα· οὐ γὰρ παρθένος.

567. Ἐκ φόνων ἀνειλόμην] ἀντὶ τοῦ ἐκ τοῦ αἵματος τῶν σφαγῶν. Ὅμηρος·

“Ἄκρον ἐρευγόμενοι φόνον αἵματος·”

ἢ ἐκ τοῦ τόπου ὅθεν ἐφονεύθη ὁ Νέσσος. Ὅμηρος·

“Ἐν ἀργαλέῃσι φονῇσιν.”

569. Μισθοῦ 'πόρευε] διεπέρα, διεπόρθμευεν·

571. Ἡνίκα στόλων ξὺν Ἡρακλεῖ] στόλον φησὶ τὸ πλῆθος τῶν ἐν τῇ οἰκίᾳ αὐτῆς δούλων τε καὶ ἀδελφῶν. ἡνίκα οὖν καταλιποῦσα τὸν οἶκον τοῦ πατρὸς ἔρημος ἐπηκολούθησα τῷ Ἡρακλεῖ, καὶ τὰ ἑξῆς.

574. Ψαύει ματαίαις χερσὶν] ὅτι οὐδὲν ἤνυσεν. ἔφθασε γὰρ ὁ Ἡρακλῆς τοξεύσας καὶ ἀνελὼν αὐτόν.

575. Ἐπιστρέψας χεροῖν] εὐτρεπίσας, ἢ στρέψας

Ἧκεν κομήτην ἰόν· ἐς δὲ πνεύμονας *
Στέρνων διεῤῥοίζησεν· ἐκθνήσκων δ᾽ ὁ θὴρ
Τοσοῦτον εἶπε, Παῖ γέροντος Οἰνέως,
Τοσόνδ᾽ ὀνήσῃ τῶν ἐμῶν (ἐὰν πίθῃ †)
Πορθμῶν, ὅθ᾽ οὕνεχ᾽ ὑςάτην σ᾽ ἔπεμψ᾽ ἐγώ.
Ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
Σφαγῶν ἐνέγκῃ χερσὶν, ᾗ μελαγχόλους
Ἔβαψεν ἰοὺς θρέμμα Λερναίας Ὕδρας,
Ἔςαι φρενός σοι τοῦτο κηλητήριον
Τῆς Ἡρακλείας, ὥςτε μή τιν᾽ εἰςιδὼν
Στέρξῃ ‡ γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
Τοῦτ᾽ ἐννοήσασ᾽, ὦ φίλαι, (δόμοις γὰρ ἦν
Κείνου θανόντος ἐγκεκλεισμένον καλῶς)
Χιτῶνα τόνδ᾽ ἔβαψα, προςβαλοῦσ᾽ ὅσα
Ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε·
Κακὰς δὲ τόλμας μήτ᾽ ἐπιςαίμην ἐγὼ,
Μήτ᾽ ἐκμάθοιμι, τάς τε τολμώσας ςυγῶ.
Φίλτροις δ᾽ ἐάν πως τήνδ᾽ ὑπερβαλώμεθα
Τὴν παῖδα, καὶ θέλκτροισι τοῖςδ᾽ ἐφ᾽ Ἡρακλεῖ,

* ALD. πλεύμονας. † TURN. πύθῃ. ‡ TURN. ςέρξαι.

ψας κάμψας τὴν νευράν· ἢ, εἰς αὐτὸν ςραφεὶς καὶ βλέψας.

576. Ἧκεν κομήτην ἰὸν] ἢ διὰ τοὺς ὄγκους, ἢ διὰ τὴν πτέρωσιν· τὸ δὲ πνεύμονας, ἀντὶ ἑνικοῦ.

577. Διεῤῥοίζησεν] μετὰ ἤχου ὥρμησε.

579. Τοσόνδ᾽ ὀνήσῃ] ὠφεληθήσῃ καὶ ὄνησιν λήψῃ ἐκ τῶν ἐμῶν πορθμῶν.

Ib. Ἐὰν πύθῃ] γράφεται, ἐὰν πίθῃ.

581. Ἀμφίθρεπτον] τὸ πεπηγός. θρέψαι γὰρ τὸ πῆξαι.

582. Ἡ μελαγχόλους] ὅπου, ἢ ἐν ᾧ.

583. Θρέμμα Λερναίας] περιφραςικῶς, ἡ Ὕδρα.

584. Ἔςαι φρενός σοι τοῦτο κηλητήριον] ἐπιτήδειον πρὸς τὸ παῦσαι καὶ κηλῆσαι αὐτὸν, ἤγουν καταπαυςήριον τῆς φρενὸς τοῦ Ἡρακλέους τοῦ πρὸς ἄλλην ἔρωτος, ἢ κατακηλοῦντος τὴν ψυχὴν τοῦ Ἡρακλέους τῷ πρὸς τὴν Δηϊάνειραν ἔρωτι.

588. Ἐγκεκλεισμένον] τηρούμενον.

589. Χιτῶνα τόνδε] τοῦτό φησιν ὡς κατὰ ἐντολὴν Νέσσου καὶ ἄλλα τινὰ συμμίξασα.

590. Καὶ πεπείρανται τάδε] κατείργαςαι, τετελείωται, καὶ ἤνυςαι.

591. Κακὰς δὲ τόλμας] τὰς φαρμακείας. Μὴ εἰδείην (φησὶ) κακοῖς πράγμασιν ἐπιχειρεῖν, ἢ δολοφονῆσαι αὐτὸν, ἤ τι τοιοῦτον ἐργάσασθαι. ἀλλ᾽ ἄχρι τοῦ μεταθεῖναι αὐτοῦ τὴν γνώμην διὰ τοῦ κατασκευάσματος τούτου. εἰ μὴ μάταιόν ἐςι τοῦτο τὸ κατασκεύασμα, προςδοκῶ ταύτην ὑπερβαλέσθαι τῇ παρὰ τοῦ Ἡρακλέους εὐνοίᾳ. εἰ δὲ μὴ ἐπιτυγχάνω, παύσομαι τῆς ἐπιχειρήσεως.

Μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
Πράσσειν μάταιον· εἰ δὲ μὴ, πεπαύσομαι*.
ΧΟΡ. Ἀλλ' εἴ τις ἐςὶ πίςις ἐν τοῖς δρωμένοις,
Δοκεῖς παρ' ἡμῖν ἐ βεβελεῦσθαι κακῶς.
ΔΗΙ. Οὕτως ἔχει γ' ἡ πίςις· ὡς τὸ μὲν δοκεῖν
Ἔνεςι, πεῖρα δ' ἐ προσωμίλησά πε†.
ΧΟΡ. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς ἐδ' εἰ δοκεῖς
Ἔχειν, ἔχοις ἂν γνῶμα καὶ πειρωμένη.
ΔΗΙ. Ἀλλ' αὐτίκ' εἰσόμεσθα· τόνδε γὰρ βλέπω
Θυραῖον ἤδη· διὰ τάχες δ' ἐλεύσεται·
Μόνον παρ' ὑμῶν εὖ ςεγοίμεθ'· ὡς σκότῳ,
Κἂν αἰσχρὰ πράσσῃς ‡, ἔποτ' αἰσχύνῃ πεσῇ.
ΛΙΧ. Τί χρὴ ποιεῖν σήμαινε, τέκνον Οἰνέως·
Ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
ΔΗΙ. Ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
Ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις·
Ὅπως φέρῃς μοι τόνδε γ' εὐϋφῆ πέπλον
Δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός·
Διδὲς δὲ τόνδε, φράζ' ὅπως μηδεὶς βροτῶν

* Ald. πεπαύσεται. † Ald. πω. ‡ Ald. πράσσεις.

595. Μεμηχάνηται τοὔργον] τοῦτο (φησὶ) τὸ ἔργον μεμηχάνηται ἐκ ἐπ' ὀλέθρῳ, ἀλλ' ἵνα ταύτην φίλτροις ὑπερβαλώμεθα.

596. Εἰ δὲ μὴ, πεπαύσομαι] εἰ δὲ μὴ ἐνεργήσῃ, πεπαύσομαι τῆς ἐπιχειρήσεως.

597. Ἀλλ' εἴ τις ἐςὶ πίςις] ἀλλ' εἰ πεπίςευκας ὅτι δράσει τῦτο, ἄριςά μοι δοκεῖς βεβουλεῦσθαι.

599. Οὕτως ἔχει γ' ἡ πίςις] πιςεύομεν ἀληθὲς εἶναι, ἐ μὲν πεπείραμαι.

601. Ἀλλ' εἰδέναι χρὴ δρῶσαν] δεῖ σε (φησὶν) ἐπιχειρῦσαν γνῶναι. ἢ δεῖ σε δρῶσαν, ἔχειν τὴν πίςιν καὶ μὴ μόνον δοκεῖν ἐπίςασθαι. ἔπω γὰρ ἔχεις τὴν γνῶσιν πρὶν πειραθῆναι.

602. Ἔχοις ἂν γνῶμα] γράφεται ἄγνωμα.

Ib. Γνῶμα μὴ πειρωμένη] γνῶμα, ἤτοι νῦν, καὶ ἔςιν ἐδέτερον, ἀντὶ τῦ γνωμάτευμα καὶ ἔν. καὶ Εὐριπίδης,

"Ὡς ἓν δὲ πᾶσι γνῶμα ταυτὸν, ἤτοι γνω-
"μάτευμα, νῦς."

603. Εἰσόμεσθα] γνωσόμεθα (φησὶ) τὴν δύναμιν τῦ κατασκευάσματος. βλέπω γὰρ τὸν Λίχαν πλησίον πορευόμενον, ὃς ἀποκομίσει τὸν πέπλον τῷ Ἡρακλεῖ· καὶ ἔςαι ἡμῖν διὰ τύτε πεῖρα.

605. Εὖ ςεγοίμηθα] κρυπτοίμηθα. οἷον, σιωπὴ γένοιτο.

608. Τῷ μακρῷ χρόνῳ] ἀντὶ τῦ διὰ τὸ ἐνταῦθα χρόνῳ ἐνδιατρίψαι.

611. Εὐυφῆ πέπλον] ἰσχυυργῆ, ἐκ εὖ δὲ τὸν ἀνδρεῖον χιτῶνα, πέπλον φησὶν ἀντὶ τῦ λεπτουφῆ.

616. Μήτ'

Κείνȣ πάροιθεν ἀμφιδύσηται χροΐ.
Μηδ᾽ ὄψεταί νιν μήτε φέγγος ἡλίȣ,
Μήθ᾽ ἕρκος ἱερὸν, μήτ᾽ ἐφέςιον σέλας,
Πρὶν κεῖνος αὐτὸν φανερὸν ἐμφανῶς ςαθεὶς
Δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροςφάγῳ.
Οὕτω γὰρ ηὔγμην᾽ εἴ ποτ᾽ αὐτὸν ἐς δόμȣς
Ἴδοιμι σωθέντ᾽ ἢ κλύοιμι, πανδίκως
Στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
Θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
Καὶ τῶνδ᾽ ἀποίσεις σῆμ᾽, ὃ κεῖνος εὐμαθὲς
Σφραγῖδος ἕρκει τῷδ᾽ ἐπ᾽ ὄμμα θήσεται.
Ἀλλ᾽ ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον
Τὸ μὴ ᾽πιθυμεῖν, πομπὸς ὢν, περισσὰ δρᾷν·
Ἔπειθ᾽, ὅπως ἂν ἡ χάρις κείνȣ τέ σοι
Κἀμȣ̃ ξυνελθȣ̃σ᾽, ἐξ ἁπλῆς διπλῆ φανῇ.

ΛΙΧ. Ἀλλ᾽ εἴπερ Ἑρμȣ̃ τήνδε πομπεύω τέχνην
Βέβαιον, οὔ τι μὴ σφαλῶ γ᾽ ἐν σοί ποτε,
Τὸ μὴ ȣ̓ τόδ᾽ ἄγγος ὡς ἔχει δεῖξαι φέρων,
Λόγων τε πίςιν ὧν ἔχεις ἐφαρμόσαι *.

* Turn. in marg. ἐφάρμοσαι.

616. Μήτ᾽ ἐφέςιον σέλας] ἀντὶ τȣ̃ τὸ κατ᾽ οἶκον πῦρ. ἕρκος δὲ ἱερὸν, ὁ βωμὸς, ἢ τὸ ἱερόν.

617. Πρὶν κεῖνος] πρὶν αὐτὸς ἐνδυσάμενος ἐπὶ τῆς οἰκίας φανερὸς καὶ ὑπ᾽ ὄψεσι πάντων προέλθῃ καὶ δείξῃ ἑαυτὸν φανερὸν τοῖς θεοῖς ἐμφανῶς ςαθείς, καθ᾽ ἣν ἡμέραν μέλλοι ταύρȣς θύσειν τοῖς θεοῖς εὐχαριςήρια.

620. Πανδίκως] ἀνενδοιάςως.

621. Στελεῖν χιτῶνι τῷδε] σκεπάσειν, ἐνδύσειν, περιβαλεῖν αὐτὸν τούτῳ τῷ χιτῶνι, ὡς φανῆναι αὐτὸν σφαγέα τῶν θυμάτων.

622. Καινὸν] καινοπρεπῆ.

623. Σῆμ᾽, ὃ κεῖνος εὐμαθὲς] σημεῖον κομίσεις τῶνδε εὔγνωςον, ὅπερ ἐκεῖνος ἐπιγνώσεται ἐπιθεὶς τὸ ὄμμα τῇ σφραγῖδι, καὶ γνȣ̃ς ὅτι παρ᾽ ἐμȣ̃ εἴη ἡ σφραγίς.

624. Σφραγῖδος ἕρκει] περιφραςικῶς τῇ σφραγῖδι.

625. Ἀλλ᾽ ἕρπε, καὶ φύλασσε] ȣ̃τός ἐςιν ὁ προσήκων νόμος τοῖς διακονȣ̃σιν, ὥςτε μηδὲν περαιτέρω δρᾷν τῶν προσταττομένων αὐτοῖς. ἐμφαίνει δὲ αὐτῷ μὴ ἀποσφραγίσαντα περιεργάζεσθαι τί ἔγκειται ἐντός.

627. Ἔπειθ᾽ ὅπως ἂν ἡ χάρις] γνησίως διακονȣ́μενος διπλάζεις τὴν χάριν, καὶ ἴσως φιλοθήσῃ παρ᾽ ἑκατέρȣ.

629. Ἀλλ᾽ εἴπερ Ἑρμȣ̃] κήρυξ γὰρ ὁ θεός.

632. Λόγων τε πίςιν ὧν ἔχεις] ἔντειλαι δὲ μοί (φησι) περὶ πραγμάτων ἄλλων μυςικῶν, καὶ λόγȣς ἀνακοινῶσαί μοι, καὶ φυλάξω.

Ib. Εφαρμόσαι] ἐπίθες (φησὶν) ἣν θέλεις σφραγῖδα.

Ib. Προσδέγ-

ΔΗΙ. Στείχοις ἂν ἤδη· καὶ γὰρ ἐξεπίςασαι
Τά γ᾽ ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙΧ. Ἐπίςαμαί τε καὶ φράσω σεσωσμένα.
ΔΗΙ. Ἀλλ᾽ οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
Προςδέγματ᾽, αὐτὴν ὡς ἐδεξάμην * φίλως.
ΛΙΧ. Ὥςτ᾽ ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
ΔΗΙ. Τί δῆτ᾽ ἂν ἄλλό γ᾽ ἐννέποις; δέδοικα γὰρ
Μὴ πρῷ † λέγοις ἂν τὸν πόθον ἐξ ἐμȣ͂,
Πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθȣ́μεθα.

ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ὦ ναύλοχα καὶ πετραῖα
Θερμὰ λȣτρὰ, καὶ πάγȣς
Οἴτας περιναιετάοντες ‡,
Οἵ τε μέσσαν §

* Turn. αὐτήνθ᾽ ὡς ἐδεξάμην. † Turn. πρὶν. ‡ Ald. παραναιετάοντες.
§ Ald. μέσαν.

Ib. Προσδέγματα] τὰς ὑποδοχὰς λέγει. φησὶ δὲ ὅτι οἶσθα πῶς φιλοφρόνως αὐτὴν ἐδεξάμην, καὶ τȣ͂το δὲ ἐπαγωγὸν πρὸς Ἡρακλέα. εἴγε τὴν ὑπονοȣμένην, φιλοφρόνως προσεδέξατο. πρὸς ὃ ἐπάγει. τοσȣ͂τον οἶδα ὥςτε θαυμάσαι με καὶ ἐκπλαγῆναι ὅτι ἀσμένως αὐτὴν ὑπεδέξω, καὶ ἐπὶ τȣ́τῳ χαρῆναι.

634. Ζῆν γὰρ κακῶς] γνωμικόν.

639. Δέδοικα γὰρ] δέδοικα γάρ, φησι, μὴ πρὸ καιρȣ͂ εἴποις τὸν ἐξ ἐμȣ͂ πόθον, ἕως μάθωμεν εἰ καὶ αὐτὸς ἡμᾶς ποθεῖ. διὰ δὲ τȣ́των ἐρεθίζει αὐτὸν πλέον εἰπεῖν.

642. Ὦ ναύλοχα καὶ πετραῖα] δοκεῖ τȣ͂το παρ᾽ ἱςορίαν εἶναι· φασὶ γὰρ πρῶτον ἐν Τραχῖνι τῷ Ἡρακλεῖ ἀναδεδόσθαι. ἐνταῦθα δὲ ὡς προϋπαρχόντων αὐτῶν, φησὶν, ὦ ναύλοχα. Ὁ Χορὸς τȣ̀ς περὶ τὴν Οἴτην οἰκȣ͂ντας προσκαλεῖται ἐπὶ τὸ πανηγυρίσαι, διὰ τὴν προσδοκωμένην ἐπιδημίαν τȣ͂ Ἡρακλέȣς. ὁ δὲ νȣ͂ς· Ὦ ἄνδρες οἱ περὶ τὰ παραθαλάσσια θερμὰ λȣτρὰ ἐνοικȣ͂ντες, καὶ οἱ παρὰ τȣ̀ς τραχεῖς καὶ ὀρεινȣ̀ς τόπȣς τῆς Οἴτης καὶ τὸν Μηλιακὸν κόλπον, ἔτι τε καὶ τὴν ἀκτὴν τῆς χρυσοτόξȣ Ἀρτέμιδος (ἔνθα φησὶν εἶναι τῶν Ἑλλήνων τὰ συνέδρια) ἄρτι ὁ καλλιφωνότατος πάλιν ἥξει αὐλὸς, καὶ καταλήψεται ὑμῶν τὰς ἀκοὰς, ἡδύ τι καὶ μȣσικὸν προσπνέων, ȣ̓κ ἐχθρὰν ȣ̓δ᾽ ἀπευκτὴν φωνὴν, ἀλλὰ θείας μȣ́σης ἀντίλυρον, ὅ ἐςι φωνὴν γλυκεῖαν.

Ib. Ὦ ναύλοχα] παραθαλάττια λȣτρά. φησὶ δὲ τὰ Ἡράκλεια, ἅπερ λέγεται αὐτῷ ἡ Ἀθηνᾶ ἀνεῖναι.

Ib. Πετραῖα δὲ] διὰ τὸ ἐν ὄρει τῇ Οἴτῃ κεῖσθαι. ἔνιοι δὲ, ἐν Σικελίᾳ φασὶν ἀναδοθῆναι τῷ Ἡρακλεῖ τὰ θερμὰ λουτρά.

643. Καὶ πάγȣς] πάγοι εἰσὶν οἱ ὑψηλοὶ τόποι, ἢ αἱ ὀξεῖαι πέτραι, καὶ οἱ παρὰ τȣ̀ς τραχεῖς καὶ ὀρεινȣ̀ς τόπȣς τῆς Οἴτης οἰκȣ͂ντες.

646. Μηλίδα

Μηλίδα παρ' λίμναν*
Χρυσαλακάτυ τ' ἀκτὰν κόρας,
Ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες καλέονται.

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ὁ καλλιβόας τάχ' ὑμῖν
Αὐλὸς ὐκ ἀναρσίαν
Ἰάχων καναχὰν ἐπάνεισιν,
Ἀλλὰ θείας
Ἀντίλυρον μύσας.
Ὁ γὰρ Διὸς Ἀλκμήνας τε κῦρος
Σεῦται πάσας ἀρετᾶς
Λάφυρ' ἔχων ἐπ' οἴκυς.

### ΣΤΡΟΦΗ Β.

Ὃν ἀπόπτολιν εἴχομεν
Πάντα δυοκαιδεκάμηνον

* Aldus, παρὰ λίμναι.

646. Μηλίδα παρὰ λίμναν] λίμναν φησὶ τὴν θάλασσαν. Ὅμηρος,

« Αἰθυίη δ' εἰκυῖα ποτῇ ἀνεδύσατο λίμνης.»

ὁ δὲ Μηλιακὸς κόλπος παρὰ Τραχῖνί ἐστι. Εἰς τὸ αὐτό.

Ib. Μηλίδα παρὰ λίμναν τὴν Μαγνησίαν, ἔνθα τὸ τῆς Ἀρτέμιδος παραθαλάσσιον ἱερὸν, πλησίον Τραχῖνος· ὅπυ καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία συνέβη τοῖς Ἕλλησιν ἐν Θερμοπύλαις.

647. Χρυσαλακάτυ] ἐν Εὐβοίᾳ τιμᾶται χρυσότοξος Ἄρτεμις.

648. Ἔνθ' Ἑλλάνων ἀγοραὶ] ὅπυ συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν. περὶ ἧς Ἀγάθων φησὶ, Πυλάδην τὸν Στροφίυ πρῶτον κριθῆναι. ἐν τῇ Φωκίδι, καθαιρόμενον τὸ ἐπὶ Κλυταιμνήστρᾳ μύσος· καὶ ἀπ' αὐτῦ τὴν σύνοδον Πυλαίαν φησὶ προσαγορεύεσθαι. ἢ ὅτι ὁ τόπος πύλαι τῆς Ἑλλάδος.

651. Οὐκ ἀναρσίαν ἰάχων] ὐκ ἐχθρὰν ὐδὲ θρήνων βοήν.

654. Ἀντίλυρον μύσας] ἀντίμιμον, ἰσόλυρον, ἀντῳδόν. ἀντὶ τῦ, ὐ μυσικὴν φωνὴν, ἀλλὰ τὴν ἐκ τῦ ἐναντίυ μέρυς τῆς λύρας φωνήν. ἀφ' ὗ δηλῦται ὅτι ὁμῦ αὐλὸς καὶ λύρα ἀναφωνήσυσιν.

656. Σεῦται] ἐνορμᾶται, ἥξει.

657. Ὃν ἀπόπτολιν εἴχομεν] ὃν ἐκτὸς εἴχομεν τῆς πόλεως, εἰς δωδεκάμηνον ἀναμένυσαι. τὸ δὲ ἑξῆς, ὃν ἀπόπτολιν πελάγιον, ἀντὶ τῦ ἄπωθεν τῆς πόλεως ἐν τῷ πελάγει. Πελάγιον δὲ ὅτι πολλάκις καὶ διὰ θαλάττης ἔπλεεν, εἴποτε εἰς νήσυς ἀπῄει.

662. Ἀ δὲ

Ἀμμένουσαι χρόνον
Πελάγιον ἴδριες οὐδέν·
Ἁ δέ οἱ φίλα δάμαρ τάλαινα
Δυστάλαινα καρδίαν
Πάγκλαυτος αἰὲν ὤλλυτο.
Νῦν δ' Ἄρης οἰστρηθεὶς
Ἐξέλυσ' ἐπίπονον ἁμέραν.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἀφίκοιτ', ἀφίκοιτο· μὴ
Σταίη πολύκωπον ὄχημα
Ναὸς αὐτῷ, πρινὴ *
Τάνδε πρὸς πόλιν ἀνύσειε,
Νασιῶτιν ἑστίαν ἀμείψας,
Ἔνθα κλῄζεται θυτήρ·
Ὅθεν μόλοι πανάμερος
Τᾶς πειθοῦς παγχρίστῳ
Συγκραθεὶς ἐπὶ προφάσει θηρός.

ΙΑΜΒΟΙ.

ΔΗΙ. Γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω †
Πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων;

* ALDUS, πρὶν. † ALDUS, περαιτέρω.

662. Ἁ δέ οἱ] ἡ Δηϊάνειρα.

665. Νῦν δ' Ἄρης οἰστρηθεὶς] μανεὶς ὁ περὶ τὴν Οἰχαλίαν πόλεμος ἐξέλυσεν ἡμᾶς τῆς ἀνίας, ἣν ἐφ' ἑκάστης ἡμέρας εἴχομεν. Εἰς τὸ αὐτό. Νῦν δ' Ἄρης ὁ πρὸς τὸν Εὔρυτον. ἐξ αὐτοῦ γὰρ εὐθὺς ἐπανῆλθε.

667. Μὴ σταίη πολύκωπον] Μηδαμοῦ ἡ ναῦς ἀλλαχοῦ ὁρμίσαι, ἕως ἐνταῦθα ἀφίκοιτο, τὴν Εὔβοιαν νῆσον ὑπερβὰς καὶ καταλιπών. καταστρεψάμενος γὰρ τὴν Οἰχαλίαν ἐκεῖ ἔμεινε θῦσαι τῷ πατρί.

673. Πανάμερος] ἀντὶ τοῦ, τὴν σήμερον ἡμέραν ἔλθοι τῷ πέπλῳ τῆς πειθοῦς θελχθεὶς ἐκ παραινέσεως τοῦ Νέσσου κατεσκευασμένῳ, πειθοῦς δὲ πέπλῳ εἶπεν, ὅτι γέγονεν ἐπὶ τῷ μεταπεισθῆναι τὴν Ἡρακλέους γνώμην ἐπὶ τὴν Δηϊάνειραν. Ἢ πανάμερος, εὐμενὴς ἐν τῇ αὐτῇ ἡμέρᾳ ἔλθοι εἰς ἔρωτα τῆς γυναικὸς διὰ τὸ τοῦ Νέσσου φάρμακον.

674. Παγχρίστῳ] λείπει τῷ πέπλῳ. ἤγουν τῷ χρισθέντι πέπλῳ συγκεκραμένος, καὶ ἁρμοσθεὶς τῇ πειθοῖ τοῦ θηρός.

676. Μὴ περαιτέρω] ὑπὲρ τὴν συμφέρουσαν χρείαν, καὶ πλεῖον τοῦ συμφέροντος.

682. Μάλιστα

ΧΟΡ. Τί δ' ἐςὶ, Δηϊάνειρα, τέκνον Οἰνέως;
ΔΗΙ. Οὐκ οἶδ'· ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
Κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
ΧΟΡ. Οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
ΔΗΙ. Μάλιςά γ'· ὥςτε μήποτ' ἂν προθυμίαν
Ἄδηλον ἔργου τῳ παραινέσαι λαϐεῖν.
ΧΟΡ. Δίδαξον, εἰ διδακτὸν ἐξ ὅτϐ φοϐῇ.
ΔΗΙ. Τοιϐτον ἐκϐέϐηκεν, οἷον ἂν φράσω,
Γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιςον παθεῖν *.
Ὧ, γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
Ἔχριον, ἀργῆτ' οἰὸς εὐείρῳ πόκῳ,
Τϐτ' ἠφάνιςαι διάϐορον πρὸς ϐδενὸς
Τῶν ἔνδον, ἀλλ' ἐδεςὸν ἐξ αὑτϐ φθίνει,
Καὶ ψῇ κατ' ἄκρας σπιλάδος; ὡς δ' εἰδῇς ἅπαν
Ἧ, τϐτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
Ἐγὼ γὰρ, ὧν ὁ θήρ με Κένταυρος, πονῶν
Πλευρὰν πικρᾷ γλωχῖνι, προὐδιδάξατο,
Παρῆκα θεσμῶν οὐδὲν, ἀλλ' ἐσωζόμην
Χαλκῆς ὅπως δύςνιπτον ἐκ δέλτϐ γραφήν.

* Aldus, μαθεῖν.

682. Μάλιςά γ' ὥςτε] μὴ ἕνεκα ὧν ἀπέςαλκας δωρημάτων τῷ Ἡρακλεῖ, ἀθυμεῖς; ναὶ (φησὶ) περὶ τϐτϐ φοϐϐμαι ϐτως ὥςτε μηδέποτε παραινέσαι τινὶ ἀδήλϐ πράγματος προθυμίαν λαϐεῖν. ὅ ἐςιν, ἀδήλῳ πράγματι ἐπιχειρεῖ.

686. Θαῦμ' ἀνέλπιςον] θαυμαςὸν καὶ οἷον οὐκ ἄν τις ἐλπίζοι μαθεῖν καὶ παθεῖν.

691. Κατ' ἄκρας σπιλάδος] σπιλὰς ἡ πέτρα. ὡς ϐν ἐπὶ λίθϐ θεμένη αὐτὸ, τϐτο (φησὶ) κατατήκεται καὶ ῥεῖ καὶ διαλύεται ἀπὸ τϐ λίθϐ διαῤῥέον.

Ib. Ὡς δ' εἰδῇς ἅπαν] ὅπως γνῶς ἀκριϐῶς ὅλον τὸ πρᾶγμα, εἰς μῆκος ἁπλώσω τὸν λόγον.

Ib. Καὶ ψῇ] ἤγϐν διεφθάρη, ἔκλινεν, ἐκ μεταφορᾶς τῶν ψηνῶν, ἤτοι τῶν κλάδων.

693. Ἐγὼ γὰρ, ὧν ὁ θήρ με] ὧν εἶπέ μοι ὁ Νέσσος ὅτε τὴν πλευρὰν ἤλγει τῷ βέλει τρωθείς. γλωχῖνι δὲ, ἀπὸ μέρϐς τῷ βέλει· γλωχὶν γὰρ ἡ ἀκίς. ὃ λέγει ὁ Ὅμηρος ὄγκον.

695. Παρῆκα θεσμῶν ϐδὲν] λείπει ἄπρακτον.

Ib. Ἀλλ' ἐσωζόμην] ἀντὶ τϐ ἔσωσα καὶ ἐφύλαξα. διεφύλαξα ϐν ὅσα μοι παρήγγειλεν ὡσανεὶ ἐν δέλτῳ χαλκῇ ταῦτα ἔχϐσα ἐγκεχαραγμένα. δύςνιπτον δὲ, ἀντὶ τϐ δυςαπάλειπτον.

Καί μοι τάδ' ἦν πρόῤῥητα, καὶ τοιαῦτ' ἔδρων·
Τὸ φάρμακον τοῦτ' ἄπυρον, ἀκτῖνός τ' ἀεὶ
Θέρμης ἄθικτον ἐν μυχοῖς σώζειν ἐμὲ,
Ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
Κἄδρων τοιαῦτα· νῦν δ' ὅτ' ἦν ἐργαστέον,
Ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
Μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην·
Κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
Κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
Εἴσω δ' ἀποστείχουσα, δέρκομαι φάτιν
Ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
Τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
Τῆς οἰὸς, ᾧ προὔχριον, ἐς μέσην φλόγα
Ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
Ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονὶ,
Μορφῇ μάλιστ' εἰκαστὸν, ὥστε πρίονος
Ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
Τοιόνδε κεῖται προπετές· ἐκ δὲ γῆς ὅθεν
Προὔκειτ', ἀναζέουσι θρομβώδεις ἀφροὶ,

697. Πρόῤῥητα] πρὸς ἐμὲ ὑπὸ Νέσσου προειρημένα, ἢ προμεμελετημένα μοι. ἢ ἀπόῤῥητα.

699. Θέρμης ἄθικτον] ἀντὶ τοῦ ἀπροσπέλαστον πυρὸς, καὶ ἡλιακῆς ἀκτῖνος.

700. Ἀρτίχριστον] παραυτὰ χριόμενον.

701. Νῦν δ' ὅτ' ἦν ἐργαστέον] νῦν δ' ὅτε ἐπέστη ὁ καιρὸς τοῦ χρίσαι, ἔχρισα μαλλὸν ἐρίου.

703. Κτησίου βοτοῦ λάχνην] ἀπὸ κτητοῦ προβάτου τὸν μαλλὸν σπάσασα, ἤγουν ἐν οἴκῳ τρεφομένου. κτήνη δὲ τὰ πρόβατα λέγονται καὶ βοτά.

704. Ἀλαμπὲς ἡλίου] μὴ καταυγασθέν.

705. Κοίλῳ ζυγάστρῳ] ἀντὶ τοῦ, εἰς ξύλινον σοφὸν, τουτέστι κιβωτόν.

707. Ἄφραστον] ἀφανὲς, ἀνεκδιήγητον. ἀξύμβλητον δὲ, ἀσυνείκαστον πρὸς τὸ μαθεῖν ἀνθρώπῳ. ἢ ἀντὶ τοῦ ἀπαράβλητον. οἷον οὐκ ἔχον ἄλλῳ παραβληθῆναι, ὥστε πιστεῦσαι καὶ μαθεῖν τὸν ἀκούοντα.

708. Τὸ γὰρ κάταγμα] τὸ γὰρ ἔριον τοῦ προβάτου, μετὰ τὸ χρίσαι τὸν πέπλον, ἔῤῥιψα εἰς τόπον βαλλόμενον, καὶ πυρούμενον ὑπὸ τοῦ ἡλίου. τὴν γὰρ αὐγὴν, ἀκτῖνα ἡλιῶτιν εἶπεν.

Ib. Τὸ κάταγμα] τὸ αἴγειον μήρυμα.

710. Ὡς δ' ἐθάλπετο] ὡς δὲ ἐθερμάνθη, ὑπέῤῥευσεν, ἀφανῶς λέλυται.

712. Πρίονος ἐκβρώματα] ἐοικὸς πρίσματι ξύλου, θαυμαστῶς δὲ βρώματα πρίονος εἶπε τὰ πρίσματα. τρόπον γάρ τινα ἐσθίων τὸ ξύλον ὁ πρίων, ἐκεῖνο τὸ λεπτὸν ἀποβάλλει.

714. Προπετές] ἐῤῥιμένον καὶ προπεσὸν χαμαί.

715. Ἀναζέουσιν] ἀνακαχλάζουσι.

Ib. Θρομβώδεις

Γλαυκῆς ὀπώρας ὥςτε πίονος ποτȣ̃
Χυθέντος εἰς γῆν Βακχείας ἀπ᾿ ἀμπέλȣ·
Ὥςτ᾿ ȣ̓κ ἔχω τάλαινα ποῖ γνώμης πέσω.
Ὁρῶ δέ μ᾿ ἔργον δεινὸν ἐξειργασμένην.
Πόθεν γὰρ ἄν ποτ᾿, ἀντὶ τȣ̃ θνήσκων ὁ θὴρ
Ἐμοὶ παρέσχ᾿ εὔνοιαν, ἧς ἔθνησχ᾿ ὕπερ;
Οὐκ ἔςιν· ἀλλὰ τὸν βαλόντ᾿ ἀποφθίσαι
Χρῄζων ἔθελγέ μ᾿· ὧν ἐγὼ μεθύςερον,
Ὅτ᾿ ȣ̓κέτ᾿ ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
Μόνη γὰρ αὐτὸν, εἴ τι μὴ ψευσθήσομαι
Γνώμης, ἐγὼ δύςτηνος ἐξαποφθερῶ.
Τὸν γὰρ βαλόντ᾿ ἄτρακτον οἶδα, καὶ θεὸν
Χείρωνα πημήναντα· χ,᾿ ὥσαπερ ἂν θίγῃ,
Φθείρει τὰ πάντα κνώδαλ᾿· ἐκ δὲ τȣ̃δ᾿ ὅδε
Σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας,
Πῶς ȣ̓κ ὀλεῖ καὶ τόνδε; δόξει γοῦν ἐμοί,
Καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
Ταύτῃ σὺν ὁρμῇ* κἀμὲ συνθανεῖν ἅμα·
" Ζῆν γὰρ κακῶς κλύȣσαν ȣ̓κ ἀνασχετὸν,

* Ald. Turn. in marg. ὀργῇ.

Ib. Θρομβώδεις ἀφροὶ] ἐπηρμένοι· θρόμβος γὰρ ὁ ὄγκος, ἢ περιφερῆ φυσήματα.

716. Γλαυκῆς ὀπώρας] τȣ̃ γλεύκȣς τȣ̃ ἀρτίως ἐκπιεσθέντος καὶ νέȣ. μάλιςα δὲ ὁ νέος οἶνος, θερμὸς ὢν, εἰ πέσοι χαμαὶ, ἀφρίζει. Γλαυκὴν δὲ ὀπώραν τὸν νέον οἶνον εἶπε, διὰ τὴν λαμπρότητα.

721. Ἧς ἔθνησχ᾿ ὕπερ] ὑπὲρ ἧς, ὑφ᾿ ἧς, δι᾿ ἥν.

722. Τὸν βαλόντα] τὸν τοξεύσαντα.

723. Ὧν ἐγὼ μεθύςερον] ὧν τῶν εἰρημένων μοι ὑπ᾿ ἐκείνȣ νῦν τὴν γνῶσιν μανθάνω, ὅτε ȣ̓κ ἔτι με ὠφελεῖ.

724. Οὐκέτ᾿ ἄρκει] ὠφελεῖ. Ὅμηρος
" Ἄρκιον ἐσεῖται."

725, 726. Εἴ τι μὴ ψευσθήσομαι—Γνώμης] εἰ μὴ διαμάρτοιμι τῆς γνώμης, ἣν ἔχȣσα περὶ αὐτȣ̃ τυγχάνω.

728. Χ,᾿ ὥσαπερ ἂν θίγῃ] καὶ ὅσα ἂν θίγῃ τȣ̃ Ἡρακλείȣ βέλȣς, εἴτε ἄνθρωπος, εἴτε θηρία, ἀπόλλυται.

729. Ἐκ δὲ τȣ̃δε] τȣ̃ Νέσσȣ· ἀντὶ τȣ̃ διὰ τȣ̃ Νέσσȣ.

732. Καίτοι δέδοκται] κἀγὼ (φησὶν) ἀποθανεῖν βȣλήσομαι· ἵνα μὴ δόξω πονηρίᾳ ἀνῃρηκέναι τὸν Ἡρακλέα, ἀλλ᾿ ἀκουσίῳ γνώμῃ.

733. Ταύτῃ σὺν ὀργῇ] τȣ́τῳ τῷ τρόπῳ, τȣτέςι διὰ τȣ̃ πέπλȣ.

734. Ζῆν γὰρ κακῶς] γυναῖκα γὰρ κακοδόξȣ̃σαν,

" Ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι."
ΧΟΡ. Ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει·
" Τὴν δ' ἐλπίδ' ȣ̓ χρὴ τῆς τύχης κρίνειν πάρος."
ΔΗΙ. Οὐκ ἔςιν ἐν τοῖς μὴ καλοῖς βȣλεύμασιν
Οὐδ' ἐλπὶς ἥτις καὶ θράσος τὶ προξενεῖ.
ΧΟΡ. Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκȣσίας
Ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
ΔΗΙ. Τοιαῦτα δ' ἂν λέξειεν ȣ̓χ ὁ τȣ̃ κακȣ̃
Κοινωνὸς, ἀλλ' ᾧ μηδέν ἐς' οἴκοις βαρύ.
ΧΟΡ. Σιγᾷν ἂν ἁρμόζοι σὲ τὸν πλείω χρόνον *,
Εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
Πάρεςι μαςὴρ πατρὸς, ὃς πρὶν ᾤχετο.
ΥΛΛ. Ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
Ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
Ἄλλȣ κεκλῆσθαι μητέρα σ', ἢ λῷȣς φρένας
Τῶν νῦν παρȣσῶν τῶνδ' ἀμείψασθαί ποθεν;
ΔΗΙ. Τί δ' ἐςὶν, ὦ παῖ, πρός γ' ἐμȣ̃ ςυγȣ́μενον;
ΥΛΛ. Τὸν ἄνδρα τὸν σὸν ἴσθι (τὸν δ' ἐμὸν λέγω
Πατέρα) κατακτείνασα τῆδ' ἐν ἡμέρᾳ.
ΔΗΙ. Οἴμοι· τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;

* Turn. in marg. λόγον.

ξȣ̃σαν ȣ̓ δεῖ ζῆν, ἥτις μὴ θέλῃ δοκεῖν ἐκ φύσεως εἶναι κακή.

736. Ταρβεῖν μὲν ἔργα] ἀνάγκη μὲν εὐλαβεῖσθαι τὰ δεινὰ ἔργα· ȣ̓ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως καὶ τῶν συμβησομένων αἱρεῖσθαι τὰ δεινά.

738. Οὐκ ἔςιν ἐν τοῖς] ἐν τοῖς πονηροῖς βȣλεύμασιν ȣ̓δ' ὑπολείπεται χρηςὴ ἐλπὶς, ἥτις παρέχει πεποίθησιν καὶ θάρσος· ἀντὶ τȣ̃ δύςελπίς εἰμι, πρὸς ὃ ἐπάγει.

740. Ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι] τοῖς ἀκȣσίως σφαλεῖσιν ἡ ἐπαγομένη ὀργὴ, πεπεμμένη ἐςὶ καὶ πραεῖα καὶ συγγνωςή· ἧς σε δίκαιον τυγχάνειν παρὰ τȣ̃ Ἡρακλέȣς· ἄκȣσα γὰρ ἥμαρτες.

742. Οὐχ ὁ τȣ̃ κακȣ̃ κοινωνὸς] ὁ μὴ δυςτυχῶν τοιαῦτα ἂν εἴποι.

744. Σιγᾷν ἂν ἁρμόζοι σε τὸν πλείω χρόνον] γράφεται λόγον· πρέποι σοι λοιπὸν σιωπᾷν, καὶ μηκέτι περὶ τȣ́τȣ πλείω λέγειν, εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ, μέλλεις ἐρεῖν παραγιγνομένῳ ἤδη.

749. Ἄλλȣ μητέρα] αἰσχύνομαι γὰρ ἐπὶ σοί.

751. Στυγȣ́μενον] λυπηρὸν καὶ μίσȣς ἄξιον.

ΥΛΛ. Ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· “ τὸ γὰρ
“ Φανθὲν τίς ἂν δύναιτ᾽ ἀγέννητον ποιεῖν ;”
ΔΗΙ. Πῶς εἶπας, ὦ παῖ ; τοῦ παρ᾽ ἀνθρώπων μαθὼν
Ἄζηλον οὕτως ἔργον εἰργάσθαί με φής ;
ΥΛΛ. Αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασι
Πατρὸς δεδορκὼς, καὶ κατὰ γλῶσσαν κλύων.
ΔΗΙ. Ποῦ δ᾽ ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι ;
ΥΛΛ. Εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
Ὅθ᾽ εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
Νίκης ἄγων τρόπαια, κἀκροθίνια,
Ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν ; ἔνθα πατρῴῳ Διῒ
Βωμοὺς ὁρίζει, τεμενίαν τε φυλλάδα·
Οὗ νιν τὰ πρῶτ᾽ ἐσεῖδον ἄσμενος πόθῳ.
Μέλλοντι δ᾽ αὐτῷ πολυθύτους τεύχειν σφαγὰς,
Κήρυξ ἀπ᾽ οἴκων ἵκετ᾽ οἰκεῖος Λίχας
Τὸ σὸν φέρων δώρημα θανάσιμον πέπλον·
Ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προὐξεφίεσο,
Ταυροκτονεῖ μὲν δώδεκ᾽ ἐντελεῖς ἔχων
Λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ᾽ ὁμοῦ
Ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
Καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ
Κόσμῳ τε χαίρων τῇ στολῇ κατηύχετο·

755. Τὸ γὰρ φανθὲν] τὸ ἅπαξ πραχθὲν, καὶ ἐπὶ πέρας ἐλθὼν, πῶς ἄν τις μὴ γενέσθαι ποιήσειε ; καὶ Πίνδαρος· “ Τῶν δὲ πεπραγμέ-“ νων ἀποίητον οὐδ᾽ ἂν χρόνος ὁ πάντων πατὴρ “ δύναιτο θέμεν ἔργων τέλος.”

758. Ἄζηλον] φαῦλον ὃ οὐδεὶς ζηλώσειεν.

759. Αὐτὸς βαρεῖαν ξυμφορὰν] τὰ μὲν ἑώρακα πάσχοντος, τὰ δὲ ἀνοιμώζοντος ἤκουσα κατὰ τὴν γλῶσσαν ὅ ἐστι κατὰ στόμα αὐτοῦ ἱστάμενος καὶ οὐ πόῤῥω, τουτέστιν ἔμπροσθεν αὐτοῦ, ὅμοιον τῷ, κατὰ στόμα αὐτῷ ἀπήντησε.

761. Ποῦ δ᾽ ἐμπελάζεις] προσπελάζεις.

Ib. Παρίστασαι] πλησίον γέγονας.

763. Ὅθ᾽ εἷρπε] καινοπρεπὴς ἡ φράσις, ἦλθεν εἰς τὴν Εὔβοιαν, ἧς ἀκρωτήριόν ἐστι τὸ Κήναιον.

767. Τεμενίαν τε φυλλάδα] τὸν ἀπὸ τῶν τεμενῶν στέφανον. ἢ τέμενος πολύφυλλον.

772. Ὡς σὺ προὐξεφίεσο] ὡς σὺ ἐνετείλω.

776. Δείλαιος, ἵλεῳ φρενὶ] ὁ Ἡρακλῆς ἱλαρᾷ τῇ φρενὶ κατηύξατό σοι χαίρων ἐπὶ τῷ πέπλῳ.

778. Ὅπως

Ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
Φλὸξ αἱματηρὰ, κἀπὸ πιείρας δρυὸς
Ἱδρὼς ἀνίει χρωτὶ, καὶ προσπτύσσετο
Πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,
Χιτὼν ἅπαν κατ᾽ ἄρθρον· ἦλθε δ᾽ ὀστέων
Ὀδαγμὸς ἀντίσπαστος· εἶτα φοινίας
Ἐχθρᾶς ἐχίδνης ἰὸς ὣς ἐδαίνυτο,
Ἐνταῦθα δὴ βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
Ποίαις ἐνέγκοι τόνδε μηχαναῖς πέπλον.
Ὁ δ᾽ οὐδὲν εἰδὼς δύσμορος, τὸ σὸν μόνης
Δώρημ᾽ ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον·
Κἀκεῖνος ὡς ἤκουσε, καὶ διώδυνος
Σπαραγμὸς αὐτοῦ πνευμόνων ἀνθήψατο,
Μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
Ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν.
Κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει μέσου
Κρατὸς διασπαρέντος, αἵματός θ᾽ ὁμοῦ.

778. Ὅπως δὲ σεμνῶν ὀργίων] ὅτι δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς ἀνίει περὶ τὸ σῶμα αὐτοῦ.

779. Φλὸξ αἱματηρὰ] αἱματηρὰ ὅτι ἐκ τοῦ αἵματος τῶν ἱερείων συνίσταται.

Ib. Κἀπὸ πιείρας δρυὸς] λιπαροῦ ξύλου· δρῦν γὰρ λέγουσι πᾶν δένδρον.

781. Πλευραῖσιν ἀρτίκολλος] ὡς ὑπὸ τέκτονος καλῶς συγκεκολλημένος· τὸ δ᾽ ἑξῆς, καὶ προσκολλητὸς ὁ χιτὼν κατὰ πᾶν μέρος, ὡς ἂν ξύλῳ παρὰ κόλλα ὑπὸ τέκτονος προσείη χρισθεῖσα.

783. Ὀδαγμὸς ἀντίσπαστος] κνησμός· ὀδήξασθαι γὰρ τὸ κνήσασθαι. ἀντίσπαστος δὲ, ἴσος σπασμῷ, ἢ μετὰ σπασμοῦ.

Ib. Ἐχθρᾶς ἐχίδνης] τυφῶνος μὲν γὰρ καὶ ἐχίδνης ἡ ὕδρα.

Ib. Ἰὸς ὣς ἐδαίνυτο] ὡς κατήσθιεν αὐτὸν ὁ ἰός.

788. Τὸ σὸν μόνης δώρημ᾽ ἔλεξεν] εἶπεν ὅτι σὺ αὐτῷ προσήγαγες τὸν πέπλον, ὡς ἦν ἀπεσταλμένος ὑπὸ σοῦ καὶ οὐκ αὐτὸς ἦν ἀφ᾽ ἑαυτοῦ πανουργήσας.

792. Μάρψας ποδός νιν] δραξάμενος τοῦ ποδὸς τοῦ Λίχα κατ᾽ ἐκεῖνο τὸ μέρος ἔνθα δεσμεῖται τὸ ἄρθρον. λέγει δὲ τὸ περὶ τὸν ἀστράγαλον μέρος, ᾧ εἰώθαμεν δεσμεῖν τὸ ὑπόδημα, ἤ τι τοιοῦτον.

Ib. Ἧ λυγίζεται] ἁρμόζεται, κάμπτεται, συστρέφεται· ὅπου ἐστὶν ὁ δεσμὸς τῶν νεύρων, ἔνθα ὑποδεσμούμεθα. εἴρηται δὲ ἀπὸ τῶν λύγων· εὐέλικτον γὰρ τὸ φυτὸν νέον ὄν. Ὅμηρος·

" Δίδη μόσχοισι λύγοισιν."

793. Ἀμφίκλυστον] τὴν ἐκ τοῦ πόντου ἀμφοτέρωθεν κλυζομένην.

794. Κόμης δὲ λευκὸν μυελὸν] διὰ δὲ τῆς

κόμης

Ἅπας δ᾽ ἀνευφώνησεν οἰμωγῇ λεὼς,
Τῦ μὲν νοσοῦντος, τῦ δὲ διαπεπραγμένυ.
Κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν·
Ἐσπᾶτο γὰρ πέδονδε, καὶ μετάρσιος
Βοῶν, ἰύζων· ἀμφὶ δ᾽ ἐκτύπυν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες, Εὐβοίας τ᾽ ἄκραι.
Ἐπεὶ δ᾽ ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
Ῥίπτων ἑαυτὸν, πολλὰ δ᾽ οἰμωγῇ βοῶν,
Τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος *
Σῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον,
Οἷον κατακτήσαιτο λυμαντὴν βίυ·
Τότ᾽ ἐκ προσέδρυ λιγνύος διάστροφον
Ὀφθαλμὸν ἄρας, εἶδέ μ᾽ ἐν πολλῷ στρατῷ
Δακρυῤῥοῦντα· καί με προσβλέψας, κάλει,
Ὦ παῖ, πρόσελθε· μὴ φύγῃς τοὐμὸν κακὸν,
Μηδ᾽ εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί.
Ἀλλ᾽ ἆρον ἔξω· καὶ μάλιστα μὲν μέθες
Ἐνταῦθ᾽, ὅπυ με μήτις ὄψεται βροτῶν.

* Turn. in marg. ἐμματτύμενος.

κόμης τὸν ἐγκέφαλον ἐκραίνει κατὰ μέρος τῆς κεφαλῆς διασχισθείσης· ὅτι διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι.

796. Ἀνευφώνησεν] κατὰ τὸ ἐναντίον, ἀντὶ τῦ ἐστέναξε.

797. Τῦ μὲν νοσῦντος] τῦ Ἡρακλέυς νοσοῦντος, τῦ δὲ Λίχου ἤδη ἀνυσθέντος, ὅ ἐστι πεφονευμένυ.

799. Ἐσπᾶτο γὰρ] σπασμῷ γὰρ εἴληπτο κείμενος ἐπὶ τῆς γῆς.

801. Λοκρῶν ὄρειοι πρῶνες] Ὅμηρος·

" Λοκρῶν δ᾽ ἡγεμόνευεν Ὀϊλῆος ταχὺς
" Αἴας,
" Λοκρῶν οἳ ναίυσι πέραν ἱερῆς Εὐβοίης."

802. Ἐπεὶ δ᾽ ἀπεῖπεν] ἀπέκαμεν, ἀπηγόρευσεν ἑαυτὸν, ὑπερκέκμηκε, ἀπείρηκε, πρὸς τὰς ὀδύνας ἐπὶ γῆς κυλιόμενος.

804. Ἐνδατύμενος] σφοδρῶς λοιδορῶν· μεμφόμενος. κατὰ μέρος τῶν λεγομένων ἀνακαλῶν. ἐνδατεῖσθαι γὰρ τὸ μερίσασθαι· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δαινυμένων. ἐνδατεῖσθαι γὰρ τὸ σφοδρῶς ἐσθίειν. Ἄλλως· ἐνδατύμενος νῦν σφόδρα κακῶς λέγων, δυσφημῶν, συνεχῶς μεμφόμενος, ἐπαρώμενος. ἔνιοι δὲ γράφυσιν ἐμματτύμενος, ἀντὶ τῦ ἔσχε.

807. Τοτ᾽ ἐκ προσέδρυ] ὅτε ἀπεῖπε καὶ ἐπαύσατο καὶ ἀπέκαμε κυλιόμενος, τότε ἀνατείνας τὸν ὀφθαλμὸν διὰ τῆς κεχυμένης τῦ σώματος λιγνύος, εἶδέ με δακρυῤῥῦντα. Λιγνύος δὲ, τῆς ὑποκειμένης καὶ περικεχυμένης αὐτῷ φλογώδυς νόσυ.

812. Ἀλλ᾽ ἆρον] προστακτικῶς.

Εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
Πόρθμευσον ὡς τάχιςα, μηδ' αὐτοῦ θάνω.
Τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
Θέντες σφὲ πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις,
Βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
Ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
Τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ' ἐμῷ
Καὶ δρῶσ' ἐλήφθης, ὧν τε ποίνιμος δίκη
Τίσαιτ' Ἐρινύς τ'· εἰ Θέμις δ', ἐπεύχομαι.
Θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες *,
Πάντων ἄριςον ἄνδρα τῶν ἐπὶ χθονὶ
Κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.

ΧΟΡ. Τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὅθ' οὕνεκα
Ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;

ΥΛΛ. Ἐᾶτ' ἀφέρπειν, οὖρος ὀφθαλμῶν ἐμῶν
Αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλός †.
Ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
Μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
Ἀλλ' ἑρπέτω χαίρουσα, τὴν δὲ τέρψιν, ἣν
Τῷ 'μῷ δίδωσι πατρὶ, τήνδ' αὐτὴ λάβοι.

* Turn. in textu, προύλαβες.  † Ald. καλῶς.

814. Εἰ δ' οἶκτον ἴσχεις] αἰσχύνεται γὰρ αὐτοῦ θανεῖν, μὴ ἐγγελασθῇ ὑπὸ τῶν Οἰχαλίων.

818. Βρυχώμενον] ἀνοιμώζοντα μεγάλως ἐκ τῶν σπασμῶν.

821. Ποίνιμος δίκη] ἡ τιμωρὸς, ἡ ποινὴν ἀπαιτοῦσα.

823. Θέμις δ', ἐπεί μοι τὴν θέμιν] θέμις δέ ἐςιν ἡμᾶς καταρᾶσθαί σοι, ἐπεὶ σὺ προτέρα τὴν θέμιν ἀπέῤῥιψας καὶ παρεῖδες, ἐὰν δὲ προύλαβες, ἀντὶ τοῦ, φθάσασα τὴν θέμιν καὶ οὐκ ἐξεδέξω, ἕως τὶ κατὰ τὸ δίκαιον πράξῃς. γράφεται καὶ προὔβαλες.

826. Τί σῖγ' ἀφέρπεις] σῖγα ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ σιωπηλῶς. τουτέςι, διὰ τί οὐδὲν ἀποκρίνῃ πρὸς τὸν Ὕλλον;

827. Ξυνηγορεῖς] συνᾴδεις.

Ib. Οὖρος ὀφθαλμῶν ἐμῶν] εἴθε οὖρος καλὸς ἐπιπνεύσοι αὐτῇ ἀπιούσῃ, ἵνα μηκέτι αὐτὴν ἴδοιμι. τροπικῶς δὲ τὸ οὖρος ὡς ἐπὶ νεὼς, ἀντὶ τοῦ οὐριοδρομείτω.

830. Ὄγκον γὰρ ἄλλως ὀνόματος] τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὀνόματι, οὐδὲν ἄξιον αὐτῆς διαπραξαμένης ὧν ἡ φύσις καὶ ὁ θεσμὸς ἀπῄτει;

Ib. Τρέφειν] ἀντὶ τοῦ ἔχειν.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

ΧΟΡ. Ἴδ' οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ
Τοὔπος τὸ θεοπρόπον ἡμῖν
Τᾶς παλαιφάτȣ * προνοίας,
Ὅ,ττ' † ἔλακεν· ὁπότε τελεόμηνος ἐκφέροι
Δωδέκατός τ' ἄροτος ‡, ἀναδοχὰν τελεῖν πόνων
Τῷ Διὸς αὐτόπαιδι, καὶ τάδ' ὀρθῶς
Ἔμπεδα κατȣρίζει.
Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων,
Ἔτι ποτ' § ἔτ' ἐπίπονον ἔχοι
Θανὼν λατρείαν;

### ΑΝΤΙΣΤΡΟΦΗ Α.

Εἰ γάρ σφε κενταύρȣ φονία ‖ νεφέλα
Χρίει δολοποιὸς ἀνάγκα,
Πλευρᾷ προστακέντος ἰȣ̃,

* TURN. in marg. παλαφοίβȣ. † TURN. Ὅττ'.
‡ ALD. Δωδέκατος ἄροτος. § ALD. Ἔτι ποτὲ. ‖ ALD. φοινία.

834. Ἴδ' οἷον, ὦ παῖδες] ὁ Χορὸς πρὸς ἀλλήλας διαλέγεται περὶ τȣ̃ δεδομένȣ μαντείȣ τῷ Ἡρακλεῖ ἐν τῇ Δωδώνῃ, ὅτι νῦν ἀπέβη. τὸ δὲ οἷον ἀντὶ τȣ̃ οἵως. οἷον, ὁρᾶτε, ὦ φίλαι, οἵως ἡμῖν ἀθρόως συνέπεσε, καὶ εἰς οἷον κακὸν ἀπέβη τὸ ἔπος τὸ ἐκ τȣ̃ μαντείου πάλαι χρησθέν. προσέμιξε δὲ, ἀντὶ τȣ̃ προσεῤῥάγη ὀξέως.

836. Τᾶς παλαιφάτȣ προνοίας] γράφεται παλαιφοίβȣ. ἵν' ᾖ, τῆς πάλαι μαντευσαμένης· φοιβᾶσθαι γὰρ τὸ μαντεύεσθαι.

837. Ὅτ' ἔλακεν] ὅπερ ἐφθέγξατο, ἐπειδὰν ἐνιαυτὸς παρέλθοι, τότε διαδοχὴν γενέσθαι τῶν πόνων τῷ Ἡρακλεῖ τῷ Διὸς παιδί. ἀναδοχὰν δὲ, ἀνάπαυσιν, ἀνακωχὴν, διαδοχήν.

Ib. Τελεόμηνος ἐκφέροι] ὁ ἐνιαυτὸς ὁ τέλειον ἔχων τὸ δωδεκάμηνον. ὁμοίως δὲ καὶ ἄροτος ὁ ἐνιαυτὸς, ἀπὸ τȣ̃ ἅπαξ κατ' ἐνιαυτὸν ἀρȣ̃ν.

839. Αὐτόπαιδι] γνησίῳ παιδί. Καὶ τάδ' ὀρθῶς] ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. τροπικῶς δὲ κατουρίζει, ἀντὶ τȣ̃, ὥσπερ ȣ̓ρίῳ πνεύματι προσορμίζει ἡμῖν κατ' ὀρθὸν ἀνυόμενα.

840. Κατȣρίζει] προσπνεῖ.

841. Πῶς γὰρ ἂν ὁ μὴ λεύσσων] πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς, παρὰ Εὐρυσθέως κελεύοιτο;

844. Εἰ γάρ σφε κενταύρȣ] εἰ γὰρ αὐτὸν τὸν Ἡρακλέα τὸ αἷμα τὸ θανάσιμον τȣ̃ κενταύρȣ περιέχει, τῇ πλευρᾷ προστακέντος ἰȣ̃, πῶς ἂν ἕτερον ἥλιον ἢ τανῦν ἴδοι;

845. Χρίει δολοποιὸς] χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἡ ἀνάγκη, ὡς τῆς Δηϊανείρας μετὰ δόλȣ τεχνησαμένης τȣ̃το· ἠνάγκασαι γὰρ ὑπὸ ζήλȣ δι' ȣ̃ ἦρα τὸν δόλον τεχνάσασθαι.

Ὃν τέκετο θάνατος, ἔτεκε δ' αἰόλος δράκων,
Πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
Δεινοτάτῳ μὲν Ὕδρας προστετακὼς
Φάσματι· μελαγχαίτα
Τ' ἄμμιγά νιν αἰκίζει
Νέσσου γ' ὕπο δολόμυθα κέντρα *
Ἐπιζέσαντα.

ΣΤΡΟΦΗ Β.

Ὧν ἅδ' ἁ τλάμων ἄοκνον
Μεγάλαν προσορῶσα δόμοισι † βλάβαν
Νέων αἰσσόντων γάμων,
Τὰ μὲν ἔτι προσέβαλε, τὰ δ' ἀπ' ἀλλοθρόου

* ALD. Νέσσου θ' ὕπο, φοίνια δολόμυθα κέντρ'. † ALD. δόμοις.

847. Ὃν τέκετο θάνατος] τοῦτον τὸν ἰὸν ἐγέννησεν ὁ αἰόλος δράκων, μᾶλλον δὲ ὁ θάνατος.

849. Προστετακῶς φάσματι] προσκεκολλημένος τῷ ἰῷ τῆς Ὕδρας. τοῦτο δὲ καθ' ἑαυτό· αἰτιατικὴν γὰρ ἐπιφέρει. Ἄλλως· Προσκεκολλημένος τῷ ἰῷ, ἢ τῷ ὀλεθρίῳ, παρὰ τὸ πεφονεῦσθαι τῷ φάσματι. τουτέστι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ φαρμάκῳ τῆς Ὕδρας, τουτέστι τῇ χολῇ.

850. Μελαγχαίτα τ' ἄμμιγα] τοῦ δασυτρίχου· καὶ ἅμα τῷ φάσματι τῆς Ὕδρας, καὶ τὰ κέντρα τοῦ Νέσσου αἰκίζει αὐτόν. δῆλον δ' ὅτι φόνια τὰ κέντρα τοῦ Νέσσου εἰσί. λέγει δὲ τὸ αἷμα αὐτοῦ τὸ συμμεμιγμένον τῇ χολῇ τῆς Ὕδρας.

852. Φοίνια δολόμυθα] δολόμυθα κέντρα φησὶν ὅτι τοῖς δολίοις τοῦ Νέσσου λόγοις ἀπατηθεῖσα ταῦτα τετόλμηκεν. Ἄλλως· φοίνια δολόμυθα. τὰ δόλια φάρμακα. καὶ γὰρ ἕτερά τινα ἐκέλευσεν αὐτῇ συμμίξαι τῷ αἵματι, ὡς ὀπίσω εἶπεν.

853. Ἐπιζέσαντα] ἐπιχυθέντα, ἀνακαχλάσαντα ἀπὸ τῆς θέρμης τοῦ πυρός.

854. Ὧν ἅδ' ἁ τλάμων] ὧν τὴν βλάβην μεγάλην ὁρῶσα ἡ Δηϊάνειρα καὶ ταχεῖαν τοῖς οἴκοις συμβᾶσαν, αὐτὴν μὲν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐκ κατασκευῆς δὲ τῆς Νέσσου καὶ τῆς τούτου φωνῆς γενομένην, ὡς δῆθεν ἐπὶ τῷ διαλλάττειν αὐτῇ τὸν Ἡρακλέα λίαν, ὀδύρεται καὶ στένει. Ἄλλως· Ὧν ἅδ' ἁ τλάμων. τῶν νεωστὶ δρωμένων, καὶ εἰς τὴν ἀμέλλητον βλάβην συμβάντων τοῖς οἴκοις, ἡ Δηϊάνειρα τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὕτη οὐ συνεῖδεν, ἐπὶ τῷ διαλλάττειν τὸν Ἡρακλέα. Ἄοκνον δὲ, τὴν οἰκίαν καὶ ἀμέλλητον, ἢ πολύοκνον· ὅ ἐστι πολύφοβον. κατ' ἐπίτασιν δὲ τὸ α.

856. Νέων αἰσσόντων] νεωστὶ προσβαλλόντων.

Ib. Ἀϊσσόντων] συνίζησις.

857. Οὔτι προσέβαλον] οὐ συνῆκεν ἀπὸ τοῦ Νέσσου.

Ib. Τάδ' ἐπ' ἀλλοθρόου] ἀλλοφώνου, ὅτι ἀπὸ τῆς Νέσσου φωνῆς γέγονεν ἡ καθ' Ἡρακλέους συμφορά· ἢ τῆς ἄλλα εἰπούσης, καὶ μὴ τὰ ἀληθῆ· ἢ ἀλλοφώνου, ὡς ἠλλαγμένην τοῦ Νέσσου φωνὴν ἔχοντος.

Γνώμας μολόντ᾽ ὀλεθρίαισι* ξυναλλαγαῖς,
Ἤ πϑ ὀλοὰ ϛένει,
Ἤ πϑ ἀδινῶν χλωρὰν
Τέγγει δακρύων ἄχναν.
Ἁ δ᾽ ἐρχομένα
Μοῖρα προφαίνει δολίαν
Καὶ μεγάλαν ἄταν.

## ΑΝΤΙΣΤΡΟΦΗ Β.

Ἔῤῥωγεν παγὰ δακρύων.
Κέχυται νόσος. Ὦ πόποι, οἷον ἀναρ-
σίων ὄπω ἀγακλει-
τὸν Ἡρακλέ᾽† ἐπέμολε πάθος οἰκτίσαι.
Ἰὼ κελαινὰ λόγχα τϑ προμάχϑ δορὸς,

* Ald. ὀλεθρίαις. † Ald. Ἡρακλέϑς.

858. Ὀλεθρίαις ξυναλλαγαῖς] ἢ ὀλεθρίαις καὶ ἐπιβλαβέσι φιλίαις, ἢ ἐπεὶ ἀντὶ τϑ ἰδίϑ θανάτϑ ὁ Νέσσος ἀντήλλαξεν αὐτῇ τὸ αἷμα· ἢ ὅτι ὁ μὲν Νέσσος εἶπεν αὐτῇ πόθϑ καὶ διαλλαγῆς ἐργαϛήριον εἶναι τὸ φάρμακον, γέγονε δὲ ὄλεθρος Ἡρακλέϑς.

859. Ἤ πϑ ὀλοὰ ϛένει] ὀλοὰ ἡ δυϛυχὴς, ἢ ἡ τϑ ὀλέσθαι ἀξία, ὄντως δὲ ἡ ἀθλία καταϛάζει καὶ διαβρέχει πολλῶν δακρύων ἀφρόν· ἐμφατικὸν δὲ τὸ ἄχνα διὰ τὸ πλῆθος· χλωρὰν ϑν ἄχναν, τὸν νεαρὸν ἀφρόν.

860. Ἤ πϑ ἀδινῶν] ἀθρόων, ἢ πολυθρηνήτων.

861. Δακρύων ἄχναν] περιφραϛικῶς τὰ δάκρυα.

862. Ἁ δ᾽ ἐρχομένα μοῖρα] ἡ προσδοκωμένη κακομοιρία τϑ Ἡρακλέϑς ἐμφαίνει μεγάλην ἑτέραν ἄτην καὶ βλάβην. προσδοκῶσι δὲ ὅτι ἀπολλυμένϑ Ἡρακλέϑς αὐτόχειρ ἑαυτῆς γενήσεται.

Ib. Ἁ δ᾽ ἐρχομένα μοῖρα προφαίνει δολίαν] δόλῳ γὰρ αὐτὴν καὶ λάθρα ἀναιρήσει.

865. Ἔῤῥωγεν παγὰ δακρύων] ἀντὶ τϑ, πάρεϛιν ἡμῖν δακρύειν ὡς ἀπὸ πηγῆς κρϑνηδόν· ἐκτέταται γὰρ τὸ κακὸν, καὶ πανταχϑ διαβήσεται ἡ κατὰ τὸν Ἡρακλέα συμφορά.

866. Ὦ πόποι] φεῦ φεῦ, κακὴ φήμη γέγονε τῷ Ἡρακλεῖ, οἷον ϑδέποτε πολεμίοις ἀνοίκτιϛον σιωπηθήσεται· τὸ γὰρ οὔπω ἀντὶ τϑ ϑχί. ἢ ϑτως· οἷον κακὴ φήμη ϑδέποτε ὑπὸ τῶν ἐχθρῶν συνέβη τῷ Ἡρακλεῖ, τϑτο ἀπὸ τῶν ἰδίων αὐτῷ γεγένηται.

868. Ἀπέμολε πάθος] ἀντὶ τϑ ἀπομόλοι· οἷον ϑδέποτε ἀπὸ τῶν πολεμίων γένοιτο.

869. Ἰὼ κελαινὰ λόγχα] κελαινὴν εἶπε τὴν λόγχην διὰ τὸν ἐξ αὐτῆς ἀποτελϑμενον θάνατον. Μέλας δὲ ὁ θάνατος. δυϛφορεῖ δὲ ἐπὶ τῷ αἰχμάλωτον εἰλῆφθαι τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορά· λόγχα δὲ δορὸς, περιφραϛικῶς ἡ λόγχη. προμάχϑ δὲ, τϑ προβεβλημένϑ. τὸ δὲ λόγχα πρὸς τὸ αἷμα. ὁ δὲ λόγος, ὦ θανατοποιὲ λόχη, ἥτις τότε ἀνελϑσα τὸν Εὔρυτον, ἐνταῦθα τὴν Ἰόλην ἀπέπεμψας καὶ ἤγαγες ἐκ τῆς ὑψηλῆς Οἰχαλίας· ὡς εἴθε μή ποτε· τϑτέϛι, φεῦ τῆς λόγχης ἐκείνης ἐν ᾗ ἐπόρθησε τὴν Οἰχαλίαν ὁ Ἡρακλῆς, ἵνα ἐνέγκῃ

Ἃ τότε θοὰν νύμφαν
Ἄγαγες ἀπ' αἰπεινᾶς
Τάνδ' Οἰχαλίας αἰχμᾷ.
Ἁ δ' ἀμφίπολος
Κύπρις ἄναυδος φανερὰ
Τῶνδ' ἐφάνη πράκτωρ.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
Οἴκτȣ δ' οἴκων ἀρτίως ὁρμωμένȣ;
Τί φημί;
Ἠχεῖ τις ȣ̓κ ἄσημον, ἀλλὰ δυστυχῆ
Κωκυτὸν εἴσω, καί τι καινίζει ϛέγη.
Ξύνες δὲ
Τήνδ', ὡς ἀήθης καὶ συνωφρυωμένη
Χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανȣ̃σά* τι.
ΤΡΟ. Ὦ παῖδες, ὡς ἄρ' ἡμὶν ȣ̓ σμικρῶν κακῶν
Ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
ΧΟΡ. Τί δ', ὦ γεραιά, καινοποιηθὲν λέγεις;

* ALDUS, σημαίνȣσά.

τὴν Ἰόλην· διὰ γὰρ ταύτην ἡ συμφορὰ ἐγένετο. τὸ δὲ ἄρθρον τῇ λόγχῃ συναπτέον ἤ τις λόγχη.

Ib. Προμάχȣ δορὸς] τὸ προμάχȣ ἐπὶ τȣ̃ Ἡρακλέȣς ληπτέον οἷον τȣ̃ πρὸ πάντων μαχομένȣ. τὸ νύμφαν δὲ συναπτέον τῷ τάνδε.

870. Ἃ τότε θοὰν νύμφαν] ἀντὶ τȣ̃ θοῶς· τινὲς δὲ τὴν ταχέως νυμφευθεῖσαν.

871. Ἀπ' αἰπεινᾶς] ἀπὸ τῆς ἐν ὕψει κειμένης.

872. Αἰχμᾷ] νόμῳ πολέμȣ.

873. Ἁ δ' ἀμφίπολος Κύπρις] ἡ περὶ ταῦτα ϛρεφομένη Κύπρις, ἤγȣν ἡ ταῦτα οἰκονομȣ̃σα καὶ ὑπηρετησαμένη τῷ Ἡρακλεῖ πρὸς τὸν ἔρωτα. ὁ νȣ̃ς, ἡ δὲ Κύπρις ἄρα ἡ ἄναυδος σιωπωμένη, φανερῶς ἦν πάντων τȣ́των ἐργάτις, εἰς ἔρωτα Ἰόλης βαλȣ̃σα τὸν Ἡρακλέα.

875. Πράκτωρ] πρακτική.

876. Πότερον ἐγὼ μάταιος] ὁ Χορὸς τῆς τροφȣ̃ ἀκȣ́ων θρηνȣ́σης ἐπὶ τῷ θανάτῳ ἤτοι τῇ ἀναιρέσει τῆς Δηϊανείρας, φησὶ τȣ̃το. ἆρα ἀναίσθητός εἰμι; κατακȣ́ω θρήνȣ τινός.

879. Οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ] ȣ̓ μικρὸν, ἀλλὰ μέγα καὶ ἐξάκȣϛον. τȣ̃το δὲ ὡς ᾐσθημένη μείζονος βοῆς.

880. Καί τι καινίζει ϛέγη] ἔοικέ τι νεώτερον ἔχειν ὁ οἶκος.

881. Ξύνες δὲ] ἀλλήλαις παρακελεύονται αἱ ἀπὸ τȣ̃ Χορȣ̃. Ἄλλως· ξύνες δὲ, ἀντὶ τȣ̃ τῆσδε ἄκȣσον· παρὰ τὸ ἔθος γὰρ κατεϛυγνακυῖα πρόσεισι.

885. Τὸ πόμπιμον] τὸ πεμφθέν. λέγει δὲ τὸν χιτῶνα.

887. Βέβηκ'

ΤΡΟ. Βέβηκε Δηϊάνειρα τὴν πανυςάτην
'Οδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
ΧΟΡ. Οὐ δήποθ' ὡς θανοῦσα;
ΤΡΟ. Πάντ' ἀκήκοας.
ΧΟΡ. Τέθνηκεν ἡ τάλαινα;
ΤΡΟ. Δεύτερον κλύεις.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟΡ. Τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε * φής;
ΤΡΟ. Σχετλιώτατα πρός γε πρᾶξιν.
ΧΟΡ. Εἰπὲ τῷ μόρῳ, γύναι, ξυντρέχει.
ΤΡΟ. Αὐτὴν διηΐςωσε.
ΧΟΡ. Τίς θυμὸς, ἢ τίνες νόσοι;
ΤΡΟ. Τάνδ' αἰχμὰ βέλεος κακοῦ †
Ξυνεῖλε.
ΧΟΡ. Πῶς ἐμήσατο
Πρὸς θανάτῳ θάνατον
'Ανύσασα μόνα;
ΤΡΟ. Στονόεντος ἐντομᾷ σιδήρου.
ΧΟΡ. 'Επεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;

* ALD. σφιν. † TURN. in marg. Τάνδ' αἰχμὰν βέλος κακοῦ.

887. Βέβηκε Δηϊάνειρα] εἰς ᾅδου· οὐ τοῖς ποσὶ βεβηκυῖα· τὸ γὰρ σῶμα οὐκ ἄπεισιν εἰς ᾅδου.

889. Οὐ δήποθ' ὡς θανοῦσα] κατ' ἐρώτησιν· οὐχὶ ὡς θανοῦσα; βέβηκε δὲ, ἐπεὶ καὶ ζῶντά ἐςί που πορευθῆναι τινά.

894. Σχετλιώτατα] σχετλιώτατα ἦλθε πρὸς τὴν ἀναίρεσιν· τουτέςιν, ὡς ἄν τις ἰδὼν ἢ ἀκούσας σχετλιάσειε τὴν πρᾶξιν.

895. Εἰπὲ τῷ μόρῳ] τίνι θανάτῳ συνέπεσεν· ἀντὶ τοῦ, τίνι τρόπῳ ἐτελεύτησεν.

896. Αὐτὴν διηΐςωσεν] αὐτὴ ἑαυτὸν ἠφάνισεν· [ἀντὶ τοῦ, ἀφανῆ ἀπὸ τοῦ βίου] ἐποίησεν.

897. Τίς θυμὸς, ἢ τίνες νόσοι] τίνι θυμῷ χρησαμένη ἑαυτὴν ἀνεῖλεν; ἢ τίς θυμὸς (φησὶν) ἀνεῖλε τὴν Δηϊάνειραν;

899. Τάνδ' αἰχμὰ βέλεος κακοῦ] περίφρασις, τὸ βέλος· βέλος δὲ εἶπε τὴν Δηϊάνειραν, ὅτι τρόπον βέλος ἀνεῖλεν ἑαυτήν· ἢ, ἥτις, ὡς βέλος ἰοβόλον, μέγα κακὸν προσετρίψατο τῷ 'Ηρακλεῖ, μόνη τὸν θάνατον ἀνύσασα.

901. Πρὸς θανάτῳ θάνατον] τὸν ἑαυτῆς πρὸς τῷ τοῦ 'Ηρακλέους.

904. 'Επεῖδες, ὦ ματαία] τεθέασαι τὴν ἐκείνης τόλμαν. ἐκαρτέρησας ἰδεῖν τὴν ὠμότητα· οὕτως γὰρ εἶπε τὴν ὕβριν. καὶ νῦν δὲ τὸ ματαία κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ω μελέα. καὶ
"Ομηρος

ΤΡΟ. Ἐπεῖδον, ὡς δὴ πλησία παραςάτις.
ΧΟΡ. Τίς ἦν; πῶς; φέρ᾽ εἰπέ.
ΤΡΟ. Αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
ΧΟΡ. Τί φωνεῖς;
ΤΡΟ. Σαφηνῆ.
ΧΟΡ. Ἔτεκεν, ἔτεκεν μεγάλαν
῝Α νέορτος * ἅδε νύμφα
Δόμοισι τοῖσδ᾽ Ἐριννύν.

ΙΑΜΒΟΙ.

ΤΡΟ. Ἄγαν γε· μᾶλλον δ᾽ εἰ παρᾶσα πλησία
Ἔλευσας οἷ᾽ ἔδρασε, κάρτ᾽ ἂν ᾤκτισας.
ΧΟΡ. Καὶ ταῦτα γ᾽ ἔτλη χεὶρ † γυναικεία κτίσαι;
ΤΡΟ. Δεινῶς γε· πεύσῃ δ᾽ ὥςτε μαρτυρεῖν ἐμοί.
Ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
Καὶ παῖδ᾽ ἐν αὐλαῖς εἶδε κοῖλα ‡ δέμνια
Στροννύνθ᾽, ὅπως ἄψοῤῥον ἀντῴη πατρὶ,
Κρύψασ᾽ ἑαυτὴν ἔνθα μήτις εἰςίδοι,
Ἐβρυχᾶτο μὲν βωμοῖσι προςπίπτυσ᾽, ὅτι
Γένοιτ᾽ ἐρήμη, κλαῖε δ᾽ ὀργάνων ὅτυ

* ALD. TURN. in textu, ἀνέορτος. † TURN. Καὶ ταῦτ᾽ ἔτλη χείρ.
ALD. Καὶ ταῦτ᾽ ἔτλη τὶς χείρ. ‡ TURN. in marg. κοινὰ.

Ομηρος γὰρ τὸ μάταιον μέλεον καλεῖ. οὐ μέντοι μέλεος εἰρήσεται αἶνος.

906. Πῶς; φέρ᾽ εἰπέ] ἀντὶ τῦ, τίνα θυμὸν εἶχε τότε;

907. Χειροποιεῖται τάδε] ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο.

908. Τί φωνεῖς] ἀντὶ τῦ, ἄπιςα λέγεις.

911. ῝Α νέορτος ἅδε] ἡ νεωςὶ ἐνταῦθα ὁρμήσασα Ἰόλη. ἀνέορτος δὲ ἀντὶ τῦ ἡ αἰσχρὰ καὶ ἀπρεπής.

915. Χεὶρ γυναικεία κτίσαι;] καλῶς δὲ ὡς κατασκευάσαι καὶ ποιῆσαι. ἐπὶ μεγάλῳ τολμήματι εἶπε τὴν λέξιν. ὕτως ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα ὡς πεισθῆναί σε ὅτι ἀληθῆ λέγω.

918. Εἶδε κοῖλα δέμνια] γράφεται κοινά. ἢ τὰ τῦ θανάτυ, ἢ τὰ αὐτῆς καὶ τῦ Ἡρακλέυς.

919. Στρωννύνθ᾽, ὅπως] τὸν Ὕλλον ςρωννύντα.

922. Κλαῖε δ᾽ ὀργάνων ὅτυ] ἢ τῶν ἱςυργικῶν, ἢ τῶν ἐργαλείων οἷς τὸν πέπλον ἔχρισεν. Ἄλλως ἥπτετό τινος ἐργαλείυ ὧν εἴωθε μεταχειρίζεσθαι, συνόντος αὐτῇ τῦ Ἡρακλέυς (οἷον, ἱςῦ ἤ τινος τοιύτυ) καὶ ὠδύρετο ὡς

λοιπὸν

Ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος.
Ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
Εἴ που φίλων βλέψειεν οἰκετῶν δέμας,
Ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
Αὐτὴ τὸν αὑτῆς δαίμον᾽ ἀνακαλουμένη
Καὶ τὰς ἄπαιδας ἐς τολοιπὸν οὐσίας.
Ἐπεὶ δὲ τῶνδ᾽ ἔληξεν, ἐξαίφνης σφ᾽ ὁρῶ
Τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
Κἀγὼ λαθραῖον ὄμμ᾽ ἐπεσκιασμένη
Φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
Τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
Ὅπως δ᾽ ἐτέλεσε τοῦτ᾽, ἐπενθοροῦσ᾽ ἄνω,
Καθέζετ᾽ ἐν μέσοισιν εὐναστηρίοις.
Καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
Ἔλεξεν, Ὦ λέχη τε καὶ νυμφεῖ᾽ ἐμὰ,
Τολοιπὸν ἤδη χαίρεθ᾽, ὡς ἔμ᾽ οὔ ποτε
Δέξεσθ᾽ ἔτ᾽ ἐν κοίταισι ταῖσδ᾽ εὐνήτριαν.
Τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
Λύει τὸν αὑτῆς πέπλον, ᾧ χρυσήλατος
Προὔκειτο μαστῶν περονίς· ἐκ δ᾽ ἐλώπισε
Πλευρὰν ἅπασαν, ὠλένην τ᾽ εὐώνυμον.
Κἀγὼ δρομαία βᾶσ᾽, ὅσονπερ ἔσθενον,
Τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.

λοιπὸν καταλιμπάνουσα αὐτά· ἴστου δὲ ἴσως ἐφήπτετο, διὰ τὸν κατασκευασθέντα.

924. Ἄλλῃ δὲ κἄλλῃ] ἀντὶ τοῦ τῇδε κἀκεῖσε.

928. Καὶ τὰς ἄπαιδας] ἄπαιδας λέγει, ἐπεὶ μηκέτι ἔμελλε παῖδας τίκτειν ἤτοι σχέσειν. συνουσίας δὲ, ὅτι τοῦ λοιποῦ οὐ γενήσονται συνουσίαι πρὸς τὸν Ἡρακλέα εἰς παιδοποιΐαν.

Ib. Οὐσίας] κοίτας, συνουσίας.

931. Ἐπεσκιασμένη] περικεκαλυμμένη.

932. Φρούρουν] ἐφύλαττον.

933. Στρωτὰ βάλλουσαν φάρη] ἔνθα συνεκάθευδε τῷ Ἡρακλεῖ· ἄλλο γὰρ ἦν ὅπερ ἐστόρεσεν ὁ Ὕλλος.

934. Ἐπενθοροῦσ᾽ ἄνω] ἐναλλομένη ἄνω εἰς τὴν κλίνην.

939. Εὐνήτριαν] εὐναζομένην, κοιμωμένην.

942. Προὔκειτο μαστῶν] πρὸς τῷ στήθει γὰρ ἐπερονῶντο αἱ γυναῖκες.

Ib. Ἐκ δ᾽ ἐλώπισεν] ἐγύμνωσεν, ἐξέδυσεν, λῶπος γὰρ τὸ ἱμάτιον.

945. Τῷ παιδὶ φράζω] τῷ Ὕλλῳ τῷ Ὕλλῳ τῷ παιδὶ τῆς τοιαῦτα τολμώσης.

946. Κἂν

Κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
Ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
Πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
Ἰδὼν δ' ὁ παῖς ᾤμωξεν· ἔγνω γὰρ τάλας
Τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
Ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον, οὕνεκα
Ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
Κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
Ἐλείπετ' οὐδὲν ἀμφί νιν γοώμενος,
Οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
Πλευρὰν παρεὶς, ἔκειτο πόλλ' ἀναστένων,
Ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ·
Κλαίων ὅθ' οὕνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα
Πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίου.
Τοιαῦτα τἀνθάδ' ἐστίν· ὥστ' εἴ τις * δύο
Ἢ καὶ πλείους † τις ἡμέρας λογίζεται,
Μάταιός ἐστιν· οὐ γάρ ἐσθ' ἥγ' αὔριον,
Πρὶν εὖ πάθῃ τὶς τὴν παροῦσαν ἡμέραν.

ΣΥΣΤΗΜΑ.

ΧΟΡ. Πότερα, πότερ' ἂν ἐπιστένω ‡;

* Turn. in marg. εἴπερ. † Ald. Turn. πλέους. ‡ Turn. Πότερα πρότερ' ἐπιστένω. Ald. Πότερ' ἂν πότερα ἐπιστένω.

946. Κἀν ᾧ] καὶ ἐν ᾧ, ἐν ὅσῳ (φησὶ) διετρέχομεν πρὸς τὸν Ὕλλον, εἶτα πάλιν πρὸς τὴν Δηϊάνειραν, ἔφθασεν ἑαυτὴν ἀναλοῦσα.

948. Πλευρὰν ὑπ' ἧπαρ] περὶ τὸ ἧπαρ φρένης ταχεῖαι. Ὅμηρος·—"ὅθι τε φρένες ἧπαρ" ἔχουσιν.

949. Ἔγνω γὰρ τάλας] ἔγνω γὰρ κατὰ ποῖον τρόπον τοῦτο ἐποίησεν ἡ μήτηρ αὐτοῦ· συνεῖδεν γὰρ ὡς ὀργισθεῖσα ἐπὶ τῷ ἠπατῆσθαι παρὰ τοῦ Νέσσου, τὸ ἔργον τοῦτο διεπράξατο.

954. Ἀμφί νιν] περὶ αὐτήν.

955. Πλευρόθεν πλευρὰν παρεὶς] ἐκτείνας ἑαυτὸν ἐπὶ πλευρὰ ἢ προσκολλήσας ἐκείνῃ, ὠδύρετο ὅτι αὐτὴν ματαίως ᾐτιάσατο, ὡς κακοήθως ἀποστείλασαν αὐτῷ τὸν χιτῶνα.

960. Ὥστ' εἴ τις δύο καὶ πλείους] τοιούτων ὄντων τῶν ἀνθρωπίνων, ἤγουν ἀδήλων, ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο καὶ πλείους ἡμέρας, καὶ οὐ προσδοκῶντες καθ' ἑκάστην ὥραν τὸν θάνατον· πολλάκις γὰρ λύπῃ τινὶ ἢ δυστυχίᾳ περιπεσόντες, ἑαυτοὺς ὑπεξάγουσι τοῦ βίου παραχρῆμα, καὶ οὐκ ἀναμένουσι τὴν ἐπιοῦσαν ἡμέραν, ὡς καὶ ἡ Δηϊάνειρα.

964. Πότερ' ἂν πότερα] ποῖα (φησὶ) στένω;

Πότερα τέλεα περαιτέρω,
Δύςκριτ' ἔμοιγε δυςτάνῳ;
Τάδε μὲν ἔχομεν ὁρᾷν δόμοις,
Τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσι·
Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ. ΣΤΡΟΦΗ Α.

Εἴθ' ἀνεμόεσσά τις
Γένοιτ' ἔπȣρος ἑςιῶτις αὖρα,
Ἥ τις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
Τὸν Ζηνὸς * ἄλκιμον γόνον
Μὴ ταρβαλέα θάνοιμι
Μȣ̃νον εἰςιδȣ̃σ' ἄφαρ.
Ἐπεὶ ἐν δυςαπαλλάκτροις ὀδύναις
Χωρεῖν πρὸ δόμων † λέγȣσιν
Ἄσπετόν τι θαῦμα.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Ἀγχȣ̃ δ' ἄρα κȣ̓ μακρὰν
Προὔκλαιον ‡, ὀξύφωνος ὡς ἀηδὼν §.

* ALD. Τὸν Διός. † TURN. in textu, δῶμα. ‡ TURN. Ἔκλαιον.
§ ALD. ἀηδὼν ξένοι.

τὰ κατὰ τὸν Ἡρακλέα, ἢ τὰ κατὰ τὴν Δηϊάνειραν; ποῖα χαλεπώτερα καὶ περαιτέρω δεινότητος; ἢ ποῖα τελείως περαιτέρω τȣ̃ δέοντος δυςκατάληπτά ἐςιν, ἰσομεγέθη ὄντα;

967. Τάδε μὲν ἔχομεν] τὰ μὲν κατὰ τὴν Δηϊάνειραν αὐταῖς ὄψεσιν ἕξεςι θεωρεῖν ἐν τῷ οἴκῳ· τὰ δὲ κατὰ τὸν Ἡρακλέα ἐκδεχόμεθα.

969. Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν] κοινὰ δέ ἐςι τὰ ἀμφοτέρων κακά· καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ μέλλομεν ἕξειν· ἶσον δέ ἐςι· τὸ ἔχειν κακὰ καὶ τὸ προςδοκᾷν.

970. Εἴθ' ἀνεμόεσσά τις] ἀνεμόεσσα αὖρα, περιφανὴς ἄνεμος, ἔπȣρος, ȣ̓́ριος.

971. Ἑςιῶτις] κατοικίδιος· ὁ δὲ νȣ̃ς, εἴθε ὡς ἔςηκα πνεύσειεν ἄνεμος ȣ̓́ριος ἐπὶ τῆς οἰκίας, ἵνα με λαβὼν ταύτης ἀπαγάγῃ τῆς ἑςίας ἀποχωρίσῃ, ὅπως μὴ παραχρῆμα ἀποθάνω θεασαμένη τὸν Ἡρακλέα κακῶς διακείμενον. τȣ̃το δὲ λέγει ὡς μὴ καρτερȣ̃σα ἰδεῖν τὰς συμφοράς.

973. Ἤ τις μ' ἀποικίσειεν] ἀποχωρίσειεν ἀπὸ τȣ́των τῶν τόπων.

976. Δυςαπαλλάκτοις] δυςιάτοις.

977. Χωρεῖν πρὸ δόμων λέγȣσι] λέγȣσι παμμέγεθές τι κακὸν πλησίον πȣ τῆς οἰκίας χωρεῖν, δυςιάτȣς ὀδύνας ἡμῖν ἐφελκόμενον.

980. Προὔκλαιον ὀξύφωνος] ἀντὶ τȣ̃ προκλαίȣσιν. ὁ Χορὸς αἰσθάνεται τȣ̃ Ἡρακλέȣς, πλησίον φερομένȣ καὶ πλῆθος θρηνȣ́ντων καὶ ἐπακολȣθȣ́ντων αὐτῷ.

Ξένων γὰρ ἐξόμιλος ἥδέ τις βάσις·
Πᾷ * δ᾽ αὖ φορεῖ νιν; ὡς φίλȣ
Προκηδομένα, βαρεῖαν
Ἄψοφον φέρει βάσιν.
Αἶ, αἶ, αἶ· ὅδ᾽ ἄναυδος φέρεται.
Τί δὴ χρὴ, θανόντα νιν, ἢ καθ᾽
Ὕπνον ὄντα, κρῖναι;

ΑΝΑΠΑΙΣΤΟΙ.

ΥΛΛ. Ὤ,μοι ἐγὼ σȣ, πάτερ, ὤμοι ἐγὼ
Σȣ μέλεος· τί πάθω; τί δὲ μήσομαι;
Οἴμοι.
ΠΡΕ. Σίγα, τέκνον, μὴ κινήσῃς
Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
Ζῇ γὰρ προπετής· ἀλλ᾽ ἴσχε δακὼν
Στόμα σόν.
ΥΛΛ. Πῶς φῂς, γέρον; ἦ ζῇ;
ΠΡΕ. Οὐ μὴ ᾽ξεγερεῖς τὸν ὕπνῳ κάτοχον,
Κἀκκινησεῖς, κἀνασησεῖς
Φοιτάδα δεινὴν νόσον, ὦ τέκνον.
ΥΛΛ. Ἀλλ᾽

* Turn. in textu, πᾶς.

981. Ξένων γὰρ ἐξόμιλος] ἐκ τῆς βαδίσεως συνῆκεν τὸ φαινόμενον ἄθροισμα ξένων ἀνδρῶν εἶναι· οἷον, βάδισις ξένων ἀνδρῶν ἐστι, καὶ ἄλλȣ πλήθȣς συνέστηκε.

982. Πᾶ δ᾽ αὖ φορεῖ νιν] πȣ̃ φορεῖ καὶ φέρει αὐτὸν ὁ ὅμιλος; ὡς γὰρ ὑπὲρ φίλȣ κηδομένην ἄψοφον φέρει τὴν βάσιν.

985. Ἄναυδος] μηδὲ φωνὴν προέσθαι δυνάμενος.

986. Τί χρὴ, θανόντα νιν] τί (φησὶ) δεῖ κρῖναι περὶ αὐτȣ̃, καὶ τί ἂν τις δοξάσειε πότερον τέθνηκεν, ἢ ὕπνῳ βεβάπτισαι;

988. Ὤ,μοι ἐγὼ σȣ, πάτερ] ὁ Ὕλλος ὑπαντήσας τῷ πατρὶ θρηνεῖ.

989. Μήσομαι] τεχνάσομαι. μηχανήσομαι ὅπως σωθείης.

991. Σίγα, τέκνον] γέρων τις ἀκολȣθῶν τῷ Ἡρακλεῖ ἀπὸ Εὐβοίας, πρὸς τὸν Ὕλλον φησὶ, μὴ ἀνεγείρῃς αὐτόν. τȣ̃το γὰρ αἴτιον ὀδύνης τοῖς κάμνȣσιν.

992. Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος] ἐκ τῶν ὀδυνῶν ἠγριωμένȣ.

993. Ζῇ γὰρ προπετὴς] προπετὴς εἰς τὸν θάνατον προνενευκὼς ἢ παρειμένος καὶ εἰς τὴν γῆν πεσὼν, ἢ ἐπὶ πρόσωπον κοιμώμενος, ἢ καὶ μόνον κείμενος.

996. Τὸν ὕπνῳ κάτοχον] τὸν μανιώδη.

999, 1000. Ἀλλ᾽—ἐπί μοι μελέῳ] ἀλλ᾽ ἐνθεσιῷ

Ἐπί μοι μελέῳ
Βάρος ἄπλετον ἐκμέμονε φρήν.
ΗΡΑ. Ὦ Ζεῦ, ποῖ γᾶς ἥκω; παρὰ τοῖ-
σι βροτῶν κεῖμαι πεπονημένος ἀ-
λήκτοις ὀδύναις; οἴμοι, ἐγὼ τλά-
μων· ἥδ' αὖ μιαρὰ βρύκει· φεῦ.
ΠΡΕ. Ἆρ' ἐξήδεις ὅσον ἦν κέρδος
Σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
Τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον;
ΥΛΛ. Οὐ γὰρ ἔχω πῶς ἂν
Στέρξαιμι, κακὸν τόδε λεύσσων.
ΗΡΑ. Ὦ Κηναία κρηπὶς βωμῶν
Ἱερῶν, οἵαν νῦν ἀνθ' οἵων
Θυμάτων ἐπί μοι μελέῳ χάριν ἠ-
νύσω; ὦ Ζεῦ,
Οἵαν μ' ἄρ' ἔθου λώβαν; οἵαν
Ἣν μήποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
Ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
Μανίας ἄνθος καταδερχθῆναι.
Τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης

ἐνθυσιᾷ μοι τῷ μελέῳ ἡ φρὴν διὰ τὸ ἄπλετον βάρος. ἐν ἐπιθυμίᾳ (φησὶν) ἔχω τὸ βάρος, καὶ σιωπᾷν οὐ δύναμαι.

1002. Ὦ Ζεῦ, ποῖ γᾶς ἥκω] Ἡρακλῆς ταῦτά φησιν ὡς ἐξαναστὰς καὶ ἀγνοῶν ποῦ μετενήνεκται.

1005. Βρύκει] ἐσθίει με ἡ νόσος, οὐκ ἀναλίσκει.

1006. Ἆρ' ἐξήδεις ὅσον] πρὸς Ὕλλον λέγει. ἆρα, φησὶν, ὅσον ἦν κέρδος τὸ σιωπᾷν, ἔγνως, καὶ μὴ διασκεδάσαι ἀπ' αὐτοῦ τὸν ὕπνον;

1009. Οὐ γὰρ ἔχω πῶς ἂν] ἀδυνάτως ἔχω καρτερεῖν ἐπὶ τηλικούτῳ κακῷ.

1011. Ὦ Κηναία κρηπὶς] τὸ ἔδαφος. περιφραστικῶς δὲ, ἀντὶ τοῦ ὦ Κήναιον. μέμφεται δὲ τῷ τόπῳ ὅτι οὐκ ἐπὶ αἰσίοις αὐτῷ γέγονε τὰ ἐκεῖ θύματα. οἵαν οὖν (φησὶ) χάριν ἀπὸ τῶν θυμάτων διεπράξω;

1012. Οἵαν νῦν ἀνθ' οἵων θυμάτων] οἵαν μοι (φησὶ) προσετρίψω βλάβην, ὦ Ζεῦ, τὴν ἐν μανίαις ἀκμάζουσαν. λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα.

1017. Ὤφελον ὄσσοις τόδ' ἀκήλητον] ἀνίατον, ἀκαταπράυντο, ἀπὸ κοινοῦ δὲ τὸ ὤφελον.

1018. Καταδερχθῆναι] θεωρῆσαι, ἰδεῖν τὴν ἀκμὴν τῆς μανίας.

1019. Τίς γὰρ ἀοιδὸς] τίς (φησὶν) ἐπῳδὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τῆς ἰατρικῆς ἐνδεικνύμενος θεραπεύσει τὸ πάθος μου, εἰ μὴ ὁ Ζεὺς βούλοιτο;

Ἰατορίας, ὃς τήνδ᾽ ἄτην
Χωρὶς Ζηνὸς κατακηλήσει;
Θαῦμ᾽ ἂν πόῤῥωθεν ἰδρίμαν *. Ἓ, ἓ,
Ἐᾶτέ με, ἐᾶτέ με δύσμορον † εὐνάσαι.
Πᾷ μου ψαύεις; ποῖ με κλίνεις;
Ἀπολεῖς μ᾽, ἀπολεῖς.
Ἀνατέτροφας ὅ,τι καὶ μύσῃ.

### ἙΞΑΜΕΤΡΟΙ.

Ἧπταί μου νόσος ‡. Ἧδ᾽ αὖθ᾽ ἕρπει. Πού, πόθι γ᾽ ἔστ᾽, ὦ
Πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
Πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
Ὠλεκόμαν ὁ τάλας; καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
Οὐ πῦρ, οὐκ ἔγχος τὶς ὀνήσιμον οὐκ ἀποτρέψει §.
Ἓ, ἓ, οὐδ᾽ ἀπαράξαι κρᾶτα
Βίου θέλει μολὼν

* ALD. ἰδοίμην. † TURN. in marg. ὕστατον.
‡ ALD. Ἧπταί μου τοῦτό τοι. § TURN. in marg. ἀντρέψει.

1022. Θαῦμ᾽ ἂν πόῤῥωθεν] ἥδιστα ἄν, καὶ εἰ μακρόθεν μεταπέμψοιτό τις τὸν θεραπεύσαντα. θεασαίμην μεταπεμψαμένων ὑμῶν.

1023. Δύσμορον] γράφεται ὕστατον.

Ib. Εὐνάσαι] ἢ τὸ καθευδῆσαι, ἢ τὸ ἀποθανεῖν.

1024. Πᾷ μου ψαύεις;] ὡς ἐφαπτομένου αὐτοῦ τοῦ παιδὸς, ἐπὶ τῷ γνῶναι πῶς ἔχει τῷ σώματι, ἢ πᾷ ψαύεις ἀντὶ τοῦ παῦε ψηλαφῶν καὶ μεταφέρων τῇδε κἀκεῖσε τὸ σῶμά μου.

Ib. Ποῖ κλίνεις] ποῦ προσάγεις τὰς χεῖρας;

1026. Ἀντέτροφας] ὅτι ἂν ἡσυχάσῃ τοῦ κακοῦ· τοῦτο, πάλιν κινήσας ἀνετρέψας. Οἷον, ὅτι ἂν τῶν ὀδυνῶν παύσῃ, τοῦτο διήγειρας.

Ib. Τοῦτό τοι] τὸ κινηθῆναι ὑπὸ σοῦ, καθήψατό μου.

1027. Ἧδ᾽ αὖθ᾽ ἕρπει] ἡ νόσος (φησὶ) πάλιν ἐπίκειται.

Ib. Πόθεν ἔστ᾽, πάντων Ἑλλάνων] οὐ πρὸς τοὺς φέροντας αὐτὸν φησὶν, ἀλλὰ καθόλου πρὸς πάντας τοὺς εὐεργετηθέντας πρώην ὑπ᾽ αὐτοῦ. ποῦ (φησὶν) ἄρα ἐστὲ, ὦ πάντων Ἑλλήνων ἀδικώτατοι (τουτέστιν ἀχαριστότατοι) οὓς ἐγὼ πῆ μὲν κατὰ θάλατταν, πῆ δὲ κατὰ γῆν ἔσωζον· καὶ πάντα τόπον καθαίρων ὑπὲρ σωτηρίας ὑμῶν. ἐγγὺς θανάτου ἐγενόμην. τὴν δὲ ἐκ τόπου σχέσιν εἶπεν ἀντὶ τῆς ἐν τόπῳ. ὡς τὸ, σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη, ἀντὶ τοῦ σχεδόν.

1030. Ὠλεκόμαν ὁ τάλας] ἔκαμνον, καὶ ἐγγὺς θανάτου ἐγενόμην.

Ib. Καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι] δεικτικῶς, ἀντὶ τοῦ ἐμοί. Καὶ νῦν (φησὶν) οὐδεὶς ἐκείνων ἐπ᾽ ἐμοὶ νοσοῦντι.

1031. Οὐ πῦρ, οὐκ ἔγχος] λείπει προσαγαγὼν, οἷον, οὐ πῦρ, οὐ ξίφος σωτήριον προσαγαγὼν, ἀπαλλάξει με τοῦ ζῆν.

1032. Οὐδ᾽ ἀπαράξαι] οὐδεὶς ἐκείνων (φησὶ) βούλεται ἐλθεῖν τὴν κεφαλήν μ᾽ ἀποτεμεῖν, καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου.

Τοῦ συγεροῦ· φεῦ, φεῦ.
ΠΡΕ. Ὦ παῖ τοῦδ' ἀνδρὸς, τοὔργον τόδε μεῖζον ἀνήκει
Ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε· σοί τε γὰρ ὄμμα
Ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν.
ΥΛΛ. Ψαύω μὲν ἔγωγε.
Λαθίπονον δ' ὀδύναν οὔτ' ἔνδοθεν οὔτε θύραζ' ἔν-
εςί μοι ἐξανύσαι βιότου· τοιαῦτα νέμει Ζεύς.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΡΑ. Ὦ παῖ, παῖ, ποῦ πότ' εἶ;
Τᾷδέ με, τᾷδέ με
Πρόςλαβε κουφίσας. Ἒ, ἔ·
Ἰὼ, ἰὼ, δαῖμον.
Θρώσκει, δ' αὖ θρώσκει
Δειλαία διολοῦσ' ἡμᾶς
Ἀποτίβατος ἀγρία
Νόσος· ἰὼ Παλλὰς,
Τόδε μ' αὖ λωβᾶται· ἰὼ παῖ,
Τὸν φύσαντ' οἰκτείρας,
Ἀνεπίφθονον εἴρυσον ἔγχος,

1035. Ὦ παῖ τοῦδ' ἀνδρὸς] εἷς τῶν γερόντων, ἀκολουθῶν ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ, πρὸς τὸν Ὕλλον τοῦτό φησιν.

Ib. Τοὔργον τόδε] τὸ βοηθῆσαι ἢ βαςάξαι τὸν Ἡρακλέα μεῖζόν ἐςιν ἢ κατ' ἐμέ. ἀνήκει δὲ, ἀντὶ τοῦ ὁρμᾷ. ὥρμηται μεῖζον (φησὶν) ἢ κατὰ τὴν ἐμὴν δύναμιν. Τοὔργον δὲ τὴν νόσον φησίν.

1036. Σὺ δὲ σύλλαβε] σὺ γὰρ νέος εἶ, καὶ ὀξύτερον σοι τὸ ὄμμα πρὸς τὸ σώζειν τὸν πατέρα μᾶλλον, ἢ δι' ἐμοῦ.

1038. Ψαύω μὲν ἔγωγε] εἰ τὸ κατασχεῖν αὐτὸν ἰᾶται, ἰδοὺ ἐφάπτομαι αὐτοῦ. Ἴσθι δὲ (φησὶν) ὅτι τὴν λαθίπονον ἴασιν τῶν ὀδυνῶν τοῦ βίου οὔτε διὰ ςόματος, οὔτε ἔξωθέν προςάπτειν δύναμαι. οὐκ οἶδα γὰρ τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς.

1039. Οὔτ' ἔνδοθεν, οὔτε θύραζε] οὔτε ἀπ' αὐτοῦ, οὔτε ἀπό τινος τῶν ξένων δύναμαι ἐξανύσαι.

1041. Ὦ παῖ, παῖ] αἰσθάνεται τῆς τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς.

1045. Θρώσκει] ἀναζωπυρεῖται.

1046. Δειλαία] δειλοποιός.

1047. Ἀποτίβατος] ἀπροςπέλαςος.

1048. Ἰὼ Παλλὰς] ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν.

1049. Ἰὼ παῖ] κἂν σὺ, ὦ παῖ, τὸν φύσαντα οἰκτείρας, ἐπίσπασαί μοι ξίφος ἀνεμέσητον, ἐφ' ᾧ οὐδείς σε μέμψεται ὡς πατροκτόνον.

1053. Ὦ,

Παῖσον ἐμᾶς ὑπὸ κληῗδος.
Ἀκȣ̃ δ' ἄχος, ᾧ μ' ἐχόλωσε *
Σὰ μάτηρ ἄθεος,
Ἂν ὧδ' ἐπίδοιμι πεσȣ̃σαν
Αὔτως ὧδ' αὔτως, ὥς μ' ὤλεσεν.
Ὦ Διὸς αὐθαίμων,
Ὦ γλυκὺς Ἀΐδας,
Εὔνασον, εὔνασον † ὠκυπέτῃ ‡ μόρῳ
Τὸν μέλεον φθίσας.

ΙΑΜΒΟΙ.

ΧΟΡ. Κλύȣσ' ἔφριξα τάσδε συμφορὰς, φίλαι,
Ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
ΗΡΑ. Ὦ πολλὰ δὴ καὶ θερμὰ, καὶ λόγῳ κακὰ,
Καὶ χερσὶ § καὶ νώτοισι μοχθήσας ἐγώ.
Κȣ̃πω τοιȣ̃τον οὔτ' ἄκοιτις ἡ Διὸς
Προὔθηκεν, ȣ̃θ' ὁ ςυγνὸς Εὐρυσθεὺς ἐμοὶ,
Οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
Καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐριννύων
Ὑφαντὸν ἀμφίβληςρον, ᾧ διόλλυμαι.
Πλευραῖσι γὰρ προςμαχθὲν, ἐκ μὲν ἐσχάτας
Βέβρωκε σάρκας, πλεύμονός ‖ τ' ἀρτηρίας
Ῥοφεῖ ξυνοικῶν· ἐκ δὲ χλωρὸν αἷμά μȣ

* TURN. in marg. ἐχόλησε. † ALD. Εὔνασον, μ' εὔνασον.
‡ ALD. ὠκυπέτα. § ALD. χειρὶ. ‖ TURN. πνεύμονός.

1053. Ὦ, μ' ἐχόλωσε] γράφεται ἐχόλησεν· οἷον· χολῇ ἔχρισε τὸν χιτῶνα.

1055. Ἂν ὧδ' ἐπίδοιμι] ἣν ἴδοιμι τῷ αὐτῷ νοσήματι περιπεσȣ̃σαν.

1057. Ὦ Διὸς αὐθαίμων] ὦ τȣ̃ Διὸς ἀδελφὲ Ἀϊδωνεῦ.

1066. Οὔθ' ὁ ςυγνὸς] ςυγνοποιὸς διὰ τὰς τῶν ἄθλων προςτάξεις.

1069. Ἀμφίβληςρον] τὸν χιτῶνα ὡς ἀμφίβληςρον.

1070. Προςμαχθὲν] προςκολληθέν.

1071. Ἀρτηρίας] τὰς βλέφας.

1072. Ῥοφεῖ] ἐκπίνει.

Ib. Ἐκ δὲ χλωρὸν] νέον, ἢ νεκρόν.

1074. Ἀφράςῳ

Πέπωκεν * ἤδη, καὶ διέφθαρμαι δέμας
Τὸ πᾶν, ἀφράςῳ τῇδε χειρωθεὶς πέδῃ.
Κȣ̓ ταῦτα λόγχη πεδιὰς, ȣ̓́θ᾽ ὁ γηγενὴς
Στρατὸς γιγάντων, ȣ̓́τε θήρειος βία,
Οὔθ᾽ Ἑλλὰς, ȣ̓́τ᾽ ἄγλωσσος, ȣ̓́θ᾽ ὅσην ἐγὼ
Γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω.
Γυνὴ δὲ, θῆλυς κȣ̓κ ἔχȣσ᾽ ἀνδρὸς φύσιν,
Μόνη με δὴ καθεῖλε φασγάνȣ δίχα.
Ὦ παῖ, γενȣ̃ μοι παῖς ἐτήτυμος γεγὼς,
Καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
Δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκȣ λαβὼν
Εἰς χεῖρα τὴν τεκȣ̃σαν, ὡς εἰδῶ σάφα
Εἰς τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης, ὁρῶν
Λωβητὸν εἶδος ἐν δίκῃ κακȣ́μενον.
Ἴθ᾽, ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
Πολλοῖσιν οἰκτρὸν, ὅςτις ὥςτε παρθένος
Βέβρυχα κλαίων· καὶ τόδ᾽ ȣ̓δ᾽ ἂν εἷς ποτὲ
Τόνδ᾽ ἄνδρα φαίη πρόσθ᾽ ἰδεῖν δεδρακότα·
Ἀλλ᾽ ἀςένακτος αἰὲν ἑσπόμην κακοῖς·

* Aldus, Πέπτωκεν.

1074. Ἀφράςῳ τῇδε] ἀπροσδοκήτῳ, ἀεννοήτῳ, ἢ ἀλέκτῳ. ἢ, περὶ ἧς ȣ̓κ ἔχει τὶς φράσασθαι τίς εἴη τὴν φύσιν.

1075. Λόγχη πεδιὰς] ἡ ἐν πεζομαχίᾳ. θέλει γὰρ εἰπεῖν ὅτι ȣ̓́τε παραταττόμενος οἷον πρὸς Λαομέδοντα, ȣ̓́τε πρὸς Αὐγείαν, ἢ Κενταύρȣς.

Ib. Ἄλλως· Λόγχη πεδιὰς] ἡ ἐν τῷ πεδίῳ βαλλομένη ἢ ἐπεὶ ἐν τῷ Θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς κενταύρȣς.

1076. Θήρειος βία] λέοντος, Ὕδρας, Κερβέρȣ καὶ λοιπῶν.

1077. Οὔτ᾽ ἄγλωσσος] κακόγλωσσος, βάρβαρος, ἢ ἀλλόγλωσσος.

1079. Οὐκ ἀνδρὸς φύσιν] λείπει ἔχȣσα.

1081. Ὦ παῖ] ὦ Ὕλλε, δεῖξον τοῖς ἔργοις ὅτι ἀληθῶς ἐς Ἡρακλέȣς ἔχεις τὸ γένος. καὶ μή μȣ προκρίνῃς τὴν Δηϊάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἔξαγε καὶ παράδος μοι· ταῦτα δὲ, ἀγνοῶν ὅτι τέθνηκε, λέγει.

1084. Ὡς εἰδῶ σάφα] ἵνα μάθω πότερον ὑπὲρ ἐμȣ̃ νοσȣ̃ντος λυπῇ, ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηϊανείρας παρ᾽ ἐμȣ̃ βλαπτόμενον καὶ δικαίως καταπονȣ́μενον.

1088. Ὅςτις ὥςτε παρθένος] Ὁμηρȣ̃ς—ἠΰτε κȣ́ρη Νηπίη, ἥθ᾽ ἅμα μητρὶ θέȣσ᾽ ἀνελέσθαι ἀνώγει.

1091. Ἀλλ᾽ ἀςένακτος αἰὲν ἑσπόμην κακοῖς] ἤγȣν, ὑπέφερον πᾶν κακόν.

1092. Νῦν

Νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
Καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρός·
Σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
Πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
Ἰδοὺ, θεᾶσθε, πάντες, ἄθλιον δέμας.
Ὁρᾶτε τὸν δύστηνον ὡς οἰκτρῶς ἔχω.
Αἶ, αἶ, ὢ τάλας· ἒ, ἔ.
Ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
Διῆξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾷν
Ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
Ὦ ναξ Ἀΐδη, δέξαί μ'· ὦ Διὸς ἀκτὶς, παῖσον.
Ἔνσεισον, ὦ ναξ, ἐγκατάσκηψον βέλος,
Πάτερ, κεραυνοῦ· δαίνυται γὰρ αὖ πάλιν·
Ἤνθηκεν, ἐξώρμηκεν. Ὦ χέρες, χέρες·
Ὦ νῶτα, καὶ στέρν'· ὦ φίλοι βραχίονες,
Ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἔνοικον βουκόλων ἀλάστορα
Λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
Βίᾳ κατειργάσασθε, Λερναίαν θ' Ὕδραν
Διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν

1092. Νῦν δ' ἐκ τοιούτου] ἐξ ἰσχυροῦ γέγονα ἀσθενής. ἢ ἀπὸ τοιούτου κακοῦ.

1096. Ἰδοὺ, θεᾶσθε] ὁ λόγος ἐστὶ πρὸς τοὺς περιεστῶτας.

1098. Αἶ, αἶ] ὀδυνώμενος ἀναβοᾷ.

1099. Ἔθαλψεν ἄτης] πάλιν ἐξεπύρωσέ με ὁ τῆς νόσου σπασμός.

1100. Οὐδ' ἀγύμναστόν μ'] οὐκ ὀδύνης ἀπείρατον, οὐκ ἄνετον ὀδυνῶν. ἀντὶ τοῦ οὐκ ἐνδίδωσί μοι.

1103. Ἐγκατάσκηψον βέλος] τόξευσον κατ' ἐμοῦ τὸν κεραυνόν.

1104. Δαίνυται] ἐσθίει με, ἡ νόσος δηλονότι. τὸ δὲ, ὦ πάτερ κεραυνοῦ, ἀντὶ τοῦ, ὦ κεραυνὲ, εἴθε με λάβοις.

1105. Ὦ χέρες, χέρες] ἀπορῶν εἰς ἓν ἕκαστον τῶν αὐτοῦ μελῶν, δυσφορεῖ, ὅτι ἀφ' οἵου οἷον γέγονεν αὐτοῦ τὸ σῶμα· ἀριθμεῖ δὲ τοὺς ἄθλους οὓς Εὐρυσθεῖ τετέλεκεν.

1107. Ὑμεῖς ἐκεῖνοι δὴ] ἆρα ὑμεῖς ἐστὲ οἱ τὸν Νεμεαῖον χειρωσάμενοι λέοντα· τὸν τὴν Νεμέαν λυμαινόμενον.

1109. Λέοντ', ἄπλατον θρέμμα] ἀπρόσιτον. ἀπροσήγορον καὶ ἀναγόρευτον, ἀδιήγητον ἢ φαῦλον, καὶ μεμισημένον, ὃ οὐκ ἄν τις προσφθέγξαιτο.

1111. Διφυῆ τ' ἄμικτον] τὸν τῶν κενταύρων, ἀπροσπέλαστον, ᾧ οὐκ ἦν συμμίξαι καὶ συμβαλεῖν.

Θηρῶν, ὑϐριςὴν, ἄνομον, ὑπέροχον βίαν·
Ἐρυμάνθιόν τε θῆρα· τόνθ' * ὑπὸ χθονὸς
Ἅδε τρίκρανον σκύλακ', ἀπρόςμαχον τέρας·
Δεινῆς ἐχίδνης θρέμμα· τῶν τε † χρυσέων
Δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις.
Ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
Κ'ὐδεὶς τρόπαι' ἔςησε τῶν ἐμῶν χερῶν.
Νῦν δ' ὧδ' ἄναρθρος καὶ κατεῤῥακωμένος
Τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
Ὁ τῆς ἀρίςης μητρὸς ὠνομασμένος,
Ὁ τε κατ' ἄςρα Ζηνὸς αὐδηθεὶς γόνος.
Ἀλλ' εὖγέ τοι τόδ' ἴςε, κἂν τὸ μηδὲν ὦ,
Κἂν μηδὲν ἕρπω ‡, τήν γε δράσασαν τάδε
Χειρώσομαι κἀκ τῶνδε· προςμόλοι μόνον,
Ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
Καὶ ζῶν κακὲς γε καὶ θανὼν ἐτισάμην.
ΧΟΡ. Ὦ τλῆμον Ἑλλὰς, πένθος οἷον εἰςορῶ
Ἕξεσαν, ἀνδρὸς τέδέ γ' εἰ σφαλήσεται.
ΥΛΛ. Ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
Σιγὴν παρασχὼν, κλῦθί με νοσῶν ὅμως.

* Ald. τόνδ'. † Ald. τόν τε. ‡ Turn. in marg. ἕρπων.

1112. Ὑπέροχον βίαν] ὑπερέχοντα κατὰ τὴν δύναμιν. ὑϐριςὴν δὲ, μάχιμον, ὠμὸν, ἐ σώφρονα, διὰ τὸν Νέσσον, καὶ τὸν Πειρίθε γάμον.

1114. Ἅδε τρίκρανον σκύλακ'] τὸν Κέρϐερον, ὃν Ἡσίοδος πεντηκοντακέφαλόν φησιν εἶναι. ἕτος δὲ τρίκρανον.

1115. Τόν τε χρυσέων δράκοντα] φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλα. ὅτι καὶ αὐτὸς διαδεξάμενος τὸν ἐρανὸν ἐϐάςασεν.

1116. Ἐπ' ἐσχάτοις τόποις] τοῖς τῆς Λιϐύης.

1117. Ἐγευσάμην] ἐπειράθην, πεῖραν ἔσχον.

1119. Ἄναρθρος] ἐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν, διὰ τὸ σεσῆφθαι αὐτά. κατεῤῥακωμένος δὲ τὰς σάρκας σαπεὶς καὶ ἔχων αὐτὰς κρεμαμένας ὡς ῥάκη.

1120. Τυφλῆς ὑπ' ἄτης] ὑπὸ νόσε ἀφανῦς καὶ ἀκαταλήπτε, ἣν ἐκ ἔςιν ἰδεῖν.

1123. Κἂν τὸ μηδὲν ὦ, κἂν μηδὲν ἕρπω] ἀντὶ τὲ, ὦ παρόντες, κἂν μηδὲν ἕρπων, καὶ ἕτως ἔχων, καὶ ἕτω διακείμενος.

1129. Εἰ σφαλήσεται] εἰ ἀποτεύξεται τέτε.

1131. Σιγὴν παρασχὼν] ἀντὶ τῦ σιωπήσας καὶ ἡσυχάσας.

Αἰτήσομαι γάρ σ᾽, ὧν δίκαια τυγχάνειν.
Δός μοι σεαυτὸν, μὴ τοιῦτον * ὡς δάκνῃ
Θυμῷ δύςοργος· ἐ γὰρ ἂν γνοίης ἐν οἷς
Χαίρειν προθυμῇ, κἀν ὅτοις ἀλγεῖς μάτην.

ΗΡΑ. Εἰπὼν ὃ χρήζεις, λῆξον· ὡς ἐγὼ νοσῶν
Οὐδὲν ξυνίημ᾽, ὧν σὺ ποικίλλεις πάλαι.

ΥΛΛ. Τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
Νῦν ἐςὶν, οἷς θ᾽ ἥμαρτεν ὐχ ἑκυσία.

ΗΡΑ. Ὦ παγκάκιςε, καὶ παρεμνήσω γὰρ αὖ
Τῆς πατροφόντυ μητρὸς ὡς κλύειν ἐμέ;

ΥΛΛ. Ἔχει γὰρ ὕτως, ὥςτε μὴ σιγᾷν πρέπειν.

ΗΡΑ. Οὐ δῆτα τοῖςγε πρόσθεν ἡμαρτημένοις.

ΥΛΛ. Ἀλλ᾽ ὐδὲ μὲν δὴ τοῖςδ᾽ † ἐφ᾽ ἡμέραν ἐρεῖς.

ΗΡΑ. Λέγ᾽· εὐλαβῦ δὲ μὴ φανῇς κακὸς γεγώς.

ΥΛΛ. Λέγω· τέθνηκεν ἀρτίως νεοσφαγής.

ΗΡΑ. Πρὸς τῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.

ΥΛΛ. Αὐτὴ πρὸς αὐτῆς, ὐδενὸς πρὸς ἐκτόπυ.

ΗΡΑ. Οἴμοι· πρὶν ὡς χρῆν σφ᾽ ἐξ ἐμῆς θανεῖν χερός;

ΥΛΛ. Κἂν συ ςραφείη ‡ θυμὸς, εἰ τὸ πᾶν μάθοις.

ΗΡΑ. Δεινῦ λόγυ κατῆρξας, εἰπὲ δ᾽ ᾗ νοεῖς.

* Ald. Turn. τοσῦτον. † Ald. Turn. τοῖςγ᾽. ‡ Ald. ςραφοίη.

1134. Ου γὰρ ἂν γνοίης] τυτέςιν, ἐὰν μὴ τῦ θυμῦ παύσῃ πρότερον, ὐ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτύμενος ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βύλει, ὅπέρ σοι ἐςι μεγίςη χαρά· ὐδὲ ὅτι μάτην ἀλγεῖς τὴν ψυχὴν, νεμεσῶν τὴν ὐδὲν ἀδικήσασαν. ἢ μάτην ἀλγεῖς ἀνελεῖν αὐτὴν βυλόμενος.

1137. Ὧν σὺ ποικίλλεις] σοφίζεις, καὶ καλλωπίζεις τῷ λόγῳ.

1140. Ὦ παγκάκιςε] αὕτη τῦ μίσυς ἐπίτασις, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποιήσατο· καὶ ὐ τῦτο μόνον, ἀλλὰ καὶ Ἡρακλέυς ἀκύοντος.

1142. Ἔχει γὰρ ὕτως] τὸ γὰρ κατ᾽ αὐτὴν (φησὶ) πρᾶγμα, ἐκτός ἐςιν ἀδικίας, ὡς μηδὲ εἶναι τῦτο σιωπῇ παραδῦναι.

1145. Λέγ᾽· εὐλαβῦ δὲ] εὐλαβῦ μὴ δι᾽ ὧν ὑπὲρ τῆς μητρὸς λέγεις, περὶ ἐμὲ φαῦλος ἐξελεγχθῇς.

1147. Πρὸς τῦ; τέρας τοι] πρὸς τίνος; ἄπιςον γὰρ διὰ δυςφημιῶν ὥσπερ ἐμαντεύσω, τυτέςιν, ἄπιςον λέγεις ὅτι ἑαυτὴν ἀνεῖλεν, εἰ μὴ ἄρα μαντικῆς μετέχων τῦτο ἔγνως ὡς μάντευμα ἄπιςον· τῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαντεύονται.

1148. Οὐδενὸς πρὸς ἐκτόπυ] ἀντὶ τῦ ὑπὸ ἄλλυ ξένυ.

ΥΛΛ. Ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρηστὰ μωμένη *.
ΗΡΑ. Χρήστ', ὦ κάκιστε πατέρα σὸν κτείνασα δρᾷ;
ΥΛΛ. Στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
Ἀπήμπλαχ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
ΗΡΑ. Καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
Τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡΑ. Ἰοὺ, ἰοὺ δύστηνος, οἴχομαι τάλας.
Ὄλωλ', ὄλωλα, φέγγος οὐκέτ' ἐστί μοι.
Οἴμοι· φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
Ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκέτ' ἐστί σοι·
Κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων·
Κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
Μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
Φήμην πύθησθε θεσφάτων, ὅσ' οἶδ' ἐγώ.
ΥΛΛ. Ἀλλ' οὔτε μήτηρ ἐνθάδ' ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἕδραν.
Παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
Τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις.
Ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ, πάτερ,
Πράττειν, κλύοντες ἐξυπηρετήσομεν.
ΗΡΑ. Σὺ δ' οὖν † ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα

* Ald. Turn. μνωμένη. † Turn. in marg. Σὺ δὲ νῦν.

1152. Ἅπαν τὸ χρῆμ' ἥμαρτε] ζητοῦσα (φησὶ) χρηστόν τι διαπράξασθαι, τοῦ ὅλου πράγματος ἥμαρτεν.

1151. Δεινοῦ λόγου] θαυμαστοῦ· ἄπιστον γὰρ εἰ παύσομαι τῆς ὀργῆς· ὅμως εἰπέ.

1159. Ἰώ, ἰώ] ἀναμιμνησκόμενος τῆς ἀπὸ Δωδώνης μαντείας, ταῦτα λέγει, ἀριθμήσας τὸν χρόνον· ἀρτίως γὰρ (φησὶν) ἔγνων ὅτι εἰς ἔσχατον ἦλθον συμφορᾶς.

1163. Τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων] ἀντὶ τοῦ πάντας τοὺς σοὺς ἀδελφούς.

1165. Μάτην ἄκοιτιν] τὴν Ἀλκμήνην. τοῦτο δέ φησιν ὡς ἀνάξια πάσχων.

Ib. Ὡς τελευταίαν ἐμοῦ] ἵνα τὴν περὶ τῆς τελευτῆς μου φήμην μάθητε.

1167. Ἀλλ' ἐπακτίᾳ] παραθαλαττίᾳ.

1168. Ἕδραν] διατριβήν.

1173. Ἐξήκεις] εἰς ἡλικίαν ἥκεις.

Ib. Ἵνα φανῇς ὁποῖος] ἵνα φανῇς, ἄξια πράττων, παῖς ἐμὸς εἶναι.

Φανῇς ὁποῖος ὢν ἀνὴρ, ἐμὸς καλῇ.
Ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
Πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν-ἀπὸ*
Ἀλλ᾽ ὅςτις ᾅδε φθίμενος οἰκήτωρ πέλει·
Ὅδ᾽ ὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
Πρόφαντον, ὕτω ζῶντά μ᾽ ἔκτανεν θανών.
Φανῶ δ᾽ ἐγὼ τύτοισι συμϐαίνοντ᾽ ἴσα
Μαντεῖα κεινὰ τοῖς πάλαι ξυνήγορα,
Ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐςελθὼν † ἄλσος εἰςεγραψάμην
Πρὸς τῆς πατρῴας καὶ πολυγλώσσυ δρυός·
Ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν,
Ἔφασκε μόχθων τῶν ἐφεςώτων ἐμοὶ
Λύσιν τελεῖσθαι· κᾀδόκυν πράξειν καλῶς.

* TURN. θανεῖν ὕπο. † TURN. in marg. Ἑλλῶν προςελθών.

1175. Ἐμοὶ γὰρ ἦν πρόφαντον] προμεμαντευμένον. προειρημένον ὑπὸ τῦ Διός. ὕτω δὲ διὰ τῦ σ᾽. ἐν τῇ τραγικῇ λέξει.

1176. Πρὸς τῶν πνεόντων] τῶν ζώντων· πνεῦμα γὰρ ἡ ψυχή. Ὅμηρος·

——« ἀπὸ δὲ ψυχὴν ἐκάπυσε.»

Καὶ,

« Ὁσσά τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.»

1180. Φανῶ δ᾽ ἐγὼ] ἐρῶ σοι ἄλλην μαντείαν νεωτέραν, συμφωνῦσαν τῇ προτέρᾳ.

1183. Σελλῶν ἐςελθὼν] ἀκύσας ἔγραψα· ἔθος γὰρ τὺς χρησμὸν δεχομένυς, παραχρῆμα γράφειν, ἵνα μὴ ἐπιλάθωνται· ἔνιοι δὲ χωρὶς τῦ σ´ γράφυσιν, Ἑλλὺς ἀποδεχόμενοι· καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζυσιν εἶναι· τὴν γὰρ χώραν ὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων ὕτως·

« Ἔςι τις Ἑλλοπίη πολυλήϊος ἠδ᾽ εὐλεί-
« μων,
« Ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
« Ἐν δ᾽ ἄνδρες ναίυσι πολύῤῥηνες πολυϐῦ-
« ται,
« Πολλοὶ ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρω-
« πων.
« Ἔνθα τε Δωδώνη τις ἐπ᾽ ἐσχατιῇ πεπό-
« λιςαι.
« Τήνδε Ζεὺς ἐφίλησε, καὶ ὃν χρηςήριον εἶναι,
« Τίμιον ἀνθρώποις· ναῖον δ᾽ ἐν πυθμένι
« φηγῦ.
« Ἔνθεν ἐπιχθόνιοι μαντήϊα πάντα φέρον-
« ται.
« Ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμϐροτον ἐξε-
« ρεείνῃ,
« Δῶρα φέρων ἔλθησι σὺν οἰωνοῖς ἀγαθοῖ-
σιν.»

ἐντεῦθεν δὲ λέγυσιν εἶναι Ἑλλοπιεῖς, καὶ τὺς ἐν Εὐϐοίᾳ οἰκήσαντας.

1184. Καὶ πολυγλώσσυ δρυὸς] ἤτοι πολλὰ μαντευομένης, καὶ διὰ τῦτο πολλὰ φθεγγομένης· ἢ τῆς διαφόροις διαλέκτοις χρησμῳδύσης, καὶ κατὰ τὴν ἑκάςυ τῶν μαντευομένων γλῶσσαν.

1185. Χρόνῳ τῷ ζῶντι] ἤτοι τῷ ὑφεςῶτι καὶ παρόντι νῦν· ὁ γὰρ παρελθὼν, οἱονεὶ διέφθαρται

Τὸ δ' ἦν ἄρ' ὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
" Τοῖς γὰρ θανῦσι μόχθος ὐ προσγίνεται."
Ταῦτ' ὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
Δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ ξύμμαχον,
Καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι ςόμα,
'Αλλ' αὐτὸν εἰκάθοντα συμπράσσειν, νόμον
Κάλλιςον ἐξευρόντα, πειθαρχεῖν πατρί.
ΥΛΛ. 'Αλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγυ ςάσιν
Τοιάνδ' ἐπελθών· πείσομαι δ' ἅ σοι δοκεῖ.
ΗΡΑ. Ἔμβαλλε χεῖρα δεξιὰν πρώτιςά μοι.
ΥΛΛ. Ὡς πρὸς τί πίςιν τήνδ' ἄγαν ἐπιςρέφεις;
ΗΡΑ. Οὐ θᾶσσον οἴσεις, μηδ' ἀπιςήσεις ἐμοί;
ΥΛΛ. Ἰδὺ προτείνω, κὐδὲν ἀντειρήσεται.
ΗΡΑ. Ὄμνυ Διὸς νῦν τῦ με φύσαντος κάρα.
ΥΛΛ. Ἦ μὴν τί δράσειν; καὶ τόδ' * ἐξειρήσεται.
ΗΡΑ. Ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛΛ. Ὄμνυμ' ἔγωγε Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡΑ. Εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχυ λαβεῖν.
ΥΛΛ. Οὐ μὴ λάβω· δράσω γάρ· εὔχομαι δ' ὅμως.
ΗΡΑ. Οἶσθ' ὖν τὸν Οἴτης Ζηνὸς ὕψιςον πάγον;

* Turn. in marg. τότ'.

θαρται καὶ τέθνηκεν· ὁ δὲ μέλλων, πάλιν ἄδηλος.

1190. Ταῦτ' ὖν ἐπειδὴ λαμπρὰ] φανερὰ, σαφῆ, πρόδηλα, ἐπεὶ ὖν (φησὶν) ὁ χρησμὸς ἀπέβη, δεῖ σε γενέσθαι σύμμαχον ἐμοί.

1192. Καὶ μὴ 'πιμεῖναι] καὶ μὴ ἀπειθήσας μοι παροξύνῃς με εἰς λοιδορίαν κατὰ σῦ.

1193. 'Αλλ' αὐτὸν εἰκάθοντα] ἀπὸ κοινῦ τὸ, δεῖ δέ σε, εἴκοντα τῇ ἐμῇ προςτάξει, πράττειν ὃ βύλομαι· τὸ γὰρ τοῖς γονεῦσι πείθεσθαι, νόμος ἐςὶ κάλλιςος καὶ εὐκλεὴς παρὰ πᾶσι.

1195. Ταρβῶ μὲν εἰς λόγυ ςάσιν] περιφραςικῶς εἰς λόγυς· εὐλαβῦμαι μὲν εἰς τοιαύτην ὁμιλίαν ἐλθεῖν, μὴ ὐχ αἱρετά μοι προτείνῃς· πράξω δὲ ὅμως· κἂν δεινὰ ᾖ.

1199. Μηδ' ἀπιςήσεις ἐμοὶ] γράφεται, προςτήσεις ἐμοὶ, ἐναντιωθήσῃ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ βρώσει ψωμῶν προσιςαμένων.

1204. 'Επώμοτον] ὅρκιον.

1205. Εἰ δ' ἐκτὸς ἔλθοις] εἰ παραβαίνῃς τὺς ὅρκυς.

1206. Οὐ μὴ λάβω] ὐ χρὴ λαβεῖν με, πημονὰς δηλονότι· ποιήσω γὰρ ἃ προςτάξεις μοι· ἢ ποιήσω δὲ, εἰ βύλει σύ.

1207. Οἴτης Ζηνὸς ὕψιςον πάγον] ὑψηλὸν ὄρος τῆς Οἴτης· πᾶν τὲ ὄρος τῦ Διὸς ὀνομάζεται· ἐπεὶ (φασὶν) ὑψίςῳ ὄντι τῷ θεῷ, ἐν ὕψει δεῖ τὰς θυσίας ποιεῖσθαι τὰς πρὸς αὐτόν.

1210. Αὐτόχειρα·

ΥΛΛ. Οἶδ', ὡς θυτὴρ γε πολλὰ δὴ ςαθεὶς ἄνω.
ΗΡΑ. Ἐνταῦθα νῦν χρὴ τοὐμὸν ἐξάραντά σε
Σῶμ' αὐτόχειρα· καὶ ξὺν οἷς χρῄζεις φίλων,
Πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζȣ δρυὸς
Κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμȣ̃
Ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν·
Καὶ πευκίνης λαβόντα λαμπάδος σέλας,
Πρῆσαι· γόȣ δὲ μηδὲν εἰςίτω δάκρυ,
Ἀλλ' ἀςένακτος κἀδάκρυτος, εἴπερ εἶ
Τȣ̃δ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ,
Καὶ νέρθεν ὢν, ἀραῖος εἰςαεὶ βαρύς.
ΥΛΛ. Οἴμοι πάτερ, τίν' εἶπας; οἷά μ' εἴργασαι;
ΗΡΑ. Ὁποῖα δραςέ' ἐςίν· εἰ δὲ μὴ, πατρὸς
Ἄλλȣ γενȣ̃ τȣ, μηδ' ἐμὸς κληθῇς ἔτι.
ΥΛΛ. Οἴμοι μάλ' αὖθις· οἷά μ' ἐκκαλῇ, πάτερ,
Φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν;
ΗΡΑ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον
Καὶ μȣ̃νον ἰατῆρα τῶν ἐμῶν κακῶν.
ΥΛΛ. Καὶ πῶς ὑπαίθων, σῶμ' ἂν ἰώμην τὸ σόν;
ΗΡΑ. Ἀλλ' εἰ φοβῇ πρὸς τȣ̃το, τἄλλά γ' ἔργασαι.
ΥΛΛ. Φορᾶς γέ τοι φθόνησις ȣ̓ γενήσεται.
ΗΡΑ. Ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;

1210. Αὐτόχειρα· καὶ] ταῖς σαυτȣ̃ χερσὶ, καὶ μεθ' ὧν θέλεις φίλων· ȣ̓ γὰρ μόνος ἐδύνατο φέρειν αὐτόν.

1217. Εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ] εἰ δὲ μὴ ταῦτα ποιήσεις, διατελέσω ταῖς κατάραις καὶ καθ' ᾄδȣ βαρῶν σε.

1218. Ὢν, ἀραῖος] ἐπάρατος, τιμωρὸς δαίμων.

1219. Οἷά μ' εἴργασαι] οἷα θέλεις ἐργάσασθαι κατ' ἐμȣ̃, πατροφόντην γενέσθαι παρακελευόμενος.

1220. Ὁποῖα δραςέ' ἐςίν] τοιαῦτά σοι παρακελεύομαι οἷα δρᾶσαι ὀφείλεις· εὐεργετήσεις γάρ με.

Ib. Εἰ δὲ μὴ, πατρὸς ἄλλȣ] ξένος, ἀλλ' ȣ̓κ ἐμὸς ὢν υἱός.

1227. Ἀλλ' εἰ φοβῇ] ἀλλ' εἰ παραιτῇ τὸ ἀνελεῖν με, τὰ ἄλλα ποίησον· τȣτέςι τὴν ὕλην συνάγαγε.

1229. Ἦ καὶ πυρᾶς πλήρωμα] ὄντως ȣ̓ν πληρώσεις τὴν πυρὰν τῆς ὕλης.

1230. Ὅσον

ΥΛΛ. Ὅσον γ' ἂν αὐτὸς μήποτε ψαύω* χεροῖν·
Τὰ δ' ἄλλα πράξω, κοὐ καμῇ τοὐμὸν μέρος.
ΗΡΑ. Ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
Χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
ΥΛΛ. Εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
ΗΡΑ. Τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
ΥΛΛ. Ἰόλην ἔλεξας, ὥστ' ἐπεικάζειν ἐμέ.
ΗΡΑ. Ἔγνως· τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον,
Ταύτην, ἐμοῦ θανόντος, (εἴπερ εὐσεβεῖν
Βούλει) πατρώων ὁρκίων μεμνημένος,
Πρόσθου δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
Μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
Κλιθεῖσαν αὐτὴν, ἀντὶ σοῦ λάβοι ποτέ·
Ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
Πείθου· " τὸ γάρ τοι μεγαλα πιστεύσαντ' ἐμοὶ,
" Σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν."
ΥΛΛ. Οἴμοι· τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν.
Τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
ΗΡΑ. Ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
ΥΛΛ. Τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
Μεταίτιος, σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,

* Ald. Turn. in marg. ψαύων.

1230. Οσον γ' ἂν αὐτὸς] πάντα (φησὶ) ποιήσω, πλὴν τοῦ σώματος σοῦ ἅψασθαι.

1232. Ἀλλ' ἀρκέσει καὶ ταῦτα] καὶ ταῦτα μὲν ἀρκέσει· βραχὺ δὲ τούτοις πρόσθες, οἷον, ταῖς ἄλλαις εὐεργεσίαις καὶ ἑτέραν βραχεῖαν χάριν πρόσθες, γήμας τὴν Ἰόλην.

1237. Ἐπισκήπτω] ἐντέλλομαί σοι, παρεγγυῶ.

1240. Πρόσθου δάμαρτα] γυναῖκα ποίησον.

1241. Μηδ' ἄλλος ἀνδρῶν] ἄτοπον γὰρ (φησὶν) ἅπαξ συνανακλιθεῖσάν σοι, ἑτέρῳ ἀνδρὶ ξένῳ παρακαθεύδειν.

1243. Κήδευσον λέχος] οἰκείωσαι.

1246. Οἴμοι· τὸ μὲν νοσοῦντι] τὸ θυμοῦσθαι, εἰ μὴ πεισθείην αὐτῷ, καὶ τὸ πείθεσθαι ᾧδε φρονοῦντι, δυσχερές.

1248. Ὡς ἐργασείων οὐδὲν] οὕτω λαλεῖς ὡς μηδὲν πράξων ὧν λέγω.

1249. Τίς γάρ ποθ', ἥ μοι] τὸ τίς ἐφ' ἑαυτοῦ ἔθηκεν· ἀντὶ τοῦ, πῶς ἂν ἐγὼ ἑλοίμην γῆμαι αὐτὴν, τὴν τῶν κακῶν αἰτίαν οὖσαν σοί τε καὶ τῇ ἐμῇ μητρί;

Τίς ταῦτ' ἂν ὅςτις μὴ 'ξ ἀλαςόρων νοσοῖ,
Ἕλοιτο; κρεῖσσον κἀμέγ', ὦ πάτερ, θανεῖν,
Ἢ τοῖςιν ἐχθίςοισι συνναίειν ὁμȣ̃.

ΗΡΑ. Ἀνὴρ ὅδ', ὡς ἔοικεν, ȣ̓ νέμει γ' ἐμοὶ *
Φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
Μενεῖ σ' ἀπιςήσαντα τοῖς ἐμοῖς λόγοις.

ΥΛΛ. Οἴμοι· τάχ' ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.

ΗΡΑ. Σὺ γάρ μ' ἀπευνασθέντος ἐκκινεῖς κακȣ̃.

ΥΛΛ. Δείλαιος, ὡς ἐς πολλά τ' ὠπορεῖν ἔχω.

ΗΡΑ. Οὐ γὰρ δικαιοῖς τȣ̃ φυτεύσαντος κλύειν.

ΥΛΛ. Ἀλλ' ἐκδιδαχθῶ δῆτα δυςσεβεῖν, πάτερ;

ΗΡΑ. Οὐ δυςσέβεια τοὐμὸν εἰ τέρψεις κέαρ.

ΥΛΛ. Πράσσειν ἄνωγας ȣ̓̃ν με πανδίκως τάδε;

ΗΡΑ. Ἔγωγε· τȣ́των μάρτυρας καλῶ θεȣ́ς.

ΥΛΛ. Τοιγὰρ ποιήσω, κȣ̓κ ἀπώσομαι, τὸ σὸν
Θεοῖσι δεικνὺς ἔργον· ȣ̓ γὰρ ἄν ποτε
Κακὸς φανείην σοί γε πιςεύσας, πάτερ.

ΗΡΑ. Καλῶς τελευτᾷς, κἀπὶ τοῖςδε τὴν χάριν
Ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
Σπαραγμὸν, ἤ τιν' οἶςρον ἐς πυράν με θῇς.

* ALDUS, ȣ̓ νέμειν ἐμοί.

1251. Τίς ταῦτ', ἂν ὅτις] τίς ταῦτα πράττων ἕλοιτο ἐκτὸς ὢν μανίας καὶ θεηλασίας; ἀντὶ τȣ̃, ȣ̓κ ἂν ἑλοίμην εἰ μὴ μαινοίμην.

1254. Οὐ νέμει γ' ἐμοὶ φθίνοντι μοῖραν] ἀντὶ τȣ̃, μέρος εὐπονίας ȣ̓ νέμει μοι φθειρομένῳ.

1257. Οἴμοι· τάχ' ὡς ἔοικας, ὡς νοσεῖς] ὡς φανερὸς εἶ νοσῶν χαλεπῶς, ȣ̓́τω καὶ χαλεπῶς διαλεγόμενος.

1258. Σὺ γάρ μ' ἀπευνασθέντος] σύ με (φησὶν) ἀναταράττεις ἀπὸ τȣ̃ καταπραϋνθέντος κακȣ̃, μὴ πειθόμενος.

1259. Ὡς εἰς πολλά γ' ἐπαπορεῖν ἔχω] ἄτοπον γὰρ καὶ ἐναντιȣ̃σθαι καὶ πείθεσθαι· διὸ ἀπορῶ.

1260. Δικαιοῖς] δίκαιον νομίζεις.

1261. Ἀλλ' ἐκδιδαχθῶ δῆτα] τȣ̃το κατ' ἐρώτησιν. δίκαιόν σοι τȣ̃το φαίνεται, τὸ συναφθῆναί με τῇ Ἰόλῃ;

1265. Τοιγὰρ ποιήσω] ὅτι ȣ̓κ ἄδικον τȣ̃το ἡγȣ̃μαι, ἀλλ' εὐσεβὲς, τὸ πειθαρχεῖν τῷ πατρί. διαμαρτυρώμενος ȣ̓̃ν τȣ̀ς θεȣ̀ς, γαμήσω τὴν Ἰόλην.

1268. Καλῶς τελευτᾷς] ἀντὶ τȣ̃, καλῶς τὸν λόγον ἐπεραίωσας.

1269. Ὡς πρὶν ἐμπεσεῖν] ἵνα εἰς πυρὰν μεθῇς πρὶν ταραχθῆναι ὑπὸ τῆς νόσȣ.

Ἄγ', ἐγκονεῖτ', αἴρεσθε· παῦλά τοι κακῶν
Αὕτη, τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.

ΥΛΛ. Ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
Ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.

### ΑΝΑΠΑΙΣΤΟΙ.

ΗΡΑ. Ἄγε νῦν, πρὶν τήνδ' ἀνακινῆσαι
Νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
Λιθοκόλλητον στόμιον παρέχου-
σ', ἀνάπαυε βοὴν, ὡς ἐπίχαρτον
Τελέως ἀεκούσιον ἔργον.

ΥΛΛ. Αἴρετ', ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
Τούτων θέμενοι συγγνωμοσύνην,
Μεγάλην δὲ θεοῖς * ἀγνωμοσύνην
Εἰδότες ἔργων τῶν πρασσομένων·
Οἳ φύσαντες καὶ κληζόμενοι
Πατέρες, τοιαῦτ' ἐφορῶσι πάθη.
Τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ.

* ALDUS, θεῶν.

1271. Ἄγ', ἐγκονεῖτ'] ἐνεργεῖτε, καὶ ἀνακουφίσατε.

Ib. Παῦλά τοι κακῶν] μόνη αὕτη ἀνάπαυσίς ἐστιν τῶν κακῶν (φησὶ) τὸ παραθεῖναί με τῷ πυρὶ, καὶ τοιαύτῃ τελευτῇ χρήσασθαι.

1275. Ἄγε νῦν πρὶν τήνδε] ἑαυτὸν παραθαῤῥύνει, ὥστε μὴ βοᾷν κομιζόμενον εἰς τὴν πυράν· ἄγε οὖν (φησὶν) ὦ σκληρὰ ψυχὴ ὡς ἀπὸ χαλυβικοῦ σιδήρου πεποιημένη, πρὶν τήνδε ἀνακινῆσαι νόσον ἐνδοῦσα τὸ σεαυτῆς στόμα ἐμφραγῆναι, (ὡσανεὶ στόμα φρέατος λίθῳ κεκολλημένον, πρὸς τὸ μηκέτι ὕδωρ ἀνιμᾶσθαι.) ἀνάπαυε τὴν βοήν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς ἀπὸ χάλυβος γενομένη. ἢ λιθοκόλλητον στόμιον, ἀντὶ τοῦ λίθινον καὶ σκληρὸν χαλινὸν σαυτῇ ἐπιβαλοῦσα.

1278. Ἀνάπαυε βοὴν] ἀνάπαυσον τὴν βοὴν ὡς εἰς ἐπίχαρτον ἅμα καὶ ἀκούσιον πρᾶγμα χωροῦσα, τὴν πυράν. πῶς δὲ ἐπίχαρτον ἅμα καὶ ἀκούσιον; ἐπίχαρτον μὲν, ὅτι ἀπαλλάττεται τῆς νόσου, ἀκούσιον δὲ, ὅτι λυπεῖ πάντοτε ἡ ἀποστέρησις τοῦ βίου. παρὰ τὸ, Ἑκὼν ἀέκοντί γε θυμῷ.

1280. Αἴρετ', ὀπαδοὶ] ὀπαδοὺς οὐκ οἰκέτας, ἀλλὰ τοὺς ἀκολουθοῦντας αὐτῷ ἐξ Εὐβοίας φησί.

1281. Συγγνωμοσύνην] ἀντὶ τοῦ συγγνώμην, ὅτι κατὰ γνώμην πατρῴαν τοῦτο ποιῶ.

1284. Οἳ φύσαντες] εἰς τὸν Δία ἡ ἀπότασις τοῦ λόγου· ἐκείνους (φησὶν) ἀγνώμονας ἡγεῖσθε, οἵτινες γεννήσαντες αὐτὸν περιορῶσι τοιαῦτα πάσχοντα.

1286. Ἐφορᾷ] περιττὴ ἡ πρόθεσις.

Τὰ δὲ νῦν ἑςῶτ', οἰκτρὰ μὲν ἡμῖν,
Αἰσχρὰ δ' ἐκείνοις·
Χαλεπώτατα δ' ἒν ἀνδρῶν πάντων,
Τῷ τήνδ' ἄτην ὑπέχοντι.

ΧΟΡ. Λείπυ μηδὲ σὺ παρθέν' ἀπ' * οἴκων,
Μεγάλυς μὲν ἰδῦσα νέυς θανάτυς,
Πολλὰ δὲ πήματα καινοπαθῆ·
Κ'ὐδὲν τύτων ὅ,τι μὴ Ζεύς.

* Turn. in marg. ἐπ'.

1291. Λείπυ μηδὲ σὺ] αἱ τῦ Χορῦ πρὸς ἑαυτὰς τῦτο φασί. ἢ ὁ Ὕλλος· ἔοικε γὰρ ὁ Ὕλλος ἀποςραφεὶς ταῖς ἀπὸ τῦ Χορῦ λέγειν μὴ ἀπολιμπάνεσθαι τῶν οἴκων, ἕως ἂν ἐπέλθωσιν ἀπὸ τῆς πυρᾶς.

Ib. Ἀπ' οἴκων] γράφεται, ἐπ' οἴκων. τυτέςι, μηδὲ ὑμεῖς περιλείπεσθε ἐνταῦθα ἐπὶ τῶν οἴκων, ἀλλ' ἀκολυθήσατε.

1294. Κ'ὐδὲν τύτων] λείπει ἐποίησε. διὰ τὴν εἱμαρμένην, ἥτις κακῶν καὶ ἀγαθῶν ἐςιν αἰτία. Ἄλλως· κ'ὐδὲν τύτων ὅ, τι μὴ Ζεύς. ὐδὲν τύτων ὐδεὶς ἔπραξεν εἰ μὴ μόνος ὁ Ζεύς.